


ΘΟΥΚΥΔΙΔΟΥ ΤΟΥ ΟΛΟΡΟΥ


ΠΕΡΙ ΤΟΥ ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΥ ΠΟΛΕΜΟΥ

ΒΙΒΛΙΑ ΟΚΤΩ.

THUCYDIDIS, OLORI FIL.

DE BELLO PELOPONNESIACO

LIBRI VIII.


ΘΟΥΚΥΔΙΔΗϹ

ΘΟΥΚΥΔΙΔΟΥ ΤΟΥ ΟΛΟΡΟΥ

ΠΕΡΙ ΤΟΥ ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΥ ΠΟΛΕΜΟΥ

ΒΙΒΛΙΑ ΟΚΤΩ.

THUCYDIDIS, OLORI FIL.

DE BELLO PELOPONNESIACO
LIBRI VIII.

CUM

VERSIONE LATINA, SCHOLIIS GRÆCIS, ET VIRORUM DOCTORUM ANIMADVERSIONIBUS.

EX EDITIONE

JOANNIS CHRISTOPHORI GOTTLEBERI A.M.

CAROLI LUDOVICI BAVERI A.M.

ACCEDUNT

COMMENTARII CRITICI A TRAUGOTT FREDER. BENEDICT CONSCRIPTI, ET OBSERVATIONES CRITICÆ ERNESTI FRIDERICI POPPO.

VOLUMEN PRIMUM.

Londini:

EXCUDEBAT J. F. DOVE,

VENEUNT APUD RICARDUM PRIESTLEY.

M,DCCC,XIX.

PRÆFATIO.

LECTORI S.

De hac Thucydidis editione neque nihil, neque multa, opus est præfari. Expressa est, ut ait titulus, ex editione Joannis Christophori Gottleberi et Caroli Ludovici Baveri;* variantibus lectionibus consulto omissis (cum cathedris præcipue discipulorum accommodata sit, quibus cum MStis ac veteribus editionibus nil fere, opinor, est commune) notisque suo ordine textui substratis. Textum notasque excipiunt ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΚΑΙ ΞΥΝΟΠΤΙΚΑ ΕΙΣ ΟΛΟΝ ΤΟΝ ΘΟΥΚΥΔΙΔΗΝ, in Britannia (post Hudsonum) nunc primum evulgata, et a typographo, prout mos est, nostro perquam nitide ac distincte excusa. Quantum valent ad difficiliores Thucydidis locos hæc subsidia enucleandos interpretandosque, norunt jamdiu editionis Lipsiensis redemptores,—quos in lauta et bene aucta parte esse voluit Fortuna. Nobis visum est id agere, ut et minus fortunatis jam tandem patescant.

Beckii *Addenda* et *Emendanda* eo hercle omisimus, quod (quamvis multa insint perdocta ac perutilia) magna tamen ex parte nobis videntur confici ex mera fortuitave lectionum varietate,—magna etiam ex rebus a Gottlebero Baveroque de industria prætermissis. Horum igitur, ut uno verbo dicamus, in locum intrusimus Tractatus duo Lipsiæ tres quatuorve abhinc annos publici juris factos: quorum unius titulus est, COMMENTARII CRITICI IN THUCYDIDIS OCTO LIBROS A TRAUGOTT FREDER. BENEDICT CONSCRIPTI; alterius autem, OBSERVATIONES CRITICÆ IN THUCYDIDEM—SCRIPSIT ERNESTUS FRIDERICUS POPPO PHIL. DR. LL. M. Poppo, ut videtur, auditor et discipulus fuit Godofredi Hermanni.

* Impressa Lipsiæ, Sumtibus Engelh. Benjam. Schwickerti, A. MDCCLXXXX—MDCCCIV. II Tomm. in 8vo; editionem absolvente Christian. Daniel. Beckio.

Nil restat præmonendum, nisi Indicem Auctorum, qui a Scholiastis citantur, in hac editione paullo absolutiorem reperiri; cum non auctores tantum, sed et locos monstret. Unum obiter nobis condonandum speramus, nos senionem in textu, ubicumque occurrat, literis στ designasse, qui tamen postea in Scholiis recte per ϛ (ἐπίσημον) est designatus. Cœpto enim (superioris anni initio) hoc opere, nescio quo casu eveniebat typographi loculamentis senarios numeros omnino defuisse. Quocirca, ut ne quid impedimenti fieret, spurium istud (satis festinanter, ne dicam insulse) in alterius locum subrogandum statuebamus. "Hinc omne principium; huc refer exitum." Sed melius est errare, quam desipere.

LONDINI. Kal. Mai. M,DCCC,XIX.

Elenchus codicum Thucydidis adhuc collatorum, editionum, versionum, et libellorum ad eum illustrandum spectantium.

CODICES.

Qui codices ab Aldo Manutio et Ant. Francino in curandis primis editionibus, Aldina et Florentina, fuerint adhibiti, incertum est. Ex epistola ab Aldo ad Dan. Rainerium, Venetum patr. scripta, colligi posse videtur, codices ab Rainerio accepisse Aldum, ad quos Thucydidem typis redderet. Florentina autem editio Aldinam potissimum expressit.

Codicem *Basileensem*, qui Constantinopoli ab Eugenio Papa (sic enim Græci vocarunt suos magistros) donatus sæc. XV. ineunte Joanni Aretino cuidam Basileam pervenerat, contulit *Hervagius* in usum Camerarii, verum non satis diligenter. Itaque *J. J. Wetstenius* eum denuo comparavit, atque lectionis varietatem inde excerptam et scholiorum supplementa cum *Dukero* communicavit, qui eorum p. (25)—(34,) maximam partem separatim exhibuit hac præmissa animadversione.

" Adnotata hic sunt omnia, in quibus cod. MS. ab edit. Basil. discrepat, etiam ubi eadem est scriptura hujus edit. quæ MSti, exceptis iis, quæ ex adnotatt. Camerarii jam ante in Var. Lect. posuerat *Hudsonus*, et emendationibus errorum typographicorum, quibus ed. Bas. scatet. Quæ aliter in hac edit. ac in Basil. cujus scriptura in Var. Lect. Hudsoni est, leguntur, ea omnia, si nihil adnotatum est, eodem modo in MS. quo in ed. Bas. scribuntur. Sed quia animadverti, *Hudsonum* in describenda lectione *ed. Bas.* aliquot locis aberrasse, ea quoque adnotanda visa fuerunt, quoties in illa incidi : nam et alia esse credo, a me non animadversa, quoniam totam edit. illam cum Hudsoniana non contuli. Hoc quoque monendus est Lector, me primum tantum excerpta variantis scripturæ e Lib. VII. et VIII. profligato jam ab operis Libro VII. accepisse,

ob eamque causam varias lectiones hujus libri in *Addenda* contulisse: deinde, quum jam typis exscripta fuissent Addenda, exemplar edit. Basil. cum MS. conlatum nactum esse, et ex eo cognovisse, quædam aliter in MS. cujus scripturam hic exhibui, legi, quam e Camer. Hudsonus adnotarat, et ego ex Excerptis illis in Var. lectionibus scripseram."

In nostra ed. codicis lectiones cum reliqua varietate junctæ leguntur.

Parisinos codices fortassis Henr. Stephanus consuluit. Certe in ep. primæ editioni præmissa se dicit veterum codd. lectionibus conquirendis curam et diligentiam maximam adhibuisse. In secunda autem edit. non novis codd. præsidiis usus esse videtur.

Parisinus cod. n. 3044. cujus lectt. cum Dukero communicavit Wetstenius.

Codices *Anglicos* haud perfunctorie, sed magna cum diligentia se contulisse dicit Hudsonus. Sunt autem hi: unus bibl. Norfolcianæ; alter bibl. Coll. Corp. Christi Oxon. qui Claymondi primi præsidis olim fuerat; tertius, qui conciones tantum complectitur, bibl. Baroccianæ; quartus bibl. Henrici com. Clarendoniæ. De ætate et indole eorum nihil monuit.

Habuit idem codicem chartaceum, quem, quia Grævius miserat, *Grævianum* appellat; possedit autem tum Guil. van. Cleef, causarum patronus, qui eum deinde in publicam bibliothecam *Trajectinam* intulit. Eum multo diligentius in usum suæ edit. adhibuit Dukerus.

Codex *Cassellanus* bombyc. sæc. XIII. a Dukero collatus, qui in præf. videndus est. Add. *Schminke* Beschreibung der Hauptstadt Cassel p. 206. ss.

Codex *Havniensis*, sæc. XIV. ut videtur scriptus, sed ita, ut inde a medio libro quinto recentior manus eum exaraverit, emtus Venetiis a. 1699. a Fred. Rostgaardo, Dano; cujus lectiones Grammius ad Dukerum misit.

Vindobonensis codex, inter codd. histor. græc. bibl. Cæsareæ n. XXXIII. unde varias lectiones Alterus excerpsit. Idem contulit locos Thucyd. a Stobæo laudatos cum cod. Vindob. Stobæi inter Codd. philosophh. græc. N. LXVII.

Codices *Angustanus* et *Mosquensis*, quorum variæ lectt. in hac edit. leguntur. v. præf. T. I.

De ceteris codd. nondum accurate consultis v. Cel. Harles. ad Fabric. B. Gr. T. II. p. 729. Add. *Morell.* V. C. Bibl. msta gr. et lat. (Ven.) T. I. p. 237.

Editiones græcæ integri operis.

Thucydides (græce) — Venetiis in domo Aldi Mense Maio. M.DII. In fol. vid. *Renouard* Annales de l'imprim. des Alde T. I. p. 50. s. Serie dell' Ediz. Aldine ed. 2. p. 16.

Scholia græca anno post idem Aldus, adjecta aliis operibus edidit: *Xenophontis* omissa; quæ et græca gesta appellantur. Georgii Gemisthi: qui et Pletho dicitur: et Diodori: et Plutarchi historiis de iis: quæ post pugnam ad Mantineam gesta sunt: per capita tractatio. Herodiani a Marci principatu historiarum libri octo: quos Angelus Politianus elegantissime latinos fecit. *Enarratiunculæ antiquæ: et perbreves in totum Thucydidem:* sine quibus auctor intellectu est quam difficillimus. Græce. Venet. in Aldi Neacademia mense Octobri M.DIII. In fol.

Quum Asulanus a. 1525. Xenophontem integrum ederet, recisa historia græca Xen. reliqua ex superiore edit. novo titulo et præfatiuncula præmissis vendidit:

Georgii Gemisti, qui et Pletho dicitur, ex Diodori etc. *Enarratiunculæ—in Thucydidem*—qua difficillimus. Gr. Ven.—m. Oct. M.DIII. f. Sed titulus novus est 1525. et tertium a. 1527. præfixus.

V. *Renouard* p. 64. s. Serie p. 22. s.

Thucydides gr. cum scholiis græcis, Florentiæ ap. Bernard. Juntam 1506. die secunda Novembr.

V. Maittair. Ann. Typogr. Indic. voc. Thucyd. p. 289. et Panzer. Ann. typogr. VII. p. 10. qui tamen e catalogis Thott. et Menken. tantum laudat. Nam Bandinius eam ignorat, et mirum est, eadem die absolutam, dici, qua sequentem.

Θουκυδίδης, μετὰ σχολίων παλαιῶν καὶ πάνυ ὠφελίμων, χωρὶς ὧν οὐκ εὐξύνετος ὁ συγγραφεύς. Thucydides cum commentariis antiquis, et

valde utilibus, sine quibus auctor intellectu est quam difficillimus. Ad calcem: Ἐν τῇ Φλορεντίᾳ παρὰ Βερνάρδῳ τοῦ Ἰούντα ἔτει ἀπὸ τοῦ Χριστοῦ γενέσεως χιλιοστῷ πεντακοσιοστῷ τε καὶ εἰκοστῷ ἕκτῳ ἀνθεστηριῶνος δευτέρᾳ ἱσταμένου (1526. 2. Nov.) fol. cum epistola Græca Antonii Francini ad Alexandrum Corsinium.

V. Ang. Mar. Bandinius de Florentina Juntarum typographia ejusque censoribus T. II. (s. Ann. Juntarum typogr.) p. 208. s.

Θουκυδίδης μετὰ σχολίων παλαιῶν καὶ πάνυ ὠφελίμων, χωρὶς ὧν ὁ συγγραφεὺς πολὺ ἀνευχερής ἐστι. Thucydides cum scholiis et antiquis et utilibus, sine quibus autor intellectu multum est difficilis. Accessit præterea diligentia *Joachimi Camerarii,* in castigando tum commentariis una cum textu cum annotationibus ejus. Basileæ, ex off. Hervagiana. Anno M.D.XL. fol.

Epistolam Camerarii ad Mauricium præsulem Eystatensem d. III. Cal. Mart. scriptam excipiunt Aphthonii encomium Thuc. vita Thuc gr. Marcellini vita ejusdem, Dionysius περὶ τῶν ἰδιωμάτων Θουκ. vita Thuc. ex Suida; tum annotata loca quæ aliter in aliis exemplis scripta et animadvertenda visa essent. Historiam Thucyd. sequuntur græca scholia.

Thucydidis de bello Peloponnesiaco Libri octo, græce ad editionem Dukeri expressi. Viennæ typis Jo. Tho. Nob. de Trattnern. MDCCLXXXV. II. voll. 8.

Curavit editionem *Franc. Car. Alterus,* Prof. Vindob. nuper mortuus, qui, præter var. lectt. cod. Vindob. addidit *Jacobi Tusani* (Toussain) Paris. philologi mortui a. 1547. correctiones margini ed. Ald. adscriptas, et specimen græcitatis Thucydideæ.

Thucydidis de bello Peloponnesiaco libri octo ad optimas editiones in usum scholarum diligenter expressi, græce. Bremæ. P. I. II. 1791. 92. 8. (curante *Herm. Bredenkamp,* Athenæi Brem. Subrect. qui et animadversiones promisit, quæ nondum prodierunt.) Cf. Allg. d. Bibl. CVIII. p. 285. Neve allg. d. Bibl. VI. p. 35.

Editiones græco-latinæ.

Θουκυδίδου—Βιβλία ὀκτώ. Thucydidis, Olori filii, de bello Peloponn. libri octo. Iidem latine, ex interpretatione Laur. Vallæ ab

Henr. Stephano recognita. Anno M.D.LXIV. Excudebat Henr. Stephanus, illustris viri Huldrichi Fuggeri typographus. fol.

Margo textus interior habet varias lectt. aliquot, exterior scholia. Subjuncta est latina versio, cujus margini nonnullæ emendationes sunt adjectæ.

Thucydidis de b. pel. L. octo. Iidem lat. ex interpr. L. V. ab H. St. recognita. *Secunda editione, quæ amplius quam in prima præstita fuerint, extrema ad lectorem epistola docebit.* 1588. fol.

Scilicet tum græca oratio tum ejus versio emendata est secundis curis adjecitque Stephanus proparasceuen ad lectionem Scholl. et adnotationes uberiores ad l. I. et majorem partem libri II. Thucyd. et Schol. absoluturus hunc laborem, nisi ex Gallia et Germania ei spes fuisset facta emendationum in Thucydidem et ejus Scholia, quæ tamen vana fuit. Præmisit vitam Marcellini, cum Is. Casauboni versione et castigationibus, subjecit Jac. Veratii argumenta orationum et concionum Thucyd. denique Chytræi chronologiam et argumenta librorum Thucydidis.

Θουκυδίδου—Βιβλία ὀκτώ. Thucydidis Olori filii de Bello Peloponnesiaco Libri octo. Iidem latine ex interpretatione Laur. Vallæ ab Henr. Stephano nuper recognita, quam *Æmil. Portus*, Franc. Porti Cret. f. paternos commentarios accurate sequutus, ab infinita gravissimorum errorum multitudine novissime repurgavit, magnaque diligentia passim expolitam innovavit. In hac postrema editione, quid præterea præstetur, sequens pagina docet. Francofurti apud heredes Andr. Wecheli, Claud. Marnium et Jo. Aubrium. M.D.XCIV. fol.

Expressa est Stephani recensio, nisi quod plura irrepserunt vitia operarum culpa. Variæ lectiones auctæ sunt. Scholiis antiquis immixta recentia Æm. Porti. Subjuncti sunt Franc. Porti Commentarii in Thucyd. cum Appendice, in qua multa explicantur, quæ in superioribus commentariis sunt omissa—tum Chytræi antea indicata opuscula—et Indices, latinus atque græcus.

Prodierant *Fr. Porti* Adnotatt. in Xenoph. et *Thucydidem* separatim 1586. 4. et 1594. f. Genevæ.

Θουκυδίδου—Βιβλία ὀκτώ. *Thucydidis* de bello Pelop. Libri VIII. Quid in hac editione præstitum sit, Præfatio ad Lectorem indica-

bit. Oxoniæ e theatro Sheldon. impensis T. Bennet ad insigne Lunæ falcatæ in Cœmet. D. Pauli. Anno Dom. MDCXCVI. fol.

Johannes Hudsonus hanc editionem curavit, et præfatus est. Textis, e secunda Steph. recensione accurate redditis, sed in minores sectiones distinctis, additæ sunt in margine temporum notationes ex Dodwelli Chronol. subjecta est (in quavis pag.) latina versio minusculis litteris scripta, hanc excipiunt variæ lectiones trium codd. et edd. vett. eas scholia. Additæ sunt duæ tabulæ geogr. una Græciæ, ad Thucyd. historiam, adjuvante chartula Edm. Halleii, delineata, altera Siciliæ ex Cluverio petita. In calce leguntur (p. 530.) *Geo. Acacii* Epitome Historiæ Thucyd. *Veratii* Argumenta concionum (p. 532.) Stephani Proparasceue et Annotatt. in Thuc. atque Sch. (p. 538.) Appendix varr. lectt. Codd. Clarendon. et Græviani (p. 598.) denique Indices.

Θουκυδίδου—Βιβλία ὀκτώ. Thucydidis de bello Pelop. Libri octo, cum adnotationibus integris *Henr. Stephani* et *Joann. Hudsoni*. Recensuit et notas suas addidit *Joseph. Wasse*. Editionem curavit, suasque animadversiones adjecit *Car. Andr. Dukerus*. Cum variis dissertationibus, MSCtor. collationibus et indicibus novis locupletissimis. Amstelædami apud R. et J. Wetstenios et Gul. Smith. MDCCXXXI. fol.

Quum Wetsteniis primum placuisset non nisi Oxoniensem editionem, auctam tamen repetere, quumque Dukerus non ipse constituisset, scriptorem recensere, sed a librariis ad curam novæ editionis suscipiendam vocatus esset, non mirandum fuit, in emendanda oratione græca nihil esse præstitum, atque multa esse futuro editori relicta. Cæterum negari non potuit, superare hanc editionem superiores præsidiorum ad Thuc. rectius vel emendandum vel explicandum multitudine et utilitate. Nam quid præstare Duk. potuerit, bene docuit *Saxius* in laudat. Dukeri p. 32. s.

Cf. Acta Erudd. 1732. p. 1. ss. Bibl. raisonnée. T. VII. P. I. p. 126. ss.

Recusa est Dukeri editio primum Glasguæ 1758. per Rob. et Andr. Foulis VIII. voll. 8. tum Biponti:

Thucydidis de bello Pelop. Libri VIII. græce et latine ad editionem Jos. Wasse et Car. Andr. Dukeri accurate expressi, cum va-

rietate lectionis et annotationibus. Studiis societatis Bipontinæ. Biponti, ex typ. Soc. 1788. 89. VI. voll. 8.

Non satis commode illa editio est descripta. Separatim Græca cum lat. versione exhibentur, sequuntur cuique volumini subjectæ variæ lectiones et adnotationes. Volumine quinto continentur etiam scholia, et sexto Annotatt. in Scholia cum Indicibus.

Dukerianam excepit nostra, de cujus rationibus in præf. utriusque vol. dictum est.

Nic. Blancardum etiam novam editionem Thuc. molitum esse *A. C. Eschenbachius* testatur in epist. in *Schelhornii* Amœn. litt. T. V. p. 195.

Editiones singularum particularum.

Liber I. et II. gr. ap. Wechel. Paris. 1535. 4.

Libri I. Conciones gr. Paris. ap. Christ. Wechel. 1531. 4.

Liber I. gr. 1548. II. et III. Paris. 1549. 4. ap. Vascosanum.

Platonis, *Thucydidis* et Demosthenis funebres Orationes. Græce. Venetiis apud Aldi filios. M.D.XLIX. in 8.

(Serie dell' Ed. Ald. p. 159. Renouard Ann. T. I. p. 258.)

Libri IV. curante Vito Winsemio. Viteb. 1562. (s. 1561.) 4.

Periclis funebris laudatio eorum qui in bello occubuerunt ex libro Thucyd. secundo. Par. 1605. 4.

Libri III. græce et latine. Par. 1626. 12.

Orationes Thucydidis seorsim excusæ, gr. curante M. Andr. Corvino, in usum auditorum suorum. Lips. 1631. 8.

Thucydidis, Platonis et Lysiæ orationes funebres. Ox. 1753. 8. cum vers. lat. et not. angl. (Edidit Ed. Bentham.)

Thucydidis funebres orationes, gr. et lat. Glasguæ 1755. 12. (etiam locus de peste adjectus est).

Thucydidis Orationes cum animadversionibus et indice Car. Ludov. Baveri, Lips. A. M. Schol. Laub. Rect. Lipsiæ, 1759. 8.

Promisit jam tum Baverus in præf. Lexicon Thucydideum, et Philologiam Thucydideam, s. Notationes figurarum Thucydidis.

Thucydidis, Platonis, Lysiæ et Xenophontis orationes funebres, cum notis anglice scriptis. Oxon. 1768. 8.

Platonis Menexenus et Periclis *Thucydidei* oratio funebris, recensuit et animadversionibus illustravit *Jo. Chr. Gottleber.* Lips. 1782. 8. m.

Oratio funebris Periclis (Thuc. II. 35—47.) et descriptio pestis Thuc. cum animadversionibus (grammaticis) francogall. scriptis et adjectis excerptis ex Fabii Paulini Comment. in locum de peste, et versione orationis Pericleæ francogall. auctore et editore *J. B. Gail*, Prof. litt. gr. in coll. Franc. Paris s. a. (1802. ut videtur) 8. m.

Cf. Neve Leipz. Lit. Zeit. 1803. n. 79. p. 1229.

Ἐκλογαὶ ἱστορικαὶ, Selecta principum Historicorum, Herodoti, *Thucydidis* etc.—discip. instit. accommodavit *Dan. Wyttenbach*, Amst. 1794. 8. p. 61. ss.

Historiæ Græcæ capita præcipua s. Excerpta ex Herod. *Thucydide*, Xenoph. Collegit *Aug. Matthiæ*, Gymn. Alt. Direct.—Altenb. 1804. (p. 178. ss. L. I. et VII.)

VERSIONES.

a. *Latinæ*. Prima est *Laur. Vallæ* a. 1452. facta, atque primum sæc. XV. s. l. et a. nota, 4, tum sæpius edita. Recognoverunt eam Conr. Heresbachius, Col. 1527. f. *Sebast. Castalio* Bas. 1564. f. *Henr. Stephanus* 1562. et Francof. 1582. 12. *Æmilius Portus* 1594. f. cum textu gr. et separatim 1594. 12.

Secunda est *Viti Winsemii*, patris, Vit. 1569. f. 1580. 8.

Tertia *Georgii Acacii Enenckel* L. B. *Hohenecti* cum annotatt. perpetuis, nominum item propriorum, tam hominum quam regionum etc. descriptionibus, chronographia insuper in Thucyd. et veteris Græciæ Geographia æneis typis seorsim excusa. Tub. 1596. 8. Argentor. 1614. 8.

Hudsonus versionem Æm. Porti (h. e. a Porto recognitam) aliquot locis castigavit adhibitis ceteris versionibus Latinis et gallica

Ablancurtii, atque anglica Hobbesii. Hanc Oxon. editionis interpretationem repetiit Dukerus.

Orationes ex historia Thucyd. latine verterunt *Phil. Melanchthon* Viteb. 1562. 8.—Joannes Casa (della Casa) archiepiscopus Beneventanus (Florent. 1564. 8.) in Ejus monumentis latinis, et separatim Helmst. 1610. 4. cum præf. Joh. Caselii et sæpius—*Jobus Veratius*—Periclis orationem *Guil. Canterus*, ad calcem oratt. Aristidis—insignes locos e Thuc. historia *Joach. Camerarius* Viteb. 1565. 8.

Cf. Jo. Caselii prolegomena in Thucyd. interpretationem. Rost. 1576. 4. ejusd. *Thucydidea*, edita ab *J. H. Ackero*, Jen. 1714. 8.

b. Germanicæ sunt: *Hieronymi Boneri*, prætoris Colmar. Augustæ Vind. 1533. f. *Studiis* societatis virorum doctorum, Francof. et L. 1757. II. 4. (etiam tom. X. Operis: Neve Sammlung der merkwürdigsten Reisegeschichten.)

Thucydides Acht Bücher der Gesch. vom peloponn. Kriege. Aus dem Griech. mit vielen crit. Anmerkungen überserzt von *Joh. Dav. Heilmann*. Lemgo 1760. 8.

Orationes Thuc. germanice versas cum notis latinis criticis in omnes Thuc. libros edidit *Jo. Jac. Reiskius*. Lips. 1761. 8.

c. Anglica antiquissima est *Tho. Nicolls* non ex græco, sed ex gallico Seysselii facta. Lond. 1515. f. (et 1550.) Hanc exceperunt:

The History of the Grecian War, in 8 Books. Written by Thucydides. Translated by *Tho. Hobbes* of Malmesbury. Lond. 1628. f. it. 1634. 1676. f. 1723. II. 8. Præmittitur diss. de vita et historia Thuc. repetita etiam in ejus Opuscc. moralibus et politicis (*Tho. Hobbes's* Moral and Political Works, Lond. 1750. f.) p. 652. ss. Laudatur hæc versio, quamquam non admodum diligens est et fida.

The History of the Pelop. war, translated from the Greek of Thucydides. By *Will. Smith* M. A. Lond. 1753. II. voll. 4. it. 1781. II. 8. cum annotatt. et tribus diss. de vita, virtutibus, et indole operis, Thucydidis.

Thucydides's Account of the Plague of Athens, translated by *Francis Clifton*, (adj. ejus versioni Hippocratis l. de aëre, aquis, et locis. Land. 1734. p. 95. ss.)

Two Orations in Praise of Athenians slain in Battle. From the Greek, with Reflections. Lond. 1759. 8. (Ex Smithi vers.)

d. Francogallicæ: Prima est *Claudii Seysselii* (*Claude de* Seyssel, episc. Massil.) in usum, non Francisci I. sed *Ludovici* XII. regis Gall. facta, pessima illa, cum auctor ne versionem quidem latinam Vallæ satis intellexerit. Prodiit Paris. 1527. ap. Badium et elegantissime ap. Vascosan. Par. 1558. f.

Secunda Usesii (*Louis Jausaud d' Usez,*) qui græcæ, non patriæ linguæ æque peritus erat. Prodiit Genevæ 1610. fol. min. Sine græcis ejus versio intelligi nequit.

Tertia Ablancurtii (*Nic. Perrot d'Ablancourt,* Par. 1662. f. 1671. 12. III. voll. Amst. 1713. III. 12. et sæpius.) Hæc versio, ut aliæ ab eodem V. D. editæ, parum græcis respondet, videturque auctor versiones recentes, non ipsum scriptorem, reddidisse.

Quarta *Levesquii,* Histoire de Thucydide, fils d' Olorus, traduite de Grec par *Pierre Charles Levesque.* Paris 1795. (An IV. de la Rep.) IV. 8. maj. etiam 4. In præf. recensuit p. XXXIV. ss. superiores interpp. Ipse addidit et criticas exegeticasque animadverss. consulto etiam Corayo, doctissimo Græco. T. IV. p. 242. ss. Supplementum historiæ Thuc. addidit, usque ad finem belli Pelop.

Cf. Allgem. Lit. Zeit. 1796. I. p. 1443.

Harangues et Concions de Thucydide et autres Auteurs. par *Fr. de Belleforest.* Par. 1572. f.

Harangues tirées d' Hérodote, de *Thucydide* etc. traduites par *Ath. Auger.* Par. 1788. 8. ubi T. II. etiam notæ in nonnulla loca Thuc. leguntur.

e. Italicæ: Gli otto Libri di Thucydide Atheniese, delle guerre fatte tra popoli della Morea et gli Atheniesi. Nuovamente dal Greco idioma nella lingua Thoscana con ogni diligenza tradotto par *Franc. di Soldo Strozzi* Fiorentino. L' Annotatione e dichiaratione di tutti i luoghi difficili etc. In Venetia. Apresso Vinc. Vaugris 1545. 8. repet. 1550. 1563. et sæp.

Tucidide nuovamente co' testi Greci riveduto e dagli errori emendato colla vita dell' Autore da *Tommaso Porcacchi* descritta— Verona 1735. II. 4. cum not. V. D. Rom. 1789. 90. II. 4.

f. Laudantur etiam *Hispanica Didaci Gratiani de Aldrete* (En Salamanca 1564. f. — nam versio *Jo. de Castro Salinas* inedita est), *Danica. Franc. Mich. Wochelii, Belgica H. Friesemanni.* Amst. 1786. II.

Scripta, quæ Thucyd. ejusque Scholiasten illustrant.

Martini Crusii Orat. XVIII. præmissa prælectionibus in Thucydidem. Tub. 1566.

Dan. Chytræi Programmata in Thucyd. quæ leguntur in Scriptis in acad. Rostoch. publice propositis ab a. 1560—67. (Partes II.) Rost. 1567. 8.

Prælectiones Marciæ s. Commentária in Thucyd. historiam de peste Athenn. ex ore *Fabii Paulini* Utinensis excepta. Ven. 1603. 4.

M. *Jo. Stiliconis* Hamb. disp. Ritus περὶ τῆς φρυκτωρίας sive de excubiarum accensis ignibus actione, ad illustr. Thuc. l. III. Viteb. 1714. 4.

Bened. Averani Florent. diss. LVIII. in quædam Thucyd. loca, Opp. ejus T. I. (Flor. 1716. f.)

Jo. Grammii Castigationes ad Scholia græca in Thucyd. Hafniæ. 1721. 22. 4.

Incerti Britanni, sub litera Π se occultantis, Observationes in *Miscell. Observat.* (Batavis) Vol. II. T. I. p. 60—62. et T. II. p. 157—163. Ibidem, Vol. III. T. I. p. 147—152. et T. II. p. 302—308. *H* (h. e. Abreschii) Animadverss. in Thucydidem.

Frid. Ludov. Abresch Dilucidationes Thucydideæ quibus et passim cum Novi Test. tum aliorum Scriptt. loca illustrantur aut emendantur. Trajecti ad Rhen. 1755. 8. Ejusd. Dilucidationum Thucydidearum Auctarium, adj. Animadversionum ad Æschylum Libro tertio, Zwollæ, 1763. p. 213. ss.

Petri Horrei Observationes criticæ in Scriptores quosdam græcos historicos. Leovard. 1736. 8. Ibi p. 391—513. Observatt. ad Thucyd. leguntur.

Jo. Jac. Reiskii Animadversiones ad Græcos auctores, Vol. tertio p. 1—78.

Remarks on Thucydides, in Observations on the Greek and Roman Classics. In a series of letters to a young Nobleman. Lond. 1753. 12.

Some general criticisms on Thucydides, by *Jam. Moor* in ejus essays. Glasg. 1759. p. 148. ss.

Henr. Dodwelli, Dublin. A. M. Annales *Thucydidei* et Xenophontei, præmisso adparatu cum vitæ Thucyd. synopsi chronologica Oxon. 1702. 4.

Comparationem *Thucydidis* et Livii, francog. lingua, scripsit *Rapinus* eamque angl. vertit *Tho. Taylor*, Lond. 1694. 8. *Thucydidem*, Sallustium et Tacitum comparavit, anglico libello, *Rob. Alves*, A. M. Edinb. 1795. 8.

Car. Lud. Baveri Exerc. de lectione Thucyd. optima interpretandi disciplina, L. 1753. 4. add. ejusd. Philologia Thucydideo-Paulina, Hal. 1773. 8.

J. Dan. Heilmann Kritische Gedanken von dem Charakter und der Schreibart des Thucyd. Lemg. 1758. 4. et in ejus Opuscc. a Danovio editis T. II. p. 89. ss.

Herodot und *Thucydides*, Versuch einer nähern Würdigung einiger ihrer histor. Grundsätze — von *Geo. Fr. Creuzer*. L. 1798. 8. add. ejusd. V. D. Librum : die historische Kunst der Griechen. (1803. p. 262. ss.)

Christi. Rami Comm. de sermonibus funebribus, qui publice Athenis habebantur, Hafn. 1793. 8. ab init.

Thucydides editionis Bipontinæ illustratus ac emendatus a *Jo. Hyac. Kistemaker*, Phil. Prof. etc. *Pars prima*, complectens quatuor libros priores. Monast. 1791. 8.

Aug. Matthiæ Observationes in Thucyd. librum I. in (Ruperti et Schlichthorst) Magazin für öffentl. Schulen und Schullehrer, Vol. I. P. II. p. 423. ss.

J. G. Schlosser Apologie des Thucydides gegen den Tadel des Dion. von Halicarnass und beyher über die Kriegs-manifeste, im N. deutsch. Mus. 1790. II. St.

Ein Gemälde des Thucydides von den griech. Staatsrevolutionen und politischen Clubs zur Zeit des pelop. Kriegs. Aus dem III. B. von 82 — 84. Hauptstücke von *J. G. Schlosser*, im Philosoph.

Journal für Moralität, Religion und Menschenwohl 2. B. 1. H. p. 60—79.

Meierotto Comm. de Thucydide, in: Sammlung der deutschen Abhandl. der Kön. preuss. Acad. d. Wiss. zu Berlin, B. 1796. n. 8. et in Mémoires ejusd. a. n. 24.

Μανουὴλ Σ. Τενεδίου Διατριβὴ εἰς Θουκυδίδην καὶ τῆς κατ' αὐτὸν ἱστορίας ἐπιτομή. Vindob. ap. Schræmbl. 1799. 8.

Ern. Aug. Evers Diss de procemio Thucydideo. Gött. 1803. 8.

[Plura ad hanc rem spectantia infra reperies apud E. F. Poppo, ad init.]

ΜΑΡΚΕΛΛΙΝΟΥ

ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ ΒΙΟΥ

ΚΑΙ ΤΗΣ ΙΔΕΑΣ ΑΥΤΟΥ

ἀπὸ τῆς ὅλης ξυγγραφῆς παρεκβολή.

ΤΩΝ Δημοσθένους μύστας γεγενημένους θείων λόγων τε καὶ ἀγώνων, συμβουλευτικῶν τε καὶ δικανικῶν νρημάτων μεστοὺς γενομένους, καὶ ἱκανῶς ἐμφορηθέντας, ὥρα λοιπὸν καὶ τῶν Θουκυδίδου τελετῶν ἐντὸς καταστῆναι. πολὺς γὰρ ἀνὴρ τέχναις, καὶ κάλλει λόγων, καὶ ἀκριβείᾳ πραγμάτων, καὶ στρατηγίᾳ, καὶ συμβουλαῖς, καὶ πανηγυρικαῖς ὑποθέσεσιν. ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τοῦ ἀνδρὸς καὶ τὸ γένος καὶ τὸν βίον. πρὸ γὰρ τῶν λόγων ταῦτα ἐξεταστέον τοῖς φρονοῦσι καλῶς. Θουκυδίδης τοίνυν ὁ συγγραφεὺς Ὀλόρου μὲν προῆλθε πατρὸς, τὴν ἐπωνυμίαν ἔχοντος ἀπὸ Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως, καὶ μητρὸς Ἡγησιπύλης· ἀπόγονος δὲ τῶν εὐδοκιμωτάτων στρατηγῶν, λέγω δὴ τῶν περὶ Μιλτιάδην καὶ Κίμωνα. ᾠκείωτο δὲ ἐκ παλαιοῦ τῷ γένει πρὸς Μιλτιάδην τὸν στρατηγόν· τῷ δὲ Μιλτιάδῃ, πρὸς Αἰακὸν τὸν Δίος. οὕτως αὐχεῖ τὸ γένος ὁ συγγραφεὺς ἄνωθεν. καὶ τούτοις Δίδυμος μαρτυρεῖ, Φερεκύδην ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φάσκων οὕτως λέγειν· "Φιλαίας δὲ ὁ Αἴαντος οἰκεῖ ἐν ταῖς Ἀθήναις. ἐκ τούτου δὲ γίγνεται Δαΐκλος· τοῦδε, Ἐπίδυκος· τοῦδε, Ἀκέστωρ· τοῦδε, Ἀγήνωρ· τοῦδε, Ὄλιος· τοῦδε, Λύκης· τοῦδε, Τύφων· τοῦδε, Λάϊος· τοῦδε, Ἀγαμήστωρ· τοῦδε, Τίσανδρος,

ἐφ᾽ οὗ ἄρχοντος ἐν Ἀθήναις * τοῦδε, Μιλτιάδης· τοῦδε, Ἱπποκλείδης, ἐφ᾽ οὗ ἄρχοντος Παναθήναια ἐτέθη. * τοῦδε, Μιλτιάδης, ὃς ᾤκησε Χεῤῥόνησον." μαρτυρεῖ τούτοις καὶ Ἑλλάνικος ἐν τῇ ἐπιγραφομένῃ Ἀσωπίδι. ἀλλ᾽ οὐκ ἂν εἴποι τις, τί αὐτῷ πρὸς Θουκυδίδην; ἔστι γὰρ οὗτος τούτου συγγενής. Θρᾷκες καὶ Δόλοπες ἐπολέμουν πρὸς Ἀψινθίους, ὄντας γείτονας· ταλαιπωρούμενοι δὲ τῷ πολέμῳ, καὶ τί κακὸν οὐ πάσχοντες, ἐκ τοῦ μεῖον ἔχειν ἀεὶ τῶν πολεμίων, καταφεύγουσιν ἐπὶ τὰ τοῦ θεοῦ χρηστήρια, εἰδότες ὅτι μόνος ὁ θεὸς ἐξ ἀμηχάνων εὑρίσκει πόρους. "Θεῶν γὰρ ἰσχὺς, καὶ κατ᾽ Αἰσχύλον, ὑπερτέρα· πολλάκις δ᾽ ἐν κακοῖσι τὰν ἀμήχανον ἐκ χαλεπᾶς δύας, ὑπέρ τε ὀμμάτων κρημναμέναν νεφέλαν ὀρθοῖ." καὶ οὐκ ἐψεύσθησαν τῶν ἐλπίδων. ἐχρήσθησαν γὰρ κράτιστον ἕξειν ἡγεμόνα τοῦτον, ὃς ἂν αὐτοὺς ἀλωμένους ἐπὶ ξενίαν καλέσοι. τότε καὶ Κροῖσος εἶχε Λυδίαν, καὶ τὰς Ἀθήνας ἡ Πεισιστρατιδῶν τυραννίς. ἐπανιόντες οὖν ἀπὸ τοῦ χρηστηρίου, περιέτυχον τῷ Μιλτιάδῃ πρὸ τῶν ὅρων καθεζομένῳ τῆς Ἀττικῆς, ἀχθομένῳ μὲν τῇ τυραννίδι, δικαίαν δὲ ζητοῦντι τῆς Ἀττικῆς ἔξοδον. ταῦτα γὰρ ᾠκονόμησεν ὁ χρησμὸς αὐτοῖς. ὁρῶν οὖν αὐτοὺς πλανήτων ἔχοντας στολὴν, συνεὶς τί δύναται πλάνη, καλεῖ τοὺς ἄνδρας ἐπὶ ξενίαν, ὑπηρετῶν τῷ χρησμῷ λανθάνων. οἱ δ᾽ ᾔσθησαν, τὸν ἡγεμόνα τὸν ἀπὸ τῶν ξενίων εἰληφότες· καὶ πάντα αὐτῷ διηγησάμενοι, στρατηγὸν ἐχειροτόνησαν αὐτόν. οἱ μὲν οὖν τὸν θεὸν φασὶν ἐρωτήσαντα ἐξελθεῖν· οἱ δὲ, οὐκ ἄνευ γνώμης τοῦ τυράννου τὴν ἔξοδον πεποιηκέναι, ἀλλὰ τῷ κρατοῦντι τὴν πρόσκλησιν τῶν Θρᾳκῶν διηγησάμενον, ἀπελθεῖν. οἷς καὶ προσδοὺς δύναμιν, ἀπέπεμψεν, ἡσθεὶς ὅτι μέγα δυνάμενος ἀνὴρ ἔξεισι τῶν Ἀθηνῶν. οὗτος οὖν ἡγούμενος ἐπλήρωσε τὰ μεμαντευμένα, καὶ μετὰ τὴν νίκην

γίνεται καὶ Χεῤῥονήσου οἰκιστής. ἀποθανόντος δὲ μετὰ παιδὸς αὐτοῦ, διαδέχεται τὴν ἐν Χεῤῥονήσῳ ἀρχὴν Στησαγόρας ὁ ἀδελφὸς αὐτοῦ ὁμομήτριος. ἀποθανόντος δὲ καὶ τούτου, διαδέχεται τὴν ἀρχὴν Μιλτιάδης, ὁμώνυμος μὲν τῷ πρώτῳ οἰκιστῇ, ἀδελφὸς δὲ Στησαγόρου ὁμομήτριος καὶ ὁμοπάτριος. οὗτος οὖν, ὄντων αὐτῷ παίδων ἐξ Ἀττικῆς γυναικὸς, ὅμως ἐπιθυμῶν δυναστείας, λαμβάνει Θρᾳκῶν βασιλέως Ὀλόρου θυγατέρα Ἡγησιπύλην πρὸς γάμον. ἐξ οὗ καὶ αὐτῆς γίνεται παιδίον. κατελθόντων δὲ εἰς τὴν Ἑλλάδα Περσῶν, συσκευασάμενος τὰ αὑτοῦ, εἰς τὰς Ἀθήνας πέμπει, καὶ τὰ πολλὰ τοῦ γένους ἀποστέλλει. ἡ δὲ ναῦς ἁλίσκεται, ἐν ᾗ καὶ οἱ παῖδες αὐτοῦ· ἀλλ᾽ οὐχ οἱ ἐκ τῆς γυναικὸς τῆς Θρᾳκικῆς. ἀφίενται δ᾽ ὑπὸ βασιλέως, εἴγε μὴ Ἡρόδοτος ψεύδεται. Μιλτιάδης δ᾽ εἰς τὴν Ἀττικὴν ἐκ Θρᾴκης διαφυγὼν, σώζεται. οὐκ ἀπέδρα δὲ καὶ τὴν τῶν [ἐχθρῶν] συκοφαντίαν. ἐγκλήματα γὰρ αὐτῷ [ἐπέφερον,] διεξιόντες [αὐτοῦ] τὴν τυραννίδα [τὴν ἐν Χεῤῥονήσῳ.] ἀποφεύγει δὲ [καὶ τούτους, καὶ] στρατηγὸς τοῦ πρὸς τοὺς βαρβάρους πολέμου γίγνεται. ἀπὸ τούτου οὖν κατάγεσθαί φασι τὸ Θουκυδίδου γένος· καὶ μέγιστον τεκμήριον νομίζουσι τὴν πολλὴν περιουσίαν, καὶ τὰ ἐπὶ Θρᾴκης κτήματα, καὶ μέταλλα χρυσᾶ. δοκεῖ οὖν τισὶν * εἶναι τοῦ Μιλτιάδου, ἢ θυγατριδοῦς. παρέσχε δ᾽ ἡμῖν τηνάλλως αὐτὸς ζήτησιν, μηδεμίαν μνήμην περὶ τοῦ γένους πεποιημένος. μὴ ἀγνοῶμεν δὲ τοῦτο, ὅτι Ὄρολος ὁ πατὴρ αὐτῷ ἐστὶ, τῆς μὲν πρώτης συλλαβῆς τὸ ρ ἐχούσης, τῆς δὲ δευτέρας τὸ λ. αὕτη γὰρ ἡ γραφὴ, ὡς καὶ Διδύμῳ δοκεῖ, ἡμάρτηται. ὅτι γὰρ Ὄρολός ἐστιν, ἡ στήλη δηλοῖ ἡ ἐπὶ τοῦ τάφου αὐτοῦ κειμένη· ἔνθα κεχάρακται,

Θουκυδίδης Ὀρόλου Ἁλιμούσιος ἐνθάδε κεῖται.

πρὸς γὰρ ταῖς Μελιρίσι πύλαις καλουμέναις ἐστὶν ἐν Κοίλῃ τὰ καλούμενα Κιμόνια μνήματα, ἔνθα δείκνυται Ἡροδότου καὶ Θουκυδίδου τάφος. εὑρίσκεται δηλονότι τοῦ Μιλτιάδου γένους ὄντως. ξένος γὰρ οὐδεὶς ἐκεῖ θάπτεται. καὶ Πολέμων δὲ ἐν τῷ περὶ ἀκροπόλεως μαρτυρεῖ· ἔνθα * καὶ θεο * αὐτῷ γεγενῆσθαι προσιστορεῖ. ὁ δὲ Ἕρμιππος καὶ ἀπὸ τῶν Πεισιστρατιδῶν αὐτὸν λέγει τῶν τυράννων ἕλκειν τὸ γένος. διὸ καὶ διαφθονεῖν αὐτόν φησιν ἐν τῇ συγγραφῇ τοῖς περὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα, λέγοντα ὡς οὐκ ἐγένοντο τυραννοφόνοι. οὐ γὰρ ἐφόνευσαν τὸν τύραννον, ἀλλὰ τὸν ἀδελφὸν τοῦ τυράννου Ἵππαρχον. ἠγάγετο δὲ γυναῖκα ἀπὸ Σκαπτῆς ὕλης τῆς Θρᾴκης πλουσίαν σφόδρα, καὶ μέταλλα κεκτημένην ἐν τῇ Θρᾴκῃ. τοῦτον δὲ τὸν πλοῦτον λαμβάνων, οὐκ εἰς τρυφὴν ἀνήλισκεν, ἀλλὰ πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου, τὸν πόλεμον αἰσθηθεὶς κινεῖσθαι μέλλοντα, προελόμενος συγγράψαι αὐτὸν, παρεῖχε πολλὰ τοῖς Ἀθηναίων στρατιώταις καὶ τοῖς Λακεδαιμονίων, καὶ πολλοῖς ἄλλοις, ἵνα ἀπαγγέλλοιεν αὐτῷ βουλομένῳ συγγράφειν τὰ γινόμενα κατὰ καιρὸν καὶ λεγόμενα ἐν αὐτῷ τῷ πολέμῳ. ζητητέον δὲ διὰ τί καὶ Λακεδαιμονίοις παρεῖχε καὶ ἄλλοις; ἐξὸν Ἀθηναίοις μόνοις διδόναι, καὶ παρ' ἐκείνων μανθάνειν. καὶ λέγομεν ὅτι οὐκ ἀσκόπως καὶ τοῖς ἄλλοις παρεῖχε. σκοπὸς γὰρ ἦν αὐτῷ τὴν ἀλήθειαν τῶν πραγμάτων συγγράψαι. εἰκὸς δὲ ἦν, Ἀθηναίους πρὸς τὸ χρήσιμον ἀπαγγέλλοντας τὸ ἑαυτῶν, ψεύδεσθαι, καὶ λέγειν πολλάκις ὡς ἡμεῖς ἐνικήσαμεν, οὐ νικήσαντες. διὸ πᾶσι παρεῖχεν, ἐκ τῆς τῶν πολλῶν συμφωνίας θηρώμενος τὴν τῆς ἀληθείας κατάληψιν. τὸ γὰρ ἀσαφὲς ἐξελέγχεται τῇ τῶν πολλῶν συναδούσῃ συμφωνίᾳ. ἤκουσε δὲ διδασκάλων, Ἀναξαγόρου μὲν, ἐν φιλοσόφοις, (ὅθεν, φησὶν Ἄντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη, τῆς ἐκεῖθεν

θεωρίας ἐμφορηθεὶς,) Ἀντιφῶντος δὲ ῥήτορος, δεινοῦ τὴν ῥητορικὴν ἀνδρὸς, οὗ καὶ μέμνηται ἐν τῇ ὀγδόῃ ὡς αἰτίου τῆς καταλύσεως τῆς δημοκρατίας, καὶ τῆς τῶν τετρακοσίων καταστάσεως. ὅτι δὲ μετὰ τὸν θάνατον τιμωρούμενοι τὸν Ἀντιφῶντα οἱ Ἀθηναῖοι ἔῤῥιψαν ἔξω τῆς πόλεως τὸ σῶμα, σεσιώπηκεν, ὡς διδασκάλῳ χαριζόμενος. λέγεται γὰρ ὡς ἔῤῥιψαν αὐτοῦ τὸ σῶμα οἱ Ἀθηναῖοι ὡς αἰτίου τῆς μεταβολῆς τῆς δημοκρατίας. οὐκ ἐπολιτεύσατο δὲ ὁ συγγραφεὺς γενόμενος ἐν ἡλικίᾳ, οὐδὲ προσῆλθε τῷ βήματι, ἐστρατήγησε δὲ, ἀρχέκακον ἀρχὴν παραλαβών. ἀπὸ γὰρ ταύτης φυγαδεύεται. πεμφθεὶς γὰρ ἐπ᾽ Ἀμφίπολιν, Βρασίδου φθάσαντος καὶ προλαβόντος αὐτὴν, ἔσχεν αἰτίαν· καίτοι μὴ πάντα καταστὰς ἀνόνητος Ἀθηναίοις. τῆς μὲν γὰρ ἁμαρτάνει, Ἠϊόνα δὲ τὴν ἐπὶ Στρυμόνι λαμβάνει. ἀλλὰ καὶ οὕτω, τὸ πρῶτον ἀτύχημα εἰς ἁμάρτημα μεταλαβόντες, φυγαδεύουσιν αὐτόν. γενόμενος δ᾽ ἐν Αἰγίνῃ μετὰ τὴν φυγὴν, ὡς ἂν πλουτῶν, ἐδάνεισε τὰ πλεῖστα τῶν χρημάτων. ἀλλὰ κἀκεῖθεν μετῆλθε, καὶ διατρίβων ἐν Σκαπτῇ ὕλῃ, ὑπὸ πλατάνῳ ἔγραφε. μὴ γὰρ δὴ πειθώμεθα Τιμαίῳ λέγοντι, ὡς φυγὼν ᾤκησεν ἐν Ἰταλίᾳ. ἔγραφε δ᾽ οὐδ᾽ οὕτω μνησικακῶν τοῖς Ἀθηναίοις, ἀλλὰ φιλαλήθης ὢν, καὶ τὰ ἤθη μέτριος· εἴγε οὔτε Κλέων παρ᾽ αὐτῷ, οὔτε Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος, ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. καίτοι οἱ πολλοὶ τοῖς ἰδίοις πάθεσι συνέθεσαν τάς ἱστορίας, ἥκιστα μελῆσαν αὐτοῖς τῆς ἀληθείας. Ἡρόδοτος μὲν γὰρ ὑπεροφθεὶς ὑπὸ Κορινθίων, ἀποδρᾶναι φησὶν αὐτοὺς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. Τίμαιος δ᾽ ὁ Ταυρομενίτης Τιμολέοντα ὑπερεπῄνησε τοῦ μετρίου, καθότι Ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα οὐ κατέλυσε τῆς μοναρχίας· Φίλιστος δὲ τῷ νέῳ Διονυσίῳ τοῖς λόγοις πολεμεῖ·

Ξενοφῶν δὲ Μένωνι λοιδορεῖται τῷ Πλάτωνος ἑταίρῳ, διὰ τὸν πρὸς Πλάτωνα ζῆλον. ὁ δὲ, μέτριος, καὶ ἐπιεικὴς, τῆς ἀληθείας ἥττων. μὴ ἀγνοῶμεν δὲ ὅτι ἐγένοντο Θουκυδίδαι πολλοί· οὗτός τε ὁ Ὀλόρου παῖς, καὶ δεύτερος δημαγωγὸς, Μιλησίου, ὃς καὶ Περικλεῖ διεπολιτεύσατο· τρίτος δὲ γένει Φαρσάλιος, οὗ μέμνηται Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως, φάσκων αὐτὸν εἶναι πατρὸς Μένωνος· τέταρτος ἄλλος Θουκυδίδης ποιητὴς, τὸν δῆμον Ἀχερδούσιος· οὗ μέμνηται Ἀνδροτίων ἐν τῇ Ἀτθίδι, λέγων εἶναι πατρὸς Ἀρίστωνος. συνεχρόνισε δ', ὥς φησι Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, Πλάτωνι τῷ κωμικῷ, Ἀγάθωνι τραγικῷ, Νικηράτῳ ἐποποιῷ, καὶ Χοιριδίῳ, καὶ Μελανιππίδῃ. καὶ ἐπεὶ μὲν ἔζη Ἀρχέλαος, ἄδοξος ἦν ὡς ἐπιπλεῖστον, ὡς αὐτὸς Πραξιφάνης φησίν· ὕστερον δὲ δαιμονίως ἐθαυμάσθη. οἱ μὲν οὖν ἐκεῖ λέγουσιν αὐτὸν ἀποθανεῖν, ἔνθα καὶ διέτριβε φυγὰς ὤν· καὶ φέρουσι μαρτύριον τοῦ μὴ κεῖσθαι τὸ σῶμα ἐπὶ τῆς Ἀττικῆς. ἰκρίον γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι· τοῦ κενοταφίου δὲ τοῦτο γνώρισμα εἶναι ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ τοιαύτῃ δυστυχίᾳ τετελευτηκότων, καὶ μὴ ἐν Ἀθήναις ταφέντων. Δίδυμος δ' ἐν Ἀθήναις, ἀπὸ τῆς φυγῆς ἐλθόντα, βιαίῳ θανάτῳ φησὶν ἀποθανεῖν. τοῦτο δέ φησι Ζώπυρον ἱστορεῖν. τοὺς γὰρ Ἀθηναίους κάθοδον δεδωκέναι τοῖς φυγάσι, πλὴν τῶν Πεισιστρατιδῶν, μετὰ τὴν ἧτταν τὴν ἐν Σικελίᾳ. ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίᾳ, καὶ τεθῆναι ἐν τοῖς Κιμωνίοις μνήμασι. καὶ καταγινώσκειν εὐήθειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὲν τετελευτηκέναι, ἐπὶ γῆς δὲ τῆς Ἀττικῆς τεθάφθαι. εἰ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασι συλλήβδην τεθεὶς, οὐκ ἂν ἔτυχεν οὔτε στήλης, οὔτε ἐπιγράμματος, ἢ τῷ τάφῳ προσκειμένη, τοῦ συγγραφέως μηνύει τοὔνομα. ἀλλὰ δῆλον ὅτι κάθοδος ἐδόθη τοῖς

φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει, καὶ Δημήτριος ἐν τοῖς ἄρχουσιν. ἐγὼ δὲ Ζώπυρον ληρεῖν νομίζω, λέγοντα τοῦτον ἐν Θρᾴκῃ τετελευτηκέναι· κἂν ἀληθεύειν νομίζῃ Κράτιππος αὐτόν. τὸ δ' ἐν Ἰταλίᾳ Τίμαιον αὐτὸν καὶ ἄλλους λέγειν κεῖσθαι, μὴ καὶ σφόδρα καταγέλαστον ᾖ. λέγεται δ' αὐτὸν τὸ εἶδος γεγονέναι, σύννουν μὲν τὸ πρόσωπον, τὴν δὲ κεφαλὴν καὶ τὰς τρίχας εἰς ὀξὺ πεφυκυίας, τήν τε λοιπὴν ἕξιν προσπεφυκέναι τῇ συγγραφῇ. παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα τῆς συγγραφῆς τὴν προθεσμίαν. ζηλωτὴς δὲ γέγονεν ὁ Θουκυδίδης εἰς μὲν τὴν οἰκονομίαν, Ὁμήρου· Πινδάρου δὲ, εἰς τὸ μεγαλοφυὲς καὶ ὑψηλὸν τοῦ χαρακτῆρος· ἀσαφῶς δὲ λέγων ἀνὴρ ἐπίτηδες, ἵνα μὴ πᾶσιν εἴη βατὸς, μηδὲ εὐτελὴς φαίνηται, παντὶ τῷ βουλομένῳ νοούμενος εὐχερῶς, ἀλλὰ τοῖς λίαν σοφοῖς δοκιμαζόμενος, παρὰ τούτοις θαυμάζηται. ὁ γὰρ τοῖς ἀρίστοις ἐπαινούμενος, καὶ κεκριμένην δόξαν λαβὼν, ἀνάγραπτον εἰς τὸν ἔπειτα χρόνον κέκτηται τὴν τιμὴν, οὐ κινδυνεύουσαν ἐξαλειφθῆναι τοῖς ἐπικρίνουσιν, ἐζήλωσε δὲ ἐπ' ὀλίγον, ὥς φησιν Ἄντυλλος, καὶ τὰς Γοργίου τοῦ Λεοντίνου παρισώσεις, καὶ τὰς ἀντιθέσεις τῶν ὀνομάτων, εὐδοκιμούσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι· καὶ μέντοι καὶ Προδίκου τοῦ Κείου τὴν ἐπὶ τοῖς ὀνόμασιν ἀκριβολογίαν. μάλιστα δὲ πάντων (ὅπερ εἴπομεν) ἐζήλωσεν Ὅμηρον, καὶ τῆς περὶ τὰ ὀνόματα ἐκλογῆς, καὶ τῆς περὶ τὴν σύνθεσιν ἀκριβείας, τῆς τε ἰσχύος τῆς κατὰ τὴν ἑρμηνείαν, καὶ τοῦ κάλλους, καὶ τοῦ τάχους. τῶν δὲ πρὸ αὐτοῦ συγγραφέων τε καὶ ἱστορικῶν ἀψύχους ὥσπερ εἰσαγόντων τὰς συγγραφὰς, καὶ ψιλῇ μόνῃ χρησαμένων διαπαντὸς διηγήσει, προσώποις δὲ οὐ περιθέντων λόγους τινὰς, οὐδὲ ποιησάντων δημηγορίας, ἀλλ' Ἡροδότου μὲν ἐπιχειρήσαντος, οὐ μὴν ἐξισχύσαντος (δι' ὀλίγων γὰρ ἐποίησε λόγων, ὡς προ-

σωποποιΐας μᾶλλον ἤπερ δημηγορίας) μόνος ὁ συγγραφεὺς ἐξεῦρέ τε δημηγορίας, καὶ τελείως ἐποίησε μετὰ κεφαλαίων καὶ διαιρέσεως, ὥστε καὶ στάσει ὑποπίπτειν τὰς δημηγορίας. ὅπερ ἐστὶ λόγων τελείων εἰκών. τριῶν δὲ ὄντων χαρακτήρων φραστικῶν, ὑψηλοῦ, ἰσχνοῦ, μέσου, παρεὶς τοὺς ἄλλους, ἐζήλωσε τὸν ὑψηλὸν, ὡς ὄντα τῇ φύσει πρόσφορον τῇ οἰκείᾳ, καὶ τῷ μεγέθει πρέποντα τοῦ τοσούτου πολέμου. ὧν γὰρ αἱ πράξεις μεγάλαι, καὶ τὸν περὶ αὐτῶν ἔπρεπε λόγον ἐοικέναι ταῖς πράξεσιν. ἵνα δὲ μηδὲ τοὺς ἄλλους ἀγνοῇς χαρακτῆρας, ἴσθι, ὅτι μέσῳ μὲν Ἡρόδοτος ἐχρήσατο· (ὃς οὔτε ὑψηλός ἐστιν, οὔτε ἰσχνός·) ἰσχνῷ δὲ ὁ Ξενοφῶν. διά γε οὖν τὸ ὑψηλὸν ὁ Θουκυδίδης και ποιητικαῖς πολλάκις ἐχρήσατο λέξεσι, καὶ μεταφοραῖς τισί. περὶ δὲ πάσης τῆς συγγραφῆς ἐτόλμησάν τινες ἀποφήνασθαι, ὅτι αὐτὸ τὸ εἶδος τῆς συγγραφῆς, οὐκ ἔστι ῥητορικῆς, ἀλλὰ ποιητικῆς. καὶ ὅτι μὲν οὐκ ἔστι ποιητικῆς, δῆλον, ἐξ ὧν οὐχ ὑποπίπτει μέτρῳ τινί. εἰ δέ τις ἡμῖν ἀντείποι, ὅτι οὐ πάντως ὁ πεζὸς λόγος ῥητορικῆς ἐστιν, ὥσπερ οὐδὲ τὰ Πλάτωνος συγγράμματα, οὐδὲ τὰ ἰατρικὰ, λέγομεν ὅτι ἀλλ' ἡ συγγραφὴ κεφαλαίοις διαιρεῖται, καὶ ἐπὶ εἶδος ἀνάγεται ῥητορικῆς· κοινῶς μὲν πᾶσα συγγραφὴ ἐπὶ τὸ συμβουλευτικὸν (ἄλλοι δὲ καὶ ὑπὸ τὸ πανηγυρικὸν ἀνάγουσι, φάσκοντες ὅτι ἐγκωμιάζει τοὺς ἀρίστους ἐν τοῖς πολέμοις γενομένους), ἐξαιρέτως δὲ ἡ Θουκυδίδου ἐν τοῖς τρισὶν εἴδεσιν ὑποπίπτει· τῷ μὲν συμβουλευτικῷ, διὰ τῶν ὅλων δημηγοριῶν, πλὴν τῆς Πλαταιέων, καὶ Θηβαίων, ἐν τῇ τρίτῃ· τῷ δὲ πανηγυρικῷ, διὰ τοῦ ἐπιταφίου· τῷ δὲ δικανικῷ, διὰ τῆς δημηγορίας τῶν Πλαταιέων καὶ τῶν Θηβαίων, ἃς ἀνωτέρω τῶν ἄλλων ὑπεξειλόμεθα. ὅπου γὰρ δικασταὶ κρίνουσι Λακεδαιμονίων οἱ παραγενόμενοι, καὶ κρίνεται πρὸς τὴν ἐρώτησιν ὁ Πλαταιεὺς καὶ ἀπολογεῖται περὶ

ὧν ἐρωτᾶται, διὰ πλειόνων τοὺς λόγους ποιούμενος, καὶ ἀντιλέγει τούτοις ὁ Θηβαῖος, εἰς ὀργὴν τὸν Λακεδαιμόνιον προκαλούμενος· ἡ τοῦ λόγου τάξις καὶ μέθοδος καὶ τὸ σχῆμα, δικανικὸν καθαρῶς ἀποφαίνει τὸ εἶδος. λέγουσι δέ τινες τὴν ὀγδόην ἱστορίαν νοθεύεσθαι, καὶ μὴ εἶναι Θουκυδίδου· ἀλλ' οἱ μὲν φασὶν εἶναι τῆς θυγατρὸς αὐτοῦ, οἱ δὲ, Ξενοφῶντος. πρὸς οὓς λέγομεν ὅτι τῆς μὲν θυγατρὸς ὡς οὐκ ἔστι, δῆλον. οὐ γὰρ γυναικείας ἦν φύσεως τοιαύτην ἀρετήν τε καὶ τέχνην μιμήσασθαι. ἔπειτα, εἰ τοιαύτη τις ἦν, οὐκ ἂν ἐσπούδασε λαθεῖν, οὐδ' ἂν τὴν ὀγδόην ἔγραψε μόνον, ἀλλὰ καὶ ἄλλα πολλὰ κατέλιπεν ἂν, τὴν οἰκείαν ἐκφαίνουσα φύσιν. ὅτι δὲ οὐδὲ Ξενοφῶντός ἐστιν, ὁ χαρακτὴρ μονονουχὶ βοᾷ. πολὺ γὰρ τὸ μέσον ἰσχνοῦ χαρακτῆρος καὶ ὑψηλοῦ. οὐ μὴν οὐδὲ Θεοπόμπου, καθά τινες ἠξίωσαν. τισὶ δὲ, καὶ μᾶλλον τοῖς χαριεστέροις Θουκυδίδου μὲν εἶναι δοκεῖ, ἄλλως δ' ἀκαλλώπιστος, δι' ἐκτύπων γεγραμμένη, καὶ πολλῶν πλήρης ἐν κεφαλαίῳ πραγμάτων, καλλωπισθῆναι καὶ λαβεῖν ἔκτασιν δυναμένων. ἔνθεν καὶ λέγομεν ὡς ἀσθενέστερον πέφρασται, καὶ ὀλίγον καθότι ἀῤῥωστῶν αὐτὴν φαίνεται συντεθεικώς. ἀσθενοῦντος δὲ σώματος, βραχύ τι καὶ ὁ λογισμὸς ἀτονώτερος εἶναι φιλεῖ. μικροῦ γὰρ συμπάσχουσιν ἀλλήλοις ὅ, τε λογισμὸς καὶ τὸ σῶμα. ἀπέθανε δὲ μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν ἐν τῇ Θρᾴκῃ, συγγράφων τὰ πράγματα τοῦ εἰκοστοῦ καὶ πρώτου ἐνιαυτοῦ. εἴκοσι γὰρ καὶ ἑπτὰ κατέσχεν ὁ πόλεμος. τὰ δὲ τῶν ἄλλων ἓξ ἐτῶν πράγματα ἀναπληροῖ ὅ, τε Θεόπομπος καὶ ὁ Ξενοφῶν, οἷς συνάπτει τὴν Ἑλληνικὴν ἱστορίαν. Ἰστέον δὲ ὅτι στρατηγήσας ὁ Θουκυδίδης ἐν Ἀμφιπόλει, καὶ δόξας ἐκεῖ βραδέως ἀφικέσθαι, καὶ προλαβόντος αὐτὸν τοῦ Βρασίδου, ἐφυγαδεύθη ὑπ' Ἀθηναίων, διαβάλλοντος αὐτὸν τοῦ Κλέωνος (διὸ καὶ ἀπεχθάνεται τῷ

Κλέωνι, καὶ ὡς μεμηνότα αὐτὸν εἰσάγει πανταχοῦ) καὶ ἀπελθὼν, ὥς φησιν, ἐν τῇ Θρᾴκῃ, τὸ κάλλος ἐκεῖ τῆς συγγραφῆς συνέθηκεν. ἀφ᾽ οὗ μὲν γὰρ ὁ πόλεμος ἤρξατο, ἐσημειοῦτο τὰ λεγόμενα ἅπαντα, καὶ τὰ πραττόμενα. οὐ μὴν κάλλους ἐφρόντισε τὴν ἀρχὴν ἢ τοῦ μόνον σῶσαι τῇ σημειώσει τὰ πράγματα· ὕστερον δὲ μετὰ τὴν ἐξορίαν ἐν Σκαπτῇ ὕλῃ τῆς Θρᾴκης χωρίῳ διαιτώμενος, συνέταξε μετὰ κάλλους ἃ ἐξ ἀρχῆς μόνον ἐσημειοῦτο διὰ τὴν μνήμην. ἔστι δὲ τοῖς μύθοις ἐναντίος, διὰ τὸ χαίρειν ταῖς ἀληθείαις. οὐ γὰρ ἐπετήδευσε τοῖς ἄλλοις ταυτὸν συγγραφεῦσιν, οὐδὲ ἱστορικοῖς, οἳ μύθους ἐγκατέμιξαν ταῖς ἑαυτῶν ἱστορίαις, τοῦ τερπνοῦ πλέον τῆς ἀληθείας ἀντιποιούμενοι. ἀλλ᾽ ἐκεῖνοι μὲν οὕτω· τῷ συγγραφεῖ δ᾽ οὐκ ἐμέλησε πρὸς τέρψιν τῶν ἀκουόντων, ἀλλὰ πρὸς ἀκρίβειαν τῶν μανθανόντων γράφειν. καὶ γὰρ ὠνόμασεν ἀγώνισμα τὴν ἑαυτοῦ συγγραφήν. πολλὰ γὰρ τῶν πρὸς ἡδονὴν ἀπέφυγε, τὰς παρενθήκας, ἃς εἰώθασι ποιεῖν οἱ πλείονες, ἀποκλίνας. ὅπου γὰρ καὶ παρ᾽ Ἡροδότῳ καὶ ὁ δελφίς ἐστιν ὁ φιλήκοος, καὶ Ἀρίων ὁ κυβερνώμενος μουσικῇ, καὶ ὅλως ἡ δευτέρα τῶν ἱστοριῶν τὴν ὑπόθεσιν ψεύδεται. ὁ δὲ συγγραφεὺς οὗτος, ἂν ἀναμνησθῇ τινὸς περιττοῦ, διὰ μὲν τὴν ἀνάγκην λέγει, διηγεῖται δὲ μόνον εἰς γνῶσιν τῶν ἀκουόντων ἀφικνούμενος. ὅ, τε γὰρ περὶ Τηρέως αὐτῷ λόγος πέφρασται μόνον περὶ παθῶν τῶν γυναικῶν, ἥ τε Κυκλώπων ἱστορία, τῶν τόπων ἐμνημονεύθη χάριν. καὶ ὁ Ἀλκμαίων, ὅτε σωφρονεῖν μνημονεύεται, ἔνθα τὰ τῆς σωφροσύνης αὐτοῦ νήσους ποιεῖ, τὰ δ᾽ ἄλλα οὐκ ἀκριβοῖ. περὶ μὲν οὖν τοὺς μύθους τοιοῦτος. δεινὸς δὲ ἠθογραφῆσαι. καὶ ἐν μὲν τοῖς μέρεσι, σαφής· ὑπὸ δὲ τὴν σύνταξιν, ἐνίοτε διὰ τὸ ἐπιτεῖνον τῆς ἑρμηνείας, ἄδηλος εἶναι δοκῶν. ἔχει δὲ χαρακτῆρα ὑπέρσεμνον, καὶ μέγαν. τὸ δὲ

τῆς συνθέσεως, τραχύτητος ὂν μεστὸν, καὶ ἐμβριθὲς, καὶ ὑπερβατικὸν, ἐνίοτε δὲ καὶ ἀσαφές. αἱ δὲ βραχύτητες θαυμασταὶ, καὶ τῶν λέξεων οἱ νόες πλείονες. τὸ δὲ γνωμολογικὸν αὐτοῦ, πάνυ ἐπαινετόν. ἐν δὲ ταῖς ἀφηγήσεσι σφόδρα δυνατὸς, ναυμαχίας ἡμῖν καὶ πολιορκίας, νόσους τε καὶ στάσεις διηγούμενος. πολυειδὴς δὲ ἐν τοῖς σχήμασι, τὰ πολλὰ καὶ τῶν Γοργίου τοῦ Λεοντίνου μιμούμενος· ταχὺς ἐν ταῖς σημασίαις, πικρὸς ἐν ταῖς αὐστηρότησιν, ἠθῶν μιμητὴς, καὶ ἄριστος διαγραφεύς. ὄψει γοῦν παρ᾽ αὐτῷ φρόνημα Περικλέους, καὶ Κλέωνος οὐκ οἶδ᾽ ὅ, τι ἂν εἴποι τις· Ἀλκιβιάδου νεότητα, Θεμιστοκλέους πάντα, Νικίου χρηστότητα, δεισιδαιμονίαν, εὐτυχίαν, μέχρι Σικελίας, καὶ ἄλλα μυρία, ἃ κατὰ μέρος ἐπιδεῖν πειρασόμεθα. ὡς ἐπιπλεῖστον δὲ χρῆται τῇ ἀρχαίᾳ ἀτθίδι τῇ παλαιᾷ, ἢ τὸ ξ ἀντὶ τοῦ σ παρείληφεν, ὅταν ξυνέγραψε καὶ ξυμμαχίαν λέγῃ· καὶ τὴν δίφθογγον τὴν αι ἀντὶ τοῦ α γράφῃ, αἰεὶ λέγων. καὶ ὅλως ἐφευρετής ἐστι καινῶν ὀνομάτων. τὰ μὲν γὰρ, ἔστιν ἀρχαιότερα τῶν κατ᾽ αὐτὸν χρόνων, τὸ Αὐτοβοεὶ, καὶ τὸ Πολεμησείοντες, καὶ Παγχάλεπον, καὶ Ἁμαρτάδα, καὶ ὕλης Φακέλους· τὰ δὲ ποιηταῖς μέλει, οἷον τὸ Ἐπιλύγξαι, καὶ τὸ Ἐπηλύται, καὶ τὸ Ἀνακῶς, καὶ τὰ τοιαῦτα. τὰ δ᾽ ἴδια, οἷον Ἀποσίμωσις, καὶ Κωλύμη, καὶ Ἀποτείχισις· καὶ ὅσα ἄλλα παρ᾽ ἄλλοις μὲν οὐ κεῖται, ὑπ᾽ αὐτοῦ δὲ λέλεκται. μέλει δὲ αὐτῷ καὶ ὄγκου τῶν ὀνομάτων, καὶ δεινότητος τῶν ἐνθυμημάτων, καὶ, ὥσπερ φθάσαντες εἴπομεν, βραχύτητος συντάξεως. τὰ γὰρ πολλὰ τῶν πραγμάτων καὶ λέξει δείκνυται. τέθεικε δὲ πολλάκις καὶ πάθη καὶ πράγματα ἀντ᾽ ἀνδρῶν, ὡς τὸ Ἀντίπαλον δέος. ἔχει δὲ καί τι τοῦ πανηγυρικοῦ, ἐν οἷς ἐπιταφίους λέγει· καὶ ποικίλως εἰρωνείας εἰσφέρων, καὶ ἐρωτήσεις ποιούμενος, καὶ

φιλοσόφοις εἴδεσι δημηγορῶν. ἐν οἷς γὰρ ἀμοιβαῖός ἐστι, φιλοσοφεῖ. τὴν μέντοι ἰδέαν αὐτοῦ τῶν λέξεων καὶ τῶν συνθέσεων αἰτιῶνται οἱ πλείους, ὧν ἐστι Διονύσιος ὁ Ἁλικαρνασσεύς· μέμφεται γὰρ αὐτῷ ὡς πεζῇ καὶ πολιτικῇ λέξει χρῆσθαι μὴ δυναμένῳ· οὐκ εἰδὼς ὅτι ταῦτα πάντα δυνάμεως ἐστὶ περιττῆς καὶ ἕξεως πλεονεξία. φαίνεται δὲ ἐπὶ τῶν Ἡροδότου χρόνων γενόμενος, εἴγε ὁ μὲν Ἡρόδοτος μέμνηται τῆς Θηβαίων ἐσβολῆς ἐς τὴν Πλάταιαν, περὶ ἧς ἱστορεῖ Θουκυδίδης ἐν τῇ δευτέρᾳ. λέγεται δέ τι καὶ τοιοῦτον, ὡς ποτε τοῦ Ἡροδότου τὰς ἰδίας ἱστορίας ἐπιδεικνυμένου, παρὼν τῇ ἀκροάσει Θουκυδίδης, καὶ ἀκούσας, ἐδάκρυσεν. ἔπειτα φασὶ τὸν Ἡρόδοτον τοῦτο θεασάμενον εἰπεῖν αὐτοῦ πρὸς τὸν πατέρα τὸν Ὄλορον· ὦ Ὄλορε, ὀργᾷ ἡ φύσις τοῦ υἱοῦ σου πρὸς μαθήματα. ἐτελεύτησε δὲ ἐν τῇ Θρᾴκῃ· καὶ οἱ μὲν λέγουσιν ὅτι ἐκεῖ ἐτάφη· ἄλλοι λέγουσιν ὅτι ἐν ταῖς Ἀθήναις ἠνέχθη τὰ ὀστᾶ αὐτοῦ κρύφα παρὰ τῶν συγγενῶν, καὶ οὕτως ἐτάφη. οὐ γὰρ ἐξῆν φανερῶς θάπτειν ἐν Ἀθήναις τὸν ἐπὶ προδοσίᾳ φεύγοντα. ἔστι δὲ αὐτοῦ τάφος πλησίον τῶν Πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ Κοίλη καλεῖται, καθά φησιν Ἄντυλλος, ἀξιόπιστος ἀνὴρ μαρτυρῆσαι, καὶ ἱστορίαν γνῶναι, καὶ διδάξαι δεινός. καὶ στήλη δὲ, φησὶν, ἕστηκεν ἐν τῇ Κοίλῃ, Θουκυδίδης Ὀλόρου Ἁλιμούσιος, ἔχουσα ἐπίγραμμα. τινὲς δὲ προσέθηκαν καὶ τὸ, ἐνθάδε κεῖται. ἀλλὰ λέγομεν ὅτι νοούμενόν ἐστι τοῦτο καὶ προσυπακουόμενον. οὐδὲ γὰρ ἔκειτο ἐν τῷ ἐπιγράμματι. ἔστι δὲ τὴν ἰδέαν καὶ τὸν χαρακτῆρα μεγαλοπρεπὴς, ὡς μηδὲ ἐν τοῖς οἴκτοις ἀφίστασθαι τοῦ μεγαλοπρεποῦς· ἐμβριθὴς τὴν φράσιν, ἀσαφὴς τὴν διάνοιαν, διὰ τὸ ὑπερβατοῖς χαίρειν· ὀλίγοις ὀνόμασι πολλὰ πράγματα δηλῶν, καὶ ποικιλώτατος μὲν ἐν τοῖς τῆς λέξεως σχήμασι,

κατὰ δὲ τὴν διάνοιαν τοὐναντίον ἀσχημάτιστος. οὔτε γὰρ εἰρωνείαις, οὔτε ἐπιτιμήσεσιν, οὔτε ταῖς ἐκ πλαγίου ῥήσεσιν, οὔτε ἄλλαις τισὶ πανουργίαις πρὸς τὸν ἀκροατὴν κέχρηται, τοῦ Δημοσθένους μάλιστα ἐν τούτοις ἐπιδεικνυμένου τὴν δεινότητα. οἶμαι δὲ οὐκ ἀγνοίᾳ σχηματισμοῦ τοῦ κατὰ διάνοιαν παρεῖναι τὸν Θουκυδίδην τὸ τοιοῦτον, ἀλλὰ τοῖς ὑποκειμένοις προσώποις πρέποντας καὶ ἁρμόζοντας συντιθέντα τοὺς λόγους. οὐ γὰρ ἔπρεπε Περικλεῖ καὶ Ἀρχιδάμῳ καὶ Νικίᾳ καὶ Βρασίδᾳ, ἀνθρώποις μεγαλόφροσι καὶ γενναίοις καὶ ἡρωϊκὴν ἔχουσι δόξαν, λόγους εἰρωνείας καὶ πανουργίας περιτιθέναι, ὡς μὴ παῤῥησίαν ἔχουσι φανερῶς ἐλέγχειν, καὶ ἄντικρυς μέμφεσθαι, καὶ ὁτιοῦν βούλονται λέγειν. διὰ τοῦτο τὸ ἄπλαστον καὶ ἀνηθοποίητον ἐπετήδευσε, σώζων κἀν τούτοις τὸ προσῆκον, καὶ τῇ τέχνῃ δοκοῦν. τεχνίτου γὰρ ἀνδρὸς φυλάξαι τοῖς προσώποις τὴν ἐπιβάλλουσαν δόξαν, καὶ τοῖς πράγμασι τὸν ἀκόλουθον κόσμον. Ἰστέον δὲ ὅτι τὴν πραγματείαν αὐτοῦ οἱ μὲν κατέτεμον εἰς τρεισκαίδεκα ἱστορίας, ἄλλοι δὲ ἄλλως. ὅμως δὲ ἡ πλείστη καὶ ἡ κοινὴ κεκράτηκε, τὸ μέχρι τῶν ὀκτὼ διῃρῆσθαι τὴν πραγματείαν· ὡς καὶ ἐπέκρινεν ὁ Ἀσκληπιός.

ΑΛΛΩΣ ΕΚ ΤΩΝ ΤΟΥ ΣΟΥΙΔΑ.

ΘΟΥΚΥΔΙΔΗΣ Ὀλόρου, Ἀθηναῖος· παῖδα δὲ ἔσχε Τιμόθεον. ἦν δὲ ἀπὸ μὲν μητρὸς Μιλτιάδου τοῦ στρατηγοῦ τὸ γένος ἕλκων· ἀπὸ δὲ πατρὸς, Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως. μαθητὴς Ἀντιφῶντος. ἤκμαζε κατὰ τὴν πζʹ Ὀλυμπιάδα. ἔγραψε δὲ τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων.

οὗτος ἤκουσεν ἔτι παῖς τυγχάνων Ἡροδότου, ἐπὶ τῆς Ὀλυμπίας τὰς ἱστορίας αὐτοῦ διερχομένου, ἃς συνεγράψατο, καὶ κινηθεὶς ὑπό τινος ἐνθουσιασμοῦ, πλήρης δακρύων ἐγένετο. καὶ ὁ Ἡρόδοτος κατανοήσας τὴν αὐτοῦ φύσιν, πρὸς τὸν πατέρα Θουκυδίδου Ὄλορον ἔφη, μακαρίζω σε τῆς εὐτεκνίας Ὄλορε. ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα. καὶ οὐκ ἐψεύσθη γε τῆς ἀποφάνσεως. οὗτος ὁ Θουκυδίδης ἀνὴρ ἦν πολὺς ταῖς τέχναις, κάλλει λογων, καὶ ἀκριβείᾳ πραγμάτων, καὶ στρατηγίαις, καὶ συμβουλίαις, καὶ πανηγυρικαῖς ὑποθέσεσιν. οὗτος ὁ συγγραφεὺς μεταβαίνειν εἴωθεν ἀπὸ τῶν θηλυκῶν εἰς οὐδέτερα. οἷον, Τρέπονται εἰς Μακεδονίαν, ἐφ᾽ ὅπερ καὶ πρότερον. Καὶ Θουκυδίδειος γραφή.

ΑΛΛΑ ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ, ΑΔΕΣΠΟΤΑ.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος, Ὀλόρου ἦν παῖς, Θρᾴκιον δὲ αὐτῷ τὸ γένος. καὶ γὰρ ὁ πατὴρ αὐτῷ Ὄλορος ἐκ Θρᾴκης εἶχε τοὔνομα. γέγονε δὲ τῶν Μιλτιάδου συγγενής. αὐτίκα γοῦν ἔνθα Μιλτιάδης περὶ Κοίλην τέθαπται, ἐνταῦθα καὶ Θουκυδίδης τέθαπται. ὁ δὲ Μιλτιάδης ἔγημε τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα Ἡγησιπύλην. γέγονε δὲ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου μαθητὴς, δεινοῦ λέγειν, καὶ ὑπόπτου γενομένου τοῖς δικαστηρίοις. καὶ διὰ ταῦτα λέγοντος μὲν οὐκ ἠνείχοντο αὐτοῦ, γράφειν δὲ ἐπεχείρησε τοὺς λόγους, καὶ ἐξέδωκε τοῖς δεομένοις. ἐμαρτύρησε δὲ αὐτῷ καὶ Θουκυδίδης ὁ μαθητὴς, ὅτι ᾧ ἂν σύμβουλος γένοιτο, ἄριστα ἐκεῖνος ἀπήλλαττεν εἰς τὰς δίκας. ἀλλ᾽ ὁ μὲν ἔδοξε πονηρὸς Ἀντιφῶν εἶναι, καὶ περὶ τέλη

τοῦ Πελοποννησιακοῦ πολέμου κριθεὶς προδοσίας, ὡς Λακεδαιμονίοις μὲν τὰ ἄριστα κατὰ πρεσβείαν παραινέσας, Ἀθηναίοις δὲ ἀλυσιτελέστατα, ἑάλω. καὶ σὺν αὐτῷ διεφθάρησαν Ἀρχεπτόλεμος καὶ Ὀνομακλῆς, ὧν καὶ κατεσκάφησαν καὶ αἱ οἰκίαι, καὶ τὸ γένος, τὸ μὲν διεφθάρη, τὸ δὲ, ἄτιμον ἐγένετο. στρατηγικὸς δὲ ἀνὴρ ὁ Θουκυδίδης γενόμενος, καὶ τὰ περὶ Θάσον πιστευθεὶς μέταλλα, πλούσιος μὲν ἦν, καὶ μέγα ἐδύνατο· ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ αἰτίαν ἔσχε προδοσίας ἐκ βραδύτητός τε καὶ ὀλιγωρίας. ἔτυχε μὲν γὰρ Βρασίδας τὰς ἐπὶ Θρᾴκης καταλαβὼν πόλεις Ἀθηναίων, ἀφιστὰς μὲν Ἀθηναίων, Λακεδαιμονίοις δὲ προστιθείς. κἀνταῦθα δέον ταχέως ἀναπλεῦσαι, καὶ σῶσαι μὲν τὴν Ἠϊόνα ἐγγὺς κειμένην, περιποιῆσαι δὲ τὴν Ἀμφίπολιν, μέγα κτῆμα τοῖς Ἀθηναίοις, τὴν μὲν Ἠϊόνα ἐδυνήθη φθάσας σῶσαι, τὴν δὲ Ἀμφίπολιν ἀπώλεσε. καίτοι Κλέων βοηθῶν ταῖς ἐπὶ Θρᾴκης πόλεσι, κατέπλευσε μὲν εἰς Ἀμφίπολιν, ἀλλ' ὅμως μάχης γενομένης Βρασίδας μὲν ὁ Λακεδαιμόνιος ἐνίκησεν αὐτὸν, Κλέων δὲ ἀπέθανεν, ὑπὸ Μυρκινίου πελταστοῦ βληθείς. οὐ μὴν ἀλλὰ καὶ Βρασίδας τῆς νίκης αἰσθόμενος ἀπέθανε, καὶ Ἀμφίπολις Ἀθηναίων ἀπέστη, Λακεδαιμονίων δὲ ἐγένετο. ἔνθα καὶ τὰ Ἁγνόνεια οἰκοδομήματα καθελόντες οἱ Ἀμφιπολῖται, Βρασίδεια ἐκάλεσαν, μισήσαντες μὲν τὴν Ἀττικὴν ἀποικίαν, λακωνίσαντες δὲ κἀν τούτῳ, καὶ τὴν τιμὴν μεταθέντες εἰς Λακεδαίμονα. γενόμενος δὲ φυγὰς ὁ Θουκυδίδης ἐσχόλαζε τῇ ξυγγραφῇ τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ διὰ τοῦτο δοκεῖ πολλὰ χαρίζεσθαι μὲν Λακεδαιμονίοις, κατηγορεῖν δὲ Ἀθηναίων τὴν τυραννίδα καὶ πλεονεξίαν. οὐ γὰρ καιρὸς αὐτῷ κατειπεῖν Ἀθηναίων ἐγένετο. Κορινθίων κατηγορούντων, ἢ Λακεδαιμονίων μεμφομένων, ἢ Μιτυληναίων αἰτιωμένων, πολὺς ἐν τοῖς

ἐγκλήμασι τοῖς Ἀττικοῖς ἐῤῥύη· καὶ τὰς μὲν νίκας τὰς Λακωνικὰς ἐξῆρε τῷ λόγῳ, τὰς δὲ ξυμφορὰς ηὔξησε τὰς Ἀττικὰς, ὅπου καὶ τὰς ἐν Σικελίᾳ. πέπαυται δὲ τὸ τῆς συγγραφῆς ἐν τῇ ναυμαχίᾳ τῇ περὶ Κυνὸς σῆμα, τουτέστι περὶ τὸν Ἑλλήσποντον, ἔνθα δοκοῦσι καὶ νενικηκέναι Ἀθηναῖοι. τὰ δὲ μετὰ ταῦτα ἑτέροις γράφειν κατέλιπε, Ξενοφῶντι καὶ Θεοπόμπῳ. εἰσὶ δὲ καὶ αἱ ἐφεξῆς μάχαι. οὔτε γὰρ τὴν δευτέραν ναυμαχίαν τὴν περὶ Κυνὸς σῆμα, ἣν Θεόπομπος εἶπεν, οὔτε τὴν περὶ Κύζικον, ἣν ἐνίκα Θρασύβουλος καὶ Θηραμένης καὶ Ἀλκιβιάδης, οὔτε τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, ἔνθα νικῶσιν Ἀθηναῖοι Λακεδαιμονίους, οὔτε τὸ κεφάλαιον τῶν κακῶν τῶν Ἀττικῶν, τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, ὅπου καὶ τὰς ναῦς ἀπώλεσαν Ἀθηναῖοι, καὶ τὰς ἑξῆς ἐλπίδας. καὶ γὰρ τὸ τεῖχος αὐτῶν καθῃρέθη, καὶ ἡ τῶν τριάκοντα τυραννὶς κατέστη, καὶ πολλαῖς ξυμφοραῖς περιέπεσεν ἡ πόλις, ἃς ἠκρίβωσε Θεόπομπος. ἦν δὲ τῶν πάνυ κατὰ γένος Ἀθήνῃσι δοξαζομένων ὁ Θουκυδίδης. δεινὸς δὲ δόξας εἶναι ἐν τῷ λέγειν, πρὸ τῆς συγγραφῆς προέστη τῶν πραγμάτων. πρώτην δὲ τῆς ἐν τῷ λέγειν δεινότητος τήνδε ἐποιήσατο τὴν ἐπίδειξιν. Πυριλάμπης γάρ τις τῶν πολιτῶν ἄνδρα φίλον καὶ ἐρώμενον ἴδιον διά τινα ζηλοτυπήσας ἐφόνευσε· ταύτης δὲ τῆς δίκης ἐν Ἀρείῳ πάγῳ κινουμένης πολλὰ τῆς ἰδίας σοφίας ἐπεδείξατο, ἀπολογίαν ποιούμενος ὑπὲρ τοῦ Πυριλάμπους, καὶ Περικλέους κατηγοροῦντος, ἐνίκα. ὅθεν καὶ στρατηγὸν αὐτὸν ἑλομένων Ἀθηναίων, ἄρχων προέστη τοῦ δήμου. μεγαλόφρων δὲ ἐν τοῖς πράγμασι γενόμενος, ἅτε φιλοχρηματῶν, οὐκ εἴα τὸν πλείονα χρόνον προστατεῖν τοῦ δήμου. πρῶτον μὲν γὰρ ὑπὸ τοῦ Ξενοκρίτου, ὡς Σύβαριν ἀποδημήσας, ὡς ἐπανῆλθεν εἰς Ἀθήνας, συγχύσεως δικαστηρίου φεύγων ἑάλω· ὕστερον δὲ ἐξοστρακίζεται

ἔτη δέκα. φεύγων δὲ, ἐν Αἰγίνῃ διέτριβε, κἀκεῖ λέγεται τὰς ἱστορίας αὐτὸν συντάξασθαι. τότε δὲ τὴν φιλαργυρίαν αὐτοῦ μάλιστα φανερὰν γενέσθαι· ἅπαντας γὰρ Αἰγινήτας κατατοκίζων, ἀναστάτους ἐποίησε. μετὰ δὲ τὴν ἱστορίαν φασὶ συντετάχθαι τῷ συγγραφεῖ τὸ προοίμιον, ἐπεὶ τῶν ἐν τῷ πολέμῳ μέμνηται γεγονότων, ὥσπερ τῆς Δήλου καθάρσεως, ἣν περὶ τὸ ἕβδομον ἔτος ἐπὶ Εὐθύνου ἄρχοντος γεγενῆσθαί φασι. μέμνηται δὲ ἐν αὐτῷ καὶ τῆς τοῦ πολέμου τελευτῆς, λέγων· Ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου. ἀλλὰ καὶ ἐν ἀρχῇ φησὶ, Κίνησις γὰρ αὕτη μεγίστη τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων· ὡς δὲ εἰπεῖν, καὶ ἐπιπλεῖστον ἀνθρώπων. πληρώσας δὲ τὴν ὀγδόην ἱστορίαν, ἀπέθανε νόσῳ. σφάλλονται γὰρ οἱ λέγοντες μὴ Θουκυδίδου εἶναι τὴν ὀγδόην, ἀλλ᾽ ἑτέρου συγγραφέως. τελευτήσας δ᾽ ἐν Ἀθήνῃσιν, ἐτάφη πλησίον τῶν Μιλτιάδων πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ προσαγορεύεται Κοίλη· εἴτε αὐτὸς ἐπανελθὼν Ἀθήναζε ἐκ τῆς φυγῆς, τοῦ ὁρισθέντος χρόνου πληρωθέντος, καὶ τελευτήσας ἐν τῇ ἰδίᾳ πατρίδι, εἴτε μετακομισθέντων αὐτοῦ τῶν ὀστέων ἀπὸ Θρᾴκης, ἐκεῖ καταστρέψαντος τὸν βίον· λέγεται γὰρ ἐπ᾽ ἀμφότερα. καὶ στήλη τίς ἀνέστηκεν ἐν τῇ Κοίλῃ τοῦτο ἔχουσα τὸ ἐπίγραμμα.

Θουκυδίδης Ὀλόρου Ἁλιμούσιος ἐνθάδε κεῖται.

ELOGIA AUCTORUM AC JUDICIA DE THUCYDIDE.

Anonymus apud Plutarchum de Catone Majore.

Ὀψιμαθὴς γενέσθαι λέγεται, καὶ πόῤῥω παντάπασιν ἡλικίας ἐληλακὼς, Ἑλληνικὰ βιβλία λαβὼν εἰς χεῖρας, βραχέα μὲν ἀπὸ Θουκυδίδου, πλείονα δ' ἀπὸ Δημοσθένους εἰς τὸ ῥητορικὸν ὠφεληθῆναι. *Wass.*

Dionysius Halicarnasseus Epistola ad Cn. Pompeium.

ΠΡΩΤΗ τῶν ἀρετῶν γένοιτ' ἂν, ἧς χωρὶς οὐδὲν τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελος. τίς; ἡ καθαρὰ ὀνόμασι τοῖς καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σώζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι (Θουκυδίδης καὶ Ἡρόδοτος,) Ἡρόδοτός τε γὰρ, τῆς Ἰάδος ἄριστος κανών· Θουκυδίδης τε τῆς Ἀτθίδος. τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία. ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. καίτοι λέγοι τις ἂν ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον, ἡδὺ φαίνεται τὸ βραχύ· εἰ δὲ ἀπολείποιτο τούτου, πικρόν. ἀλλὰ μηδὲν ἔστω παρὰ τοῦτο. ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μετὰ τῶν ἐπιθέτων ἀρετῶν. ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. μετὰ ταύτην συνίσταται τὴν ἀρετὴν, τῶν ἠθῶν τε καὶ παθῶν μίμησις. διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς. Θουκυδίδης μὲν γὰρ, τὰ πάθη δηλῶσαι κρείττων· Ἡρόδοτος δὲ, τά γε ἤθη παραστῆσαι δεινότερος. μετὰ ταῦτα αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς ἀρεταί. ἴσοι κἂν ταύταις οἱ συγγραφεῖς ἕπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν

τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως ἀρεταὶ περιέχουσαι. κρείττων ἐν ταύταις Ἡροδότου Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείττονας Ἡρόδοτος. τῆς δὲ φράσεως τῶν ὀνομάτων τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θουκυδίδης, ὁμοειδὴς πᾶς ὢν ἐν λόγοις. ἀρετῶν ἡ κυριωτάτη τὸ πρέπον. ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ μᾶλλον ἢ Θουκυδίδης. ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι, κἀν ταῖς δημηγορίας μᾶλλον ἢ ταῖς διηγήσεσιν. ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ μάλιστά γε καὶ ζηλῶσαι Δημοσθένης. ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου.

Idem capite περὶ τῆς τῶν λόγων ἐξετάσεως.

ΤΩΝ μέντοι συγγραφέων Ἡρόδοτος μὲν ἐξείργασται τὸ βέλτιον, τὸ πραγματικὸν εἶδος· τῷ δὲ λεκτικῷ ποτὲ μὲν πλεονεκτεῖ Θουκυδίδης, ποτὲ δὲ ἔμπαλιν· ἔστι δ' ἐν οἷς ἐξισοῦνται. τῇ μὲν ἀκριβείᾳ τῶν ὀνομάτων, ἐν οἷς ἑκάτεροι προῄρηνται διαλόγοις, ἀποσώζουσι τὸ ἴδιον· τῆς δὲ σαφηνείας ἀναμφισβητήτως Ἡροδότῳ τὸ κατόρθωμα δέδοται. καὶ τὸ μὲν σύντομόν ἐστι παρὰ Θουκυδίδῃ, τὸ δὲ ἐναργὲς παρ' ἀμφοτέροις. ἐν μέντοι τοῖς ἠθικοῖς κρατεῖ Ἡρόδοτος, ἐν δὲ τοῖς παθητικοῖς ὁ Θουκυδίδης. πάλιν καλλιλογίᾳ καὶ μεγαλοπρεπείᾳ διαφέρουσιν οὐδὲν ἀλλήλων, ἀλλ' ἑκάτεροι τούτων τε καὶ τῶν τοιούτων ἀρετῶν κρατοῦσι. ῥώμῃ δὲ καὶ ἰσχύϊ καὶ τόνῳ καὶ τῷ περιττῷ καὶ πολυσχηματίστῳ παρηυδοκίμησε

Θουκυδίδης· ἡδονῇ δὲ καὶ πειθοῖ καὶ χάριτι καὶ τῷ ἀφελεῖ αὐτοφυεῖ ἀβασανίστῳ, μακρῷ διενεγκόντα τὸν Ἡρόδοτον εὑρίσκομεν· καὶ μετὰ τοῦτον τὸν τρόπον, πραγματείαν καὶ προσωποποιΐαν μᾶλλον οὐ τετήρηκε.

Idem in Epist. de iis, quæ Thucydidi propria sunt p. 215.

ΕΠΙ τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν, καὶ γλωττηματικὴν, καὶ ἀπηρχαιωμένην, καὶ ξένην λέξιν παραλαμβάνων πολλάκις ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς καθ᾽ ἑαυτὸν ἀνθρώποις.

Idem.

ΕΚΔΗΛΟΤΗΤΑ δὲ αὐτοῦ καὶ χαρακτηριστικώτατά ἐστι πεπειρᾶσθαι δι᾽ ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα, εἰς ἃ καὶ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσασθαι καταλείπει.

Demetrius Phalereus, sive Dionysius Halicarnasseus, de Elocutione. Sect. XL.

ΔΗΛΟΝ δὲ τοῦτο ἐν τοῖς Θουκυδίδου· σχεδὸν γὰρ ὅλως τὸ μεγαλοπρεπὲς ἐν πᾶσιν αὐτῷ ποιεῖ ἡ τοῦ ῥυθμοῦ μακρότης· καὶ κινδυνεύει τῷ ἀνδρὶ τούτῳ παντοδαποῦ ὄντος τοῦ μεγαλοπρεποῦς, αὕτη ἡ σύνθεσις μόνη, ἢ καὶ μάλιστα, περιποιεῖν τὸ μέγιστον.

ΟΛΙΓΟΝ ΥΣΤΕΡΟΝ. (Sect. XLVIII.)

ΚΑΙ ὁ Θουκυδίδης δὲ πανταχοῦ σχεδὸν φεύγει τὸ λεῖον καὶ ὁμαλὲς τῆς συνθέσεως, καὶ ἀεὶ μᾶλλόν τι προσκρούοντι ἔοικεν, ὥσπερ οἱ τὰς τραχείας ὁδοὺς πορευόμενοι.

Idem CLXXXIV.

ΚΑΝ μετροειδῆ δὲ ᾖ, τὴν αὐτὴν ποιήσει χάριν. Θουκυδίδης μέντοι πέφευγε τὸ εἶδος. *Wass.*

Josephus contra Apion.

ΠΕΡΙ τῆς περιηγήσεως τῆς Περσικῆς στρατιᾶς οἱ δοκιμώτατοι διαπεφωνήκασιν. πολλὰ δὲ καὶ Θουκυδίδης ὡς ψευδόμενος ὑπό τινων κατηγορεῖται, καί τοι δοκῶν ΑΚΡΙΒΕΣΤΑ΄ΤΗΝ καθ' αὑτὸν ἹΣΤΟΡΙ΄ΑΝ συγγράφειν. WASS.

Plutarchus de Gloria Atheniensium.

Ο ΓΟΥΝ Θουκυδίδης ἀεὶ τῷ λογῳ πρὸς ταύτην ἁμιλλᾶται τὴν ἐνάργειαν, οἷον θεατὴν ποιῆσαι τὸν ἀκροατὴν, καὶ τὰ γινόμενα περὶ τοὺς ὁρῶντας ἐκπληκτικὰ καὶ ταρακτικὰ πάθη τοῖς ἀναγινώσκουσιν ἐνεργάσασθαι λιχνευόμενος. ὁ γὰρ παρὰ τὴν ῥαχίαν αὐτῆς τῆς Πύλου παρατάττων τοὺς Ἀθηναίους Δημοσθένης, καὶ ὁ τὸν κυβερνήτην ἐπισπέρχων Βρα-

σίδας ἐξοκέλλειν, καὶ χωρῶν ἐπὶ τὴν βάθραν, καὶ τραυματιζόμενος καὶ λειποψυχῶν καὶ ἀποκλίνων εἰς τὴν παρεξειρεσίαν· καὶ οἱ πεζομαχοῦντες δὲ ἀπὸ γῆς Ἀθηναῖοι· καὶ πάλιν ὁ ἐν τοῖς Σικελικοῖς ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσοῤῥόπου τῆς ναυμαχίας καθεστηκυίας· ἄλαστον ἀγῶνα καὶ σύνταξιν τῆς γνώμης ἔχων διὰ τὰς συντάξεις, ὡς συνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς, ἴσα τῇ δόξῃ περιδεῶς συμπνέων τῇ διαθέσει καὶ τῇ διατυπώσει τῶν γινομένων γραφικῆς ἐναργείας.

Idem in Nicia.

ΩΡΑ παραιτεῖσθαι ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς Θουκυδίδης, αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐνεργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον. WASS.

Lucianus de conscr. Historia.

ΤΟΙΟΥΤΟΙΣ προοιμίοις οἱ ἌΡΙΣΤΟΙ τῶν Συγγραφέων ἐχρήσαντο. Ἡρόδοτος μὲν etc. Θουκυδίδης δὲ, μέγαν τε καὶ αὐτὸς ἐλπίσας ἔσεσθαι. Et infra:

Ὅταν μὲν γὰρ τὸν λοιμὸν διηγῆται, καὶ μακρὸς εἶναι δοκῇ, σὺ τὰ πράγματα ἐννόησον. εἴσῃ γὰρ οὕτω τὸ τάχος, καὶ ὡς φεύγοντος ὅμως ἐπιλαμβάνεται αὐτοῦ τὰ γεγενημένα, πολλὰ ὄντα. IDEM.

Idem adv. Indoctum.

ΕΧΕ ξυλλαβὼν ἐκεῖνα τὰ τοῦ Δημοσθένους, ὅσα τῇ χειρὶ τῇ αὐτοῦ ὁ ῥήτωρ ἔγραψε, καὶ τὰ τοῦ Θουκυδίδου, ὅσα παρὰ τοῦ Δημοσθένους, καὶ αὐτὰ ὈΚΤΆΚΙΣ ΜΕΤΕΓΓΕΓΡΑΜΜΕΝΑ εὑρέθη καλῶς. Wass.

Hermogenes περὶ ἰδεῶν. Lib. II. in fine.

Ο ΤΟΙΝΥΝ Θουκυδίδης μάλιστα μεγέθους ἐφιέμενος, τυγχάνει μὲν τοῦ μεγέθους, οὐ μὴν οὗπερ ἐφίεσθαί μοι δοκεῖ μεγέθους τυγχάνει. βούλεται μὲν γὰρ, ὡς ἔγωγε οἶμαι, σεμνὸν εἶναι τὸν λόγον αὐτῷ, ὅπερ ἴδιον μεγέθους πανηγυρικοῦ. φαίνεται δὲ ὑπερβαίνων τοῦτο, καὶ μάλιστα κατὰ τὴν λέξιν ἐπὶ τὸ τραχύτερον μᾶλλον, καὶ τὸ σκληρότερον, καὶ διὰ τοῦτο, ἐπὶ τὸ ἀσαφέστερον· καὶ ἔτι κατὰ συνθήκην τῶν λέξεων. ἐπιμελεῖται μὲν γὰρ κόσμου ὅτι μάλιστα· βουλόμενος δὲ εἶναι καὶ τοῦτο ὑψηλὸν αὐτῷ καὶ ὑπέρογκον, πάλιν ὑπερεκπίπτει κατά τε τὰς ὑπερβολὰς, καὶ τὰς κοινότητας τῶν συνθηκῶν, ὥς τε ἐπὶ τὸ σκληρότερον, καὶ δι᾽ αὐτὸ, ἐπὶ τὸ ἀσαφέστερον φέρεσθαι. ἀξιωματικὸς δὲ ὁ ἀνὴρ ἀλλ᾽ ὅτι μάλιστα. ταῖς δὲ ἐννοίαις εἴπερ τις ἄλλος, πολιτικὸς ὁμοῦ καὶ σεμνός. οὐδὲν γὰρ ἀκατάσκευον, οὐδὲ ἐν ταῖς ἱστορίαις ἀπολείπει. ταῖς μέν τοι μεθόδοις οὐ τοιοῦτος. μετὰ γὰρ μεγέθους τινὸς γνωρίμου, ἢ τινος ἑτέρου τοιούτου καὶ τὰς κατασκευὰς εἰσάγει. διὸ καὶ ἀγλευκής ἐστι σχεδὸν διόλου. εἰ δέ που καὶ γλυκύτητα ἔχει, μάλιστα μὲν ὥσπερ ἀλλότριόν τι τῆς ἰδέας αὐτοῦ ἐκφαίνεται τὸ μέρος ἐκεῖνο. οἷον ἐστι καὶ τὸ,

Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπὸ Ἀθηνῶν σχόντι γυναῖκα, καὶ τὰ ἑξῆς, καὶ ὅσα τοιαῦτα. θαυμάζειν δὲ, εἰ καὶ μὴ τοιοῦτον ἦν, τοῦτο οὐκ ἐχρῆν, ὅτι καὶ ἡδονήν που ἔσχεν ὁ λόγος αὐτῷ. σχεδὸν γὰρ οὐδ᾽ ἄλλος τις τῶν κατ᾽ ἄνδρα λόγων ὁτιοῦν εἶδος προελόμενός τε καὶ ἐργασάμενος δύναιτ᾽ ἂν καθαρὸς ὀφθῆναι, καὶ μὴ οὐχὶ καὶ τῶν ἄλλων ἁπάντων ἀμηγέπη προσαψάμενος εἰδῶν τοῦ λόγου. ἔτι ὡς ἱστορικὸς ὁ Θουκυδίδης κέχρηται μὲν καὶ μιμήσει κατά τε τὰς δημηγορίας, καὶ ἔν τισι διαλόγοις· ὁ αὐτὸς δέ ἐστι κἀν τούτοις, μᾶλλον δὲ μειζόνως ἐστὶν ἐν τούτοις τοιοῦτος, οἷον αὐτὸν ἐχαρακτηρίζομεν· ἐπεὶ ἔν γε τῇ ἱστορίᾳ ἧττόν ἐστι σκληρὸς, καὶ τραχύς. ἔχει γὰρ πολλὰ ἐνταῦθα καθαρά τε καὶ εὐκρινῆ. καὶ τόν γε διδάσκαλον αὐτοῦ τὸν Ἀντιφῶντα πολλοῖς μὲν καὶ ἄλλοις, τούτοις δὲ οἶμαι καὶ μᾶλλον παρελήλυθε.

Dionys. Longinus περὶ ὕψους. (Cap. XXII.)

ΕΤΙ δὲ μᾶλλον ὁ Θουκυδίδης καὶ τὰ φύσει πάντως ἡνωμένα, καὶ ἀδιανέμητα, ὅμως ταῖς ὑπερβάσεσιν ἀπ᾽ ἀλλήλων ἄγειν δεινότατος.

ΟΛΙΓΟΝ ΥΣΤΕΡΟΝ. (Cap. XXV.)

ΟΤΑΝ γε [τε Toup. ed.] μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς ὡς γινόμενα, καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον, ἀλλ᾽ ἐναγώνιον πρᾶγμα ποιήσεις. τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδίδης.

ΜΕΤ' ΟΛΙΓΑ. (Cap. XXXVIII.)

ΜΗ ποτ' οὖν ἄρισται τῶν ὑπερβολῶν, ὡς καὶ ἐπὶ τῶν σχημάτων προείπομεν, αἱ αὐτὸ τοῦτο διαλανθάνουσαι, ὅτι εἰσὶν ὑπερβολαί. γίνεται δὲ τοιόνδε, ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται περιστάσεως. ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ. "Οἵ τε γὰρ Συρακούσιοι (φησὶν) ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο. ἀλλ' οὐδὲν ἧσσον ἐπίνετο ὁμοῦ τῷ πηλῷ ἡματωμένον, καὶ περιμάχητον ἦν τοῖς πολλοῖς." [Toup. ed. καὶ τοῖς πολλοῖς ἔτι ἦν περιμάχητον.] αἷμα καὶ πηλὸν πινόμενα ὅμως εἶναι περιμάχητα ἔτι, ποιεῖ πιστὸν ἡ τοῦ πάθους ὑπεροχὴ, καὶ περίστασις.

Theon. Progymnasm. de perspicua Narratione.

ΟΤΑΝ μὴ πολλὰ ὁμοῦ διηγεῖταί τις, ἀλλὰ καθ' ἕκαστον εἰς τέλος προάγῃ, ὅπερ ἐγκαλοῦσί τινες τῷ Θουκυδίδῃ. διελὼν γὰρ ἱστορίας κατὰ τὰ θέρη καὶ χειμῶνας, πολλάκις ἀναγκάζεται πρὶν τελεσθῇ τὸ ὅλον πρᾶγμα, μεταβαίνειν ἐφ' ἕτερόν τι γεγονὸς ὑπὸ τὸν αὐτὸν καιρόν. εἶτα τὸ ὑπόλοιπον τοῦ πράγματος, ἐφ' ἑτέρου χειμῶνος ἢ θέρους πραχθὲν διηγεῖται. Wass.

Idem alibi.

ΠΑΡΑΤΗΡΗΤΕΟΝ καὶ τὸ μὴ ὑπερβατοῖς χρῆσθαι, οἷά ἐστι τὰ πολλὰ τῶν Θουκυδίδου. οὐ γὰρ καθόλου τὸ τῶν ὑπερ-

βατῶν γένος ἀποδοκιμάζομεν. ποικίλη γὰρ διὰ τούτου καὶ οὐκ ἰδιωτικὴ γίνεται ἡ φράσις. Idem.

Aphthonius in Progymnasm.

ΤΙΜΑΝ ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα, οἷς ἐπορίσαντο κάλλιστα· καὶ τὸ παρ᾽ ἐκείνων φανὲν, ἐπανατίθεσθαι δικαίως τοῖς δείξασιν. οὐκοῦν Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις, αὐτὸν τοῖς αὑτοῦ τιμᾷν προελόμενος. ἅπαντας μὲν οὖν τοὺς εὐεργέτας τιμᾶσθαι καλόν· τοσούτῳ δὲ μᾶλλον Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον. οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου περὶ τοὺς λόγους σοφώτερόν ἐστιν εὑρεῖν. προῆλθε τοίνυν Θουκυδίδης ἐκ γῆς ἣ καὶ βίον αὐτῷ παρέσχε καὶ τέχνην. οὐ γὰρ ἑτέρωθεν γέγονεν ἀλλ᾽ ὅθεν οἱ λόγοι. καὶ μητέρα βίου τὰς Ἀθήνας εὑρὼν, προγόνοις μὲν βασιλεῦσιν ἐχρήσατο, καὶ τὸ τῆς τύχης αὐτῷ δυνατώτερον ἐκ τοῦ προτέρου προελήλυθε γένους. καὶ προσλαβὼν ἄμφω, γένους ἰσχὺν, καὶ πολιτείαν δημοτικὴν, εἰς ἐπανόρθωσιν ἑκατέρου τὸ παρ᾽ ἑκατέρου φέρεται κέρδος, τὸ μὴ πλουτεῖν ἀδίκως, διὰ τῆς ἰσηγορίας ἐπανορθούμενος, καὶ πολιτικὴν ἔνδειαν τῇ παρὰ τοῦ γένους εὐδαιμονίᾳ συγκρύπτων. καὶ τοιοῦτος φανεὶς, τρέφεται μὲν πολιτείᾳ καὶ νόμοις, ἃ τῶν ἄλλων ἀμείνω πεφύκασι. καὶ πρὸς ὅπλα καὶ νόμους ἅμα ζῆν ἐγνωκὼς, φιλοσοφεῖν ὁ αὐτὸς καὶ στρατηγεῖν ἐβουλεύσατο, οὔτε τοὺς λόγους ὅπλων ἀποστερῶν, οὔτε τὰς μάχας ἐν μέρει τιθεὶς τῆς φρονήσεως· καὶ μίαν ποιεῖται μελέτην ὧν μίαν οὐκ εἶχε τὴν τέχνην, εἰς ἓν συνάγων ἃ τῇ φύσει διέστηκεν. ὡς δὲ εἰς ἄνδρας ἀφίκετο, ἐζήτει καιρὸν εἰς ἐπίδειξιν ὧν καλῶς προησκήσατο. καὶ ταχὺ παρέσχεν ἡ τύχη τὸν πόλεμον, καὶ τὰ

πεπραγμένα πᾶσι τοῖς Ἕλλησιν, οἰκείαν αὐτὸς ἐποιήσατο τέχνην, καὶ φυλακὴ γέγονεν ὧν ὁ πόλεμος ἤγαγεν. ἃ γὰρ ἐποίουν ὡς ἕκαστοι, ταῦτα συγκρύπτειν οὐκ ἀφῆκε τὸν χρόνον ἐξ ὧν ἁλισκομένη μὲν ἔγνωσται Πλάταια, δῃούμενα δὲ τὰ τῆς Ἀττικῆς ἐγνωρίζετο, καὶ περιπλεομένη παρὰ τῶν Ἀθηναίων ἐδηλοῦτο Πελοπόννησος. ναυμαχίας εἶδεν ἡ Ναύπακτος, λαθεῖν οὐκ ἀφῆκε ταῦτα Θουκυδίδης συγγράφων. Λέσβος ἑάλω, καὶ μέχρι τοῦδε κηρύττεται· πρὸς τοὺς Ἀμπρακιώτας καθίστατο μάχη, καὶ τὸ γεγονὸς οὐκ ἀφεῖλεν ὁ χρόνος. δίκη Λακεδαιμονίων οὐκ ἀγνοεῖται παράνομος. Σφακτηρία, καὶ Πύλος, τὸ μέγα τῶν Ἀθηναίων ἔργον, οὐκ ἔλαθεν· ὅθεν Κερκυραῖοι μὲν παρὰ τὰς Ἀθήνας ἐκκλησιάζουσι, Κορίνθιοι δὲ πρὸς αὐτοὺς ἀντιφθέγγονται. Αἰγινῆται κατηγοροῦντες, εἰς Λακεδαίμονα ἔρχονται· καὶ συμφρονῶν μὲν ἐπ᾽ ἐκκλησίας Ἀρχίδαμος, Σθενελαΐδας δὲ, ἐπὶ μάχην κινῶν· καὶ πρὸς τούτοις, ὁ Περικλῆς πρεσβείαν ἀτιμάζων Λακωνικὴν, καὶ χαλεπαίνειν οὐ συγχωρῶν Ἀθηναίους νοσοῦντας. ταῦτα καθάπαξ παρὰ τῆς Θουκυδίδου συγγραφῆς πρὸς ἅπαντα τηρεῖται τὸν βίον. εἶτα τίς αὐτῷ παραβαλεῖ τὸν Ἡρόδοτον; ἀλλ᾽ ἐκεῖνος μὲν, διηγεῖται πρὸς ἡδονὴν, ὁ δὲ, ἀλήθειαν ἅπαντα φθέγγεται. ὅσον δὴ τὸ πρὸς χάριν τοῦ πρὸς ἀλήθειαν ἔλαττον, τοσοῦτον Ἡρόδοτος τῶν Θουκυδίδου καλῶν ἀπολείπεται. πολλὰ ἦν ἕτερα περὶ Θουκυδίδου διεξελθεῖν, εἰ μὴ τὸ πάντα ἐρεῖν, τὸ τῶν ἐπαίνων παρείλετο πλῆθος.

In Anthologia. Lib. I.

Ω φίλος, εἰ σοφὸς εἶ, λάβε μ᾽ ἐς χέρας· εἰ δέ γε πάμπαν
  Νῆϊς ἔφυς μουσέων, ῥῖψον ἃ μὴ νοέεις.

Εἰμὶ δέ γ' οὐ πάντεσσι βατός. παῦροι δ' ἀγάσαντο
Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.

Ibidem Lib. V.

Θουκυδίδης δ' ἐλέλιζεν ἑὸν νόον· ἦν δὲ νοῆσαι,
Οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
Δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων
Σπάρτης πικρὸν Ἄρηα καὶ αὐτῶν Κεκροπιδάων,
Ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

H. Stephani Epigr. in Thucyd.

Ω ξένε, εἰ μύθων πολυδαίδαλα ψεύδεα δίζῃ,
Τῶνδ' ἐγὼ οὐδὲν ἔχω· ἐς χέρα μή με λάβε.
Εἰ μαλακοῖς φθόγγοισι τεαὶ χαίρουσιν ἀκουαὶ,
Οὐδὲν ἐμοὶ καὶ σοί· ἐς χέρα μή με λάβε.
Σύντομον εἰ ῥῆσιν στυγέεις, ξένε, καινοπρεπῆ τε,
Πᾶν τε τὸ δυσξύνετον· ἐς χέρα μή με λάβε.
Εἰ δέ σε ἱστορίης παναληθέος ἵμερος αἱρεῖ,
Γράμμα τὸ Θουκυδίδου ἐς χέρα, ξεῖνε, λάβε.
Εἰ σὺ βαρυφθόγγου τέρπῃ σάλπιγγος ἀϋτῇ,
Σαλπίζοντι ἔοικ'· ἐς χέρα, ξεῖνε, λάβε.
Σύντομον εἰ φιλέεις λόγου ἀτραπὸν, ἠδ' ἀπάτητον,
Κἂν που ἔῃ χαλεπή· ἐς χέρα, ξεῖνε, λάβε.

Pollux IX. 15.

Παρὰ δὲ Θουκυδίδῃ μόνῳ τῷ ΚΕΚΡΙΜΕΝΩι etc. εὕροι.

WASS.

Cicero Lib. II. de Oratore, Cap. 13.

Et post illum (*scil.* Herodotum) Thucydides omnes dicendi artificio mea sententia facile vicit, qui ita creber est rerum frequentia, ut verborum prope numerum sententiarum numero consequatur: ita porro verbis aptus et pressus, ut nescias utrum res oratione, an verba sententiis illustrentur. *Paulo infra* Cap. 22. Antiquissimi fere sunt, quorum quidem scripta constent, Pericles atque Alcibiades, et eadem ætate Thucydides; subtiles, acuti, breves, sententiis magis quam verbis abundantes. *Idem in Bruto.* Cap. 7. Huic ætati suppares, Alcibiades, Critias, Theramenes: quibus temporibus quod dicendi genus viguerit, ex Thucydidis scriptis, qui ipse tum fuit, intelligi maxime potest, grandes erant verbis, crebri sententiis, compressione rerum breves, et ob eam causam interdum subobscuri. *Idem in Oratore,* Cap. 12. Quo magis Herodotus Thucydidesque mirabiles; quorum ætas quum in ea tempora, quæ nominavi, incidisset, longissime tamen ipsi a talibus deliciis vel potius ineptiis abfuerunt; alter enim sine ullis salebris quasi sedatus amnis fluit; alter incitatior fertur, et de bellicis rebus canit etiam quodammodo bellicum: primisque ab his (ut ait Theophrastus) historia commota est, ut auderet uberius quam superiores, et ornatius dicere.

Petronius Arbiter in Satyr. Cap. II.

Quis postea ad summam Thucydidis, quis Hyperidis ad famam processit?

(Dio Chrysostomus Orat. XVIII. pag. 256.

Τῶν δὲ ἄκρων Θουκυδίδης ἐμοὶ δοκεῖ, καὶ τῶν δευτέρων Θεόπομπος.)

Quintilianus de Instit. Orat. Lib. X. Cap. 1.

Densus, et brevis, et semper instans sibi Thucydides: dulcis, et candidus, et fusus Herodotus: ille concitatis, hic remissis affectibus melior: ille concionibus, hic sermonibus: ille vi, hic voluptate.

Justus Lipsius in notis ad Lib. I. Polit. Cap. 9.

Thucydides, qui res nec multas nec magnas nimis scripsit, palmam fortasse præripit omnibus qui multas et magnas. Elocutione tota gravis et brevis, densus sententiis, sanus judiciis: occulte ubique instruens, actiones vitamque dirigens, orationibus et excursibus pæne divinus. Quem quo sæpius legas, plus auferas: et nunquam tamen dimittet te sine siti.

Casaubonus in Epist. Ded. ad Polybium.

Magnus et vir et scriptor Thucydides, qui a gerendis rebus ad easdem stylo persequendas quum se contulisset; historiæ ad usum Politicorum scriptæ mortalium, credo, primus exemplum post-futuris mirandum potius quam imitandum dedit. Sed vir maximus par ingenio argumentum non habuit. *Idem in Animadvers. ad Dionys. Halicarn.* p. 26. Viden' ut studiose magnum illum virum imitetur? Thucydidem dico: quem velim legat studiosa juventus assidue. Credite mihi, adolescentes φιλομαθεῖς, sive eloquentiam quæritis, sive scientiam civilem, sive historiæ cognitionem, non potestis in alio auctore operam melius collocare.

G. J. Vossius de Historicis Græcis Lib. I. Cap. IV.

Thucydides æmulatione Herodoti excitatus fuit ad historiam condendam. Libri ejus non uno olim modo dividebantur. Fides ejus, et integritas laudata: de qua tamen aliter veterum quibusdam visum fuit. Elogia, quibus Tullius, ac Fabius, dictionem ejus ornant; et quantum a dictione Herodoti differat. Obscuritas ejus unde ortum ducat. Numerorum non admodum rationem habet. Veterum judicia de octavo Thucydidis Libro.

Venio ad Thucydidem, Olori, vel potius Oroli filium; qui tempore belli Peloponnesiaci floruit; tantique a Demosthene fiebat, ut octies manu sua describeret: imo et Imperator Carolus V. eum in expeditionibus, sed Gallice redditum, semper circumgestasse secum dicatur. De natali ejus, quæ superius diximus, repetere hoc loco nihil attinet. Ad scribendum excitatus fuit, cum Herodotum libros suos recitantem audisset; sive Olympiæ, ut quidam volunt; sive potius Athenis in Panathenæis. Meminere ejus rei, Marcellinus in Thucydidis Vita, Phocius tmem. LX. et Suidas in Θουκυδίδης. Scripsit Peloponnesiorum cum Atheniensibus bellum; non tamen, ut omne exponat bellum, quod annis duravit XXVII. sed ut annorum XX. priorum historiam referat. Interim altius orditur; nempe a bello inter Corinthios, et Corcyræos; quod octennio Peloponnesiacum antecessit. Eamque annorum XXVII. historiam libris octo est complexus; ut nunc quidem id opus dividitur. Nam, teste Marcellino, olim ab nonnullis in libros XIII. atque ab aliis aliter, distribui solet. Multum vero fidei, si quis alius, scriptor hic meretur. Nam et egregium veritatis in eo studium elucet; et illa scripsit, quibus interfuit. Neque eo minus defuerunt, quibus fides ejus suspecta foret. Quod Josephus testatur in primo contra Apionem, his verbis: Πολλὰ δὲ καὶ Θουκυδίδης ὡς ψευδόμενος ὑπό τινων κατηγορεῖται, καίτοι δοκῶν ἀκριβεστάτην τῶν καθ' αὑτὸν ἱστορίαν συγγράφειν. De dictione ejus variis in locis judicium tulit Cicero. In secundo quidem de oratore ita scribit: *Thucydides omnes dicendi artificio, mea sententia, facile vicit; ut verborum prope numerum*

sententiarum numero consequatur: ita porro verbis aptus, et pressus, ut nescias, utrum res oratione, an verba sententiis, illustrentur. Eodem libro ait, eum, uti et Periclem, et Alcibiadem, esse *subtilem, acutum, brevem, sententiis magis, quam verbis abundantem.* Idem in oratore eum comparat cum Herodoto: atque hunc dicit sedati instar amnis labi; Thucydidem vero *incitatiorem ferri et de bellicis rebus canere etiam quodammodo bellicum.* Fabius quoque eosdem comparat lib. X. cap. 1. *Densus,* inquit, *et brevis, et semper instans sibi Thucydides; dulcis, et candidus, et fusus Herodotus: ille concitatis, hic remissis affectibus melior: ille concionibus, hic sermonibus: ille vi, hic voluptate.* Sed in virtutibus tantis hoc vitii habet, quod paullo obscurior sit. Fatetur hoc Cicero in Bruto, ubi eum reponit inter scriptores, qui *grandes erant verbis, crebri sententiis, compressione rerum breves, et ob eam ipsam caussam interdum subobscuri.* Et eodem opere: *Ipsæ illæ Thucydidis conciones ita multas habent obscuras, abditasque sententias, vix ut intelligantur; quod est in oratione civili vitium vel maximum.* Unde idem Tullius ibidem, *Thucydides,* inquit, *præfractior; nec satis ut ita dicam rotundus.* Item, *in Thucydide orbem modo orationis desidero; ornamenta comparent.*

Quæ vero hactenus de Thucydidis stylo diximus, ea præcipue intelligi debent de septem prioribus libris. Octavus enim plane tenui dictione utitur; cum in prioribus longe magis assurgat. Ac propterea aliqui putarunt, eum a filia Thucydidis scriptum esse; vel a Xenophonte, aut Theopompo, vel alio. Quorum sententiam in vita ejus rejicit Marcellinus: ac potius censet, fuisse scriptum a Thucydide jam ægrotante.

Plura de Thucydideo dicendi genere apud eundem Marcellinum vide: et inprimis apud Dionysium Halicarn. in Herodoti, et Thucydidæ collatione, qua nihil mihi κριτικώτερον videtur.

[His addidimus judicium *D. Wyttenbachii* Præf. ad Selecta principum histor. p. XI. s. ubi post Herodotum ita de nostro dicit: "Secundus est Thucydides, et ipse palmarius, sed diversa ratione. Nam et argumentum habet brevius, res Græcorum, maxime belli Peloponnesiaci, nec omnia narrat, quæ vidit et audivit: sed ea fere,

quæ memoratu digna, et, exploratis testibus subductisque rationibus vera judicavit; raro digrediens a proposito, nec umquam nisi ipso postulante proposito; eidem brevitati studens in oratione cum verbis, quæ singula fere totidem habent sententias, tum compositione, qua sententiæ magis comprimuntur, quam explicantur, subinde magis obscurantur, quam illustrantur. Sed in hac coarctatione ac brevitate mirabile est dictu, quam sit sensibus magnificus et sublimis: quam gravis sententiis: quam certus virtutum vitiorumque æstimator: quam solers et verus explicator caussarum, eventuum, prudentiæ cum civilis tum bellicæ: quam item sagax consiliorum et intimorum humani animi recessuum indagator: quam denique efficax rerum gestarum narrator, in quas medias legentis animus abreptus et armorum strepitum audire et cædes certaminaque præsens cernere videtur, et variis deinceps commotionibus agitatur et versatur. Profectus a diversis atque Herodotus disciplinæ initiis non modo dicendi magistrum habuit Antiphontem, sed cogitandi etiam Anaxagoram. De hoc ut Marcellini exstat auctoritas, ita verisimilis ducitur conjectura ab exemplo Periclis: qui ab Anaxagora item repletus rerum divinarum humanarumque cognitione, eandem ad dicendi usum exercitationemque transtulit. Mihi quidem Thucydides ita se ad Periclis imitationem composuisse videtur, ut, quum scriptum viri nullum exstet, ejus eloquentiæ formam effigiemque per totum historiæ opus expressam posteritati servaret. Ceterum adolescentes ut non nisi Xenophontea aut Herodotea facilitate et perspicuitate præparati ad Thucydidem accedent, ita hujus lectione exercitati ad nullum non sive scriptorem sive poëtam insigni cum intelligentiæ spe et fructu progredientur."]

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΠΡΩΤΟΝ.

EPITOME LIBRI I.

EPIDAMNII bello pressi, cum Corcyræis auxilium negantibus, Corinthiorum implorassent opem, colonos ab ipsis præsidiumque acceperunt. Cap. XXIV. XXV. Ob id Corcyræi Epidamnum circumsedent: ipsisque navali acie Corinthiis victis, oppidum capiunt. XXIX. Cum vero vi majore ultionem Corinthii pararent, Corcyræi ad societatem Atheniensium confugiunt, et, impetrato subsidio, navali prælio cum Corinthiis decernunt: in eo Athenienses cum Corinthiis manus conseruerunt. LI. Sic fœdus violatum. LII. Potidæa ab Atheniensibus defecit. Eam Athenienses, prælio fusis Corinthiis, qui subsidio venerant, obsidione cingunt. LXII. Lacedæmonii, concilio sociorum advocato, ruptum ab Atheniensibus fœdus censent; bellum decernunt. LXXXVIII. CXXIV. Hinc cum, sæpe missis ultro citroque legatis, non conveniret, Athenienses et ipsi, auctore Pericle, bellum jusserunt. Veteris præterea Græciæ status, Atheniensis Reipublicæ incrementa. LXXXIX. Pausaniæque et Themistoclis interitus referuntur. CXXVIII. CXXXV.

ΘΟΥΚΥΔΙΔΟΥ ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΠΡΩΤΟΝ.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους· ἀρξ-

ΟΛΟΡΟΥ] Deest in *Codd. MSS.* In sequentibus libris ΤΟΥ ΟΛΟΡΟΥ habent *cæteræ Editiones.* Nos tamen, ne qua in titulo foret discrepantia, articulum negleximus. Huds. Inter eos, qui Ὀρόλου legunt, eminet auctor vitæ ejus Marcellinus. Ὀλόρου auctor Epigr. in Anthol. I. 44. at vide Thucyd. IV. 104. Wasse.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος] Suspicor, vel potius persuasum habeo, scriptum a Thucydide fuisse ΘΟΥΚΥΔΙΔΗΣ τοῦ Ὀλόρου, Ἀθηναῖος. Vel, Θουκυδ. Ὀλ. Ἀθ. absque articulo. Duo sunt autem, quæ me in hanc opinionem adducunt: unum, quod paternum ipse nomen adjecerit, libro quarto, de se ipso loquens, pag. hujus editionis 273, in fine, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε ξυνέγραψεν. Alterum, quod verisimile sit, quum essent alii et eodem tempore, qui nomen idem haberent, eum aliquid, quo ab illis discerni posset, adjecisse. Quod autem esse dico verisimile, ab ipso Scholiaste tanquam certum traditur. Dicit enim, illum voluisse discrimen ponere (nam hoc est ἀντιδιαστέλλειν) inter se et alios, qui idem eodem tempore nomen habebant. Unde etiam colligere est, illum ita, ut legendum mihi videri dixi, legisse: videlicet, Θουκυδίδης τοῦ Ὀλόρου. Quæ enim alioqui a Thucydide ἀντιδιαστολὴ posita dici posset? Sed tamen non aliud a Scholiaste scribitur, (objiciet aliquis) quam illum nominis sui mentionem fecisse. Hoc quidem fateor: verum depravatam fuisse et Scholiastæ lectionem respondeo, ut illi cum ea, quæ esset apud Thucydidem, conveniret. Quum enim apud eum legisset, Θουκυδίδης τοῦ Ὀλόρου, annotasse, πάντως μέμνηται τοῦ οἰκείου καὶ τοῦ πατρὸς (vel τοῦ τοῦ πατρὸς) ὀνόματος: sed quum illa verba τοῦ Ὀλόρου librarii alicujus incuria intercidissent, ita ut jam verum non comperiretur, quod Scholiastes de adjecto etiam patris nomine scribebat, aliquem verba illa καὶ τοῦ πατρὸς apud eum expunxisse: ut (quemadmodum dixi) quæ apud Scholiastem legerentur, cum lectione, quæ apud Thucydidem exstabat, consentirent. Quidnam hic mihi opponent, qui quam habemus γραφὴν tueri volent? Non aliud (quod sciam) opponere mihi poterunt, quam hoc, Dionysium Halicarnasseum, et quosdam alios locum hunc afferentes, illud patris nomen minime adjicere. Sed fieri potest, ut eorum ætate depravatus jam ille locus esset (quum ne eos quidem satis emendatis usos esse exemplaribus, in omnibus omnium veterum scriptis, nequaquam dubium sit) aut nomen illud, quum a Dionysio vel aliorum quopiam suum exemplar sequente positum foret, in citando hoc loco detractum ab aliquo fuerit, qui apud ipsum Thucydidem minime exstare cerneret.

Ad illud autem Ἀθηναῖος quod attinet, sic certe et apud Dionysium Halicarnasseum Θουκυδίδης Ἀθηναῖος, non ὁ Ἀθηναῖος, legitur: et ab ipsomet de se loquente dici videmus Διονύσιος Ἀλεξάνδρου, Ἁλικαρνασσεὺς, non ὁ Ἁλικαρνασσεύς. Quod si vel hic, vel illic præfixus esset articulus, aut eo uteretur ἐμφατικῶς, aut certe discrimen ponens inter se et alium quempiam Thucydidem, qui non Athenas, sed urbem aliam, patriam haberet. Verum, si non fallor de graphe illa, quam pro germana a me haberi modo dicebam, aliud longe insignius a Thucydide positum fuisse discrimen, dicere poterimus. De eo autem, quod a Dionysio scribitur, Ἁλικαρνασσεὺς, non ὁ Ἁλικαρνασσεὺς, quum tamen τοῦ Ἁλικαρνασσέως in titulo scriptum sit, quid mihi videretur, antea dixi. Stephanus. Θουκυδίδης — Ἀθηναίων] Demet. Phalereus his adductis, ποιεῖ, ait, καὶ τὰ μήκη τῶν κώλων μέγεθος. Hujus Præfationis partem, ab initio ad χαλεπῶς ἀνίσταντο nimirum, in Lib. de Compositione laudat D. Halicarn. *qui* τεκμ. τε ὅτι, et ἐπὶ πλεῖστον, et ἐπιμακρότατον. Wass. De more Veterum Nomina sua in

άμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων· τεκμαιρόμενος, ὅτι

principio scriptorum suorum memorandi vid. Dion. Chrysost. Orat. LIII. Heins. Lect. Theocr. C. III. et Barth. XLII. Advers. 1. Duck.

Dionysius Hal. laudat hunc locum bis, ut hic legitur: (περὶ συνθ. c. 22. p. 163. usque ad verba c. 2. χαλεπῶς ἀνίσταντο, et de Thuc. jud. p. 857.) item Demetr. Phal. § 44. quoque Θουκυδίδης, Ἀθηναῖος, ξυνέγραψε τὸν πόλεμον. Stephanus tamen Thucydidem scripsisse putat, Θουκυδίδης, τοῦ Ὀλόρου, Ἀθηναῖος, vel sine articulo, verbis Scholiastæ commotus, ἀντιδιαστέλλων—ὁμωνύμων—Non improbat hanc conjecturam Abreschius in Obss. Misc. T. III. p. 147. e Lucian. de conscribenda hist. (T. II. p. 22.) ubi cacozelus ille ad numerum vocum procemii Thucydidei suum prorsus exegit, (Κρεπέριος Καλπουρνιανὸς Πομπηΐου—πολίτης, συνέγραψε τὸν πόλεμον—ὡς ἐπολέμησαν—) Sed hæ rationes, MSS. auctoritate destitutæ, non idoneæ videntur. Ad L. V. 26. verba: γέγραφε ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος, Stephanus nihil monuit, patris nomen addendum esse. Non video, cur illud necessarium sit, quum nusquam, uno loco excepto, L. IV. c. 104. ubi commode omitti poterat, illud addiderit, Herodotum imitatus, qui se vocat modo Halicarnassensem. v. Dorvill. ad Charit. p. 4. Noster quoque multa narrat de se, quæ in Thucydidem, Milesii filium, Atheniensem, cujus fit mentio infra c. 117. cadere nequeunt: v. c. L. I. 21. 23. V. 26. et alibi. De Thucydide, Milesii F. Periclis æmulo, v. Plut. in Pericl. p. 611. Schol. ad Aristoph. Vesp. v. 941. Ejus meminit etiam Plato in Theag. p. 94. Francof. ubi pro Μελησίου reponendum Μιλησίου. v. Xylandr. ad Plut. l. c. ubi quatuor fuisse hujus nominis viros, uti etiam ad Thuc. L. VIII. 92. notatur. Ceterum laudat hoc initium usque ad Ἀθηναίων, Pseudo-Demetr. de eloc. p. 31. ut demonstret, longitudinem membrorum, efficere magnitudinem. Gottleber.

Ξυνέγραψε] Sunt, qui ξυνέγραψα malunt, quomodo apud Livium, *Annibal peto pacem*, non sane ineleganter; verum Noster ξυνέγραψε ad minimum decies, neque unquam aliter locutus est. Denique ita citat Dion. Halicarnasseus, p. 145. et alibi. Eustathius ad Od. δ'. p. 1501. Θουκυδίδης ὁ Ἀθηναῖος συνεγράψατο, memoriæ vitio. Formulam Thucydidis observavit hancce Dion. Chrys. Orat. LIII. Historiam hanc in lucem edidisse Xenophontem ait Laërtius, p. 114. De Procemio hoc vid. Lucian. Tom. I. p. 636. et de v. ἀξιολογώτατον Hermogenem, p. 24. Wass.

Unde Thucydides κατ' ἐξοχὴν vocatur συγγραφεύς, veluti a Synesio, in calv. encom. p. 73. Etymolog. in τριακοντούτης ὡς παρὰ τῷ συγγραφεῖ. Scholiast. Thuc. ad I. 138. cf. Oudendorp. et Sallier. ad Thom. M. p. 841. Ammon. in ἱστοριογράφος, p. 76. συγγραφεὺς ὁ τὰ ἐφ' ἑαυτοῦ συγγραφόμενος, ὡς Θουκυδίδης. Gregor. de dial. p. 24. ὁ συγγραφεὺς ἐν τῇ δευτέρᾳ. it. p. 2. Scholiast. Pindar. ad Nem. Od. β'. p. 268. b. Θουκυδίδης ὁ συγγραφεύς, ὁ Ὀλόρου. Sallustius, ad Thucydidis imitationem, libros de rebus populi R. dixit *historias*, ξυγγραφὴν, *accuratam et diligentem narrationem*, ut Zennus in conc. Lepidi p. 142. observat. Ille, ut Noster fere, ita incipit: (I. Hist. I.) "*Res populi R. M. Lepido, Q. Catulo Coss. ac deinde militiæ et domi gestas composui*" (ξυνέγραψα) v. Ursin. ad h. l. H. B. I. c. 5. "*Bellum scripturus sum, quod populus R. cum Jugurtha—gessit.*" Gottleber.

Tertia pers. recte habet, ut in clausula singulis fere annis et libris hujus belli subjecta. De voc. ipso v. Ind. Bauer.

Τὸν πόλεμον] in cod. Aug. Schol. interlin. ad. h. v. hoc est: τὸ πρᾶγμα. Mox ad ἐπολέμησαν, τὸν τρόπον, ad εὐθὺς, τὸν χρόνον, et ad ἐλπίσας, τὴν αἰτίαν. Go.

Πελοποννησίων] Desiderari quis putet articulum τῶν ante Ἀθηναίων, ut, sicut τῶν Πελοποννησίων dictum est, ita etiam τῶν Ἀθηναίων dicatur, quum hic genitivus illum statim excipiat: verum nec apud Dionysium Halicarnasseum, locum hunc citantem, habetur. Steph.

Ὡς ἐπολέμησαν] Non ὡς ἐπολέμησαν, sed ὃν ἐπολέμησαν, legisse Vallam quispiam suspicetur; ex ejus interpretatione conjiciens. Vertit enim, *quod inter se gesserunt*, sed nusquam lectio illa comparet: et sane, quum πλεονάζειν ista videri verba possint, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, multo etiam evidentior pleonasmus sive perissologia esset, si scriberetur ὃν ἐπολέμησαν πρὸς ἀλλήλους. Nam late vel potius latissime patet istud, *quomodo inter se bellum hoc gesserunt*. Ac possit aliquis bellum, quod illi inter se gesserint, narrare, qui tamen, quomodo gestum sit, id est, quomodo singula (ea præsertim, quæ alicujus sunt momenti) in eo gesta fuerint, taceat. Verba tamen duo postrema, πρὸς ἀλλήλους, id est, inter se, Scholiastes necessario adjecta putat, ad distinguendum bellum hoc ab iis, quæ adversus Persas et alios gesserunt. Atqui ego primum quidem, Pe-

ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ

loponnesiorum Atheniensiumque bellum sine amphibolia dici potuisse aio: deinde etiamsi contra sermo ille amphiboliam erat habiturus, at certe πρὸς ἀλλήλους ad eam tollendam satis superque futurum erat. St. Illud ὡς ad πόλεμον refertur, et tam pro ὥσπερ quam pro ὃν commode accipi potest. Aem. Port. ad Dion. Halic. Phrasis huic similis occurrit, p. 216. v. 2. et p. 307. v. 4. Huds.

Sc. αὐτόν. Poterat scribere Noster: ὅν· non ideo tamen sic legit Valla in exemplo suo, quod vertit: *bellum, quod inter se gesserunt.* Ad sensum nihil refert, sive scribatur, ὡς aut ὥσπερ, sive ὅν. Sic L. I. 141. ὥσπερ ἔμοιγε ἄμεινον δοκεῖ εἶναι, quod mihi satius videtur, sc. τὸ πολεμεῖν. It. L. V. 26. τὰ ἔπειτα, ὡς ἐπολεμήθη ἐξηγήσομαι. v. Abresch. Anim. ad Aeschyl. L. II. p. 529. Diluc. Thuc. p. 1. et Auctar. p. 261. G.

Vix operæ erat, cur tantopere pugnarent Viri docti in illo ὡς pro ὃν defendendo; supplendum αὐτόν. Tamen et Latini, nominatim Cicero, *sic placet, sic demonstrat,* p. *hoc.* Memorabilior est pleonasmus, Ebraismo similis, πόλεμον πολεμεῖν, qui minor tamen sit, si legamus ὡς· quæ epexegesis magis sit, distractior illa quidem et molestior. Simillima epexegesi Paullus, 2 Tim. 3. 10. 11. παρηκολούθηκας—τοῖς διωγμοῖς, (ἐμοῦ,) τοῖς παθήμασιν, οἷά μοι ἐγένετο—οἵους διωγμοὺς ὑπέμεινα. Sed locus, a Gottlebero allatus, 5. 26. τὰ ἔπειτα, ὡς ἐπολεμήθη, διηγήσομαι, huc non pertinet; aut enim transposite intelligas: ἐξηγήσ. ὡς τὰ ἔπειτα ἐπολ. aut certe ἃ substituere τῷ ὡς h. l. non possis. Immo eodem modo dictum est, quo apud Horat. Carm. 4. 14. 7—9. *quem didicere,—quid—posses,* i. e. didicere, quid tu posses, vel, qui, quid posses, didicere. Et mox ibid. *Spectandus—quantis fatigaret ruinis,* i. e. spectandum erat, res spectanda, qu. ille ruinis fatigaret. Bauer.

Καθισταμένου) sc. αὐτοῦ, ἀρξάμενος n. τοῦ ξυγγράφειν αὐτόν. Antiquissimi codd. quidam habuisse videntur ξυνισταμένου, ætate saltem, qua vixit Lucianus. Creperius enim Calpurnius, scriptor belli Parthici, ineptus imitator Thucydidis, apud Lucian. T. II. p. 22. habet ξυνισταμένου. Utrumque verbum hoc sensu reperitur, συνίστημι tamen usitatius est; v. c. 1. 15. 23. Isocr. Paneg. 20. μεγάλου πολέμου ξυστάντος. Et sic alibi. Καθισταμένου tamen vera lectio est, quam etiam Dionys. l. c. exhibet, et ipse Thucyd. L. III. 3. repetit: τοῦ πολέμου ἄρτι καθισταμένου. Τὸ συνισταμένου est glossa; quod confirmat Scholion interl. cod. Aug. καθισταμένου, ἀντὶ τοῦ συνισταμένου. G.

Ἐλπίσας—) i. e. *quod facile ante capere poterat*—De futuro post verba *sperandi* vel *putandi,* pro quo et interdum aoristus ponitur, v. Ernest. ad Callim. H. in Dian. v. 222. et quos laudat. Ut ἐλπίζειν Latinorum *sperare* adhibetur. Cic. pro M. Marcell. 7. "*quam* (suspicionem) *etsi spero esse falsam, nunquam tamen verbis extenuabo.*" Mox ad μέγαν, in cod. reg. et. Aug. notatur: ἢ τῷ χρόνῳ, ἢ τοῖς πράγμασι. Ceterum h. l. Lucian. l. c. p. 64. laudat ita: μέγαν τε καὶ αὐτὸς ἐλπίσας ἔσεσθαι, καὶ ἀξιολ. καὶ μείζω τ. π. haud dubie, memoriter. Livius L. XXI. 1. videtur ad Thucydidem respexisse:—licet mihi præfari, quod in principio summæ totius *professi plerique sunt rerum scriptores bellum maxime memorabile omnium,* quæ unquam gesta sint, me scripturum. Monuit etiam Muret. V. L. XIX. 17. Gottleber.

Ἐλπ. μέγ. τε ἔσ.] Ego hæc verba in Philol. Thuc. Paull. ita interpretabar, ut dicerem, futurum ἔσεσθαι esse pro præsenti: quia rem ita proponeret Thuc. ut apparitura esset in ipsius narratione. Sed nimirum hæc interpretatio mea ei sententiæ data vel superstructa erat, qua putarem, verba ἀρξ. εὐθ. καθισ. eo referenda, ut Thuc. intelligeretur loqui non de tempore gesti belli, sed de ordine, argumento et materia operis sui, quo ordiretur descriptionem belli, statim ab initio ejus, non a medio tempore, aut quo ipse cœpisset ei admotus præesse. Quod etsi ex vita Nostri, a pluribus exposita, discimus, cum statim ineunte bello curasse omnia ad se deferenda, quæ gererentur, quæ nimirum illico literis mandaret, in commentarios certe conjecta: ipsam tamen scribendi operam non nisi post Amphipolim proditam aggressum, indidem discimus. Quin, post bellum plane edidisse certe hanc historiam, patere, monet Schol. ad verba c. 1. ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου. Quare locum habere et mea ratio potest. Nam et ab eo tempore ordiri poterat Thuc. quo ipse interesset gerendo bello: ut Tacitus ab *extremis* Augusti, libere ille quidem, et suo jure ac consilio. Quod autem ad voc. ἐλπίζειν utitur B. Gottleberus Ciceronis loco, p. Marc. *suspicionem spero esse falsam,* dissimile est; hic enim de re *bona* dicit Cicero; nempe bonum erat Cæsari et commodum, et sibi quoque *placere* Cicero simulat, falsam esse suspicionem. Aptior locus Virgil. Æn. 4. 292. *tantos rumpi non speret amores;* Quod si de *malis* rebus: quidni de mediis?

μὲν εὐθὺς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ

Nos quoque: *ich will nicht hoffen,* de malis et incommodis usurpamus. BAUER.

Τῶν προγεγενημένων] apposite: γενόμενα enim, quæ historici tractant, opponuntur τοῖς ὑμνημένοις v. Dorvill ad Charit. p. 9. Mox τεκμαιρόμενος, *argumentis his adductus.* Dionys. de comp. verb. (p. 163.) h. l. valde reprehendit. Mutata est structura, et sequi debebat, pro καὶ τὸ ἄλλο Ἑλλ.—ita: καὶ ὅτι τὸ ἄλλο Ἑλλ. ἑώρα ξυνιστάμενον π. ε.—G.

Ησαν ἐς αὐτὸν] Lexicon Græcum MS. apud Montfaucon. in Biblioth. Coislin. p. 600. Ἦα, ἀντὶ τοῦ ἦλθον, ἐπορευόμην. Καὶ παρὰ Θουκυδίδῃ· ἀκμάζοντές τε ἤϊσαν ἐς αὐτόν. οἱ δὲ Ἴωνες ἦσαν. Sed ἦσαν etiam Dionys. Halic. v. Hort. Adon. ἤϊσαν ferri potest apud Homerum, sed huic vix est, ut convenire videatur. Virg. "Ast ego, quæ Divum *incedo* regina." Ceterum Auctor Lexici illius Suidam exscripsit in ἦα. WASS. Etiam aliud Lexicon MS. in ead. Biblioth. p. 234. hic ἤϊταν legit. DUCK.

Ἀκμάζοντες ἦσαν] Memorabilis est lectio ἤϊσαν, quam Wasseus et Dukerus ad h. l. e. Lex. MS. apud Montefalc. in bibl. Coisl. proferunt; itaque legendum pronunciat Suidas in ἦα· καὶ παρὰ Θουκυδίδῃ οὕτως ἀναγνωστέον· ἀκμάζοντές τε ἤϊσαν ἐς αὐτόν. Inde apparet, dubitatum olim fuisse de scriptura hujus loci. (v. Duk. in addend. p. 655.) Ego quidem eam vulgatæ præponendam putem tanquam exquisitiorem et difficiliorem, nec, si codd. aliqui bonæ notæ eam confirmarent, dubitem eam in textum recipere. Forma ipsa occurrit L. I. 118. ἴεναι ἐς τὸν πόλεμον. Wassii ratio, qui hanc lectionem Homero convenientiorem putat, quam Thucydidi, me non satis movet. Noster enim non adspernatur Ionico-poetica subinde, veluti ἐφθάρεαται L. III. 13. τετάχαται ib. ἀπολλύασι, VIII. 106. etc. Quodsi tamen offendat quemquam Ionica ratio, facili mutatione scribi posset ἦσαν, ut Attici loquuntur. Μετῆσαν, Atticum est, et μετήϊσαν Ionicum, ut notabat Valken. Elegantiss. ad Herod. III. 203. De hac memoratu digna lectione apud Suidam nihil monuit in Cur. nov in Suidam, p. 213. Lips. Toupius. Scholiasten habuisse vulgatam in suo libro, patet e scholio. G.

Ησαν] ita Schol. certe legit, qui positum dicit, pro ἤκμαζον. Ceterum hunc locum in animo habuit imitatusque est Liv. 21. 2. cum in verbis *bellum omn. maximum,* tum vero in his: *neque his ipsis tantum unquam virium aut roboris fuit.* B.

Παρασκευῇ τῇ πάσῃ] Quomodo (inquit *Enarrator Græcus*) verum hoc comperietur, eos fuisse ἀκμάζοντας παρασκευῇ τῇ πάσῃ, si Peloponnesiis pecuniæ deerant? sed non addit ullum hujus penuriæ testimonium. Alioqui primam et præcipuam bellici apparatus partem scimus esse pecuniam, quum etiam nervos belli proverbium eam appellet: et notum sit illud *Demosthenis,* δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων. Sed plura de hac objectione, quum ad illum *Scholiastæ* locum venero. STEPH.

Τὸ ἄλλο Ἑλληνικὸν —] i. e. τοὺς ἄλλους Ἕλληνας. Sic loqui solet Thucydides. c. 3. τὸ ληστικὸν, pro λησταῖς, τὸ πεζὸν, pro πεζοῖς, etc. Mox ξυνιστάμενον—i. e. *reliquos Græcos vel cum Atheniensibus vel cum Lacedæmoniis conjunctum iri.* Marg. Flor. Vin. habet προσδοκώμενον, quæ glossa est. Sequitur διανοούμενον, sc. ξυνίστασθαι. v. Steph. G.

Ξυνιστάμενον] Verbo ξυνίστασθαι hac ipsa de re frequenter utitur. At *Valla,* p. 10. contrariam ei dat interpretationem. ST.

Διανοούμενον] Infinitivum ξυνίστασθαι post διανοούμενον non deesse, sed relictum esse subaudiendum, ostendunt alii huic similes loci. Ex quibus est iste p. 68. ὥστε τῶν μὲν ἤδη ἄρχειν, τῶν δὲ διανοεῖσθαι. Nam hic itidem subaudire Infinitivum ἄρχειν necesse est. Atque observandum est, eundem usum hic præstare adverbium ἤδη, quem illic præstat εὐθὺς, quod ad participium ξυνιστάμενον fertur. At vero hoc ipsum adverbium εὐθὺς simili loco adhibitum habes p. 337. οὐ μέν τοι εὐθύς γε ἀπέστη τῶν Αθηναίων, ἀλλὰ διενοεῖτο. nam et hic post διενοεῖτο oportet ὑπακούειν Infinitivum ἀφίστασθαι, ex illo ἀπέστη sumtum. STEPH.

Nisi hoc est pro præterito, vel aoristo, διανοηθὲν, ut significet, post aliquam dubitationem et cunctationem, deliberationem: turbatius rem diviserit Thuc. collocandis verbis; cum deberet: τὸ μὲν εὐθὺς ξυνιστάμ. τὸ δὲ καὶ διανοούμ. scil. ξυνίστασθαι. Nil enim opponitur τῷ εὐθὺς, cui alius modus τοῦ ξυνίσταθαι subjici debebat. Sed si mecum explices διανοούμ. pro præterito, recte habeat positus verborum. B.

Μεγίστη δὴ] Δὴ conjunctio tam completiva quam confirmativa invenitur, ut inquit Priscianus, L. XVIII. p. 1170. hunc locum citans. Alibi etiam Schol. noster: ὁ δὲ δὴ συμπαραπληρωματικὸς αὔξησιν δηλοῖ. HUD. Schol. Aristoph. δὴ μεγίστη, et συμπληρωματικὸν ait esse, ut: Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. Acharn. 1. W.

εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι

Κίνησις μεγίστη δὴ] i. e. πάνυ μεγίστη. Cod. Aug. Schol. interlin. est: τὸ δὴ, ἀντὶ τοῦ πάνυ. cf. Demetr. Phal. §. 56. it. Schol. Aristoph. in Acharn. v. 1. p. 236. ὁ δὲ δὴ συμπληρωματικὸς, αὔξησιν δηλοῖ· ἐχρήσατο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ· Κίνησις γὰρ αὕτη δὴ μεγίστη, ut duo codd. Cass. et Aug. habent. Sed ut h. l. scripsit infra c. 50. ναυμαχία—νεῶν πλήθει μεγίστη δὴ γεγένηται —Τὸ δὴ libenter superlativis hac vi additur. Mox ad v. τὰ ἔτι παλαιότερα, in Aug. notatur: τὰ ἐξοῦ ἄνθρωποι, ubi leg. ἐξ οὗ (χρόνου) ἄνθρωποι. G.

Primo Superlat. est pro Comparativo: μείζων, major ante factis. Deinde προγεγεν. non refertur ad res *fictas* et fabulosas, quod vult B. Gottleberus, quæ enim hic comparatio rerum confictarum cum veris? Aut quomodo fabulose conficta dicantur *ante facta?* Et Troica, Persica, ut vera et ipsa memorat Thuc. Sed *ante* acta, non minus scilicet vere gesta illa, contendit cum hoc novo motu et recenti. B.

Τοῖς Ἕλλησιν] Aut pro Genit. κίνησις τῶν Ἑλλήνων aut pro, ἐν τ. Ἑλλ. inter Græcos, apud Græcos. Id.

Μέρει—καὶ ἐπὶ πλ. ἀνθρ.] Observa inconstantiam, vel varietatem, Nostro perquam frequentem; μέρει enim, Dativus, poscebat, πλείστοις ἀνθρώποις. Ita et C. extr. κατὰ πόλεμον, οὐδὲ ἐς τὰ ἄλλα, pro, κατὰ τὰ ἄλλα, vel, εἰς πόλεμον. Plura talia vide in Ind. conjecta, voc. *Structura varia.* B.

Ἐπὶ πλεῖστον ἀνθρώπων] Quamvis primo aspectu lectio margini adscripta ἐπὶ πλείστων aptior videatur, tamen altera potius pro germana habenda est: quum alii plerique loci ostendant, Thucydidem hoc superlativo libenter ita uti. Sic autem et apud Dionys. Halicarn. non illam, sed hanc γραφὴν habemus. Sed quid de illa dicendum est scriptura, quæ genitivum τῶν ἄλλων ante ἀνθρώπων addit? Ad me quidem certe quod attinet, eam minime censeo recipiendam. STEPH.

Ἀδύνατον] Lectio altera, ἀδύνατα, eundem omnino sensum efficit: sed magis Thucydideam (utpote veteri linguæ Atticæ, qua potissimum utitur Thucydides, magis convenientem) esse crediderim. Sic certe pag. 33. νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν. Sic etiam pag. 199. θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. Et alibi, ὥστ' ἀδύνατα ἐφαίνετο Αργείοις καὶ Αθηναίοις ἅμα πολεμεῖν. Nec vero isto tantum nomine in plurali potius quam in singulari uti solet, sed παριτητέα itidem atque ἐπιχειρητέα, quin etiam, πλευστέα, pro παριτητέον, et ἐπιχειρητέον, atque πλευστέον, dicit: et quidem Atticorum (ac præsertim veterum) more, uti dixi. Ideoque mirum est, Scholiastem annotasse de illo ἐπιχειρητέα, Thucydidis vocabulum esse. In eo certe illum falli, suo loco docebo. Cæterum quamvis ἀδύνατα magis Thucydideum esse, non solum dixerim, sed etiam ostenderim, tamen apud Dionysium Halicarnassensem alterum habemus. S.

Ἀδύνατα ἦν] Recepi ita pro ἀδύνατον, quæ lectio est pervetusta et Thucydidis ingenio accommodata, ut apparet e Suida, in ἀδύνατα εἶναι, ἀντὶ τοῦ ἀδύνατον. Πολλάκις κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα ἐπὶ ταύτης τῆς λέξεως. Confirmat Schol. Eurip. ad Hippol. v. 269. Θουκυδίδης ἀδύνατα ἦν, ἀντὶ τοῦ ἀδύνατον. Ita Noster, L. I. 125. III. 8. IV. 1. VIII. 60. Probabat hanc correctionem Valkenar. V. Cel. ad Eurip. Hippol. p. 203. Ceterum Thucydides videtur hanc loquendi rationem desumsisse ex Herodoto, qui, L. I. 38, fatum ait ἀδύνατά ἐστιν ἀποφυγέειν· it. L. VI. p. 444. et 487. v. Koen. ad Gregor. p. 53. G.

Εὑρεῖν ἀδύνατα ἦν.] Sane Pluralem pro Singulari positum agnoscere Nostri ratio, et vero jam Herodoti, jubet. Ita et Homer. Il. I. 107. τὰ κάκ' ἐστὶ φίλα μαντεύεσθαι, p. φίλον. Hic tamen explices: erant ἀδύνατα, inexplicabilia, εὑρεῖν, πρὸς τὸ εὑρεῖν, vel εὑρεθῆναι, ad inveniendum; ut Latini, *difficile ad intelligendum*; Simul Activum pro Passivo positum εὑρεῖν pro εὑρεθῆναι, et ipso more Nostri. B.

στγ'. 93. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ. καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο. οἱ γὰρ θεμέλιοι παντοίων λίθων

Nil attinebat, hoc explicari; quid enim frequentius aut notius, quam, γινώσκειν esse *judicare, censere?* Immo διαγινώσκειν notabilius est tali sensu, cum primitus sit *distinguere.* Bauer.

Μετ' ἐκείνων βουλεύεσθαι] Non video, unde hic infinitivus βουλεύεσθαι pendere dici possit: (nam φανῆναι quidem, sed non ille quoque, ad ἔφασαν referri potest) quid si igitur illum scripsisse, μετ' ἐκείνων ἔδει βουλεύεσθαι, suspicari me dicam? Steph.

Καὶ ὅσα—βουλεύεσθαι] Steph. suspicatur, Thucyd. scripsisse: μετ' ἐκείνων ἔδει βουλεύεσθαι. Abresch. in Diluc. p. 103. huic infinit. jungit ἐδόκει, e Scholio, quod vulgo ad φανῆναι scriptum est, sed ad βουλεύεσθαι pertinet, hoc ordine: καὶ γὰρ ἔφασαν, ὅτε ἐδόκει ἄμεινον εἶναι ἐκλιπεῖν τὴν πόλιν καὶ ἐσβῆναι ἐς τὰς ναῦς, γνόντες (τοῦτο) τολμῆσαι ἄνευ αὐτῶν· καὶ ὅσα αὖ (ἐδόκει) βουλεύεσθαι μετ' ἐκείνων, οὐδενὸς (ἔφασαν) ὕστερον γνώμῃ φανῆναι. Heilmanus neutrum probat, tanquam nimis contortum; Græcos in sermone indirecto, accusativo cum infinitivo addendis ὅσα, ὡς, ὃς, ποῖα, ἐπεὶ—uti, Latinos vero conjunctivo: *tum si quid cum illis in commune consultaverint, nemini consilio et prudentia secundos fuisse*—Gottl.

Δοκεῖν] Legendum δοκεῖν, non δοκεῖ. Steph.

Καὶ ἐς τοὺς πάντας] Proprie dicendum erat: καὶ πᾶσι τοῖς ξυμμάχοις, ob superiora: τοῖς πολίταις—Sed hujus mutatæ constructionis non unum est exemplum. G.

Οὐ γὰρ οἷόν τ' εἶναι—*Fieri non posse, ut, cum sit apparatus rerum, s. opes dissimiles, idem et æquale in rei publicæ salutem possit capi consilium.* G.

Μάλιστα] Codd. omnes τὰ μάλιστα. quomodo Noster alibi, Demosthenes, Aristot. D. Halicarn. 747. 23. Wass. Προσφιλεῖς e Thucydide laudat Pollux III. 63. Vid. ibi Jungerm. Utuntur eo sæpe etiam alii. Duck.

Ἀνεπικλήτως] Agnoscit Pollux VIII. 68. et ex Xenoph. Κυρ. ἀνεπίκλητον. Josephus, ἀνεπίκλητόν σοι παρασχόμενος τὴν ἐμαυτοῦ πίστιν. Ælian. III. Var. Hist. 15. ἐπίκλημα προσειλήφασι. Xenophontis Codd. ad oram habent ἀνεπίπληκτον, quomodo locutus olim Eupolis. vide et Hesychium. Cæterum οἵ τε π.—ἀνεπικλήτως habentur apud Suidam in ἀνεπικλήτως. Wass. De loco Xenophontis vid. Jungerm. ad Pollucem. Verba Josephi apud Suidam sunt ex Archæolog. XVIII. 4. Duck.

Δήλη ἡ οἰκοδομία—ἐστιν ὅτι—] i. e. δῆλον ἔτι καὶ νῦν ἐστιν, ὅτι οἰκοδομία—noto Græcismo. Plato Rep. V. 463. γνώσεται τὸν Ἡσίοδον ὅτι τῷ ὄντι ἦν σοφός. In δήλη vult suppleri Abreschius Diluc. p. 103. ἐστὶ, quod tamen est in textu. In auctar. p. 240. exempla hujus constructionis plura reperiuntur. G.

ὑπόκεινται, καὶ οὐ ξυνειργασμένων ἔστιν ᾗ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως. καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες, ἠπείγοντο. ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν· (ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε·) νομίζων τό, τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους, μέγα προφέρειν ἐς τὸ κτήσασθαι δύναμιν. τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστὶ, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους, ὅπερ νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν Πειραιᾶ. δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. ἐντὸς δὲ οὔτε χάλιξ, οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι, καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ

Ἔπεισε δὲ καὶ etc.] Vide Pausaniam in initio Atticorum, et Meursii Piræeum c. 2. Huds.

Ἔπεισε—τοῦ Πειραιῶς τὰ λοιπὰ οἰκοδομεῖν.] Pausan. Attic. p. 1. hæc Nostri illustrat: ὁ Πειραιεὺς δῆμος—πρότερον, πρὶν ἢ Θεμιστοκλῆς Ἀθηναίοις ἦρξεν, ἐπίνειον οὐκ ἦν—Θεμιστοκλῆς δὲ ὡς ἦρξε—(τοῖς τε γὰρ πλέουσιν ἐπιτηδειότερος ὁ Πειραιεὺς ἐφαίνετο οἱ προκεῖσθαι—) τοῦτο σφίσιν ἐπίνειον εἶναι κατεσκευάσατο. Pausaniam habuisse Thucydidem ante oculos, patet. cf. Nep. Them. c. 6. *Quum Phalerico portu neque magno neque bono Athenienses uterentur; hujus consilio triplex Piræei portus constitutus est.* v. Intt. G.

Ὑπῆρκτο] Notis parenthesis libenter incluserim hæc verba, ὑπῆρκτο δ' αὐτοῦ etc. ut ultimum sit ἦρξε. impersonaliter enim illud ὑπῆρκτο dicitur: quod tamen non animadvertit Scholiastes, ut apud eum admonui. Steph.

Ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε—] n. Themistocles archon hoc persuasit Atheniensibus anno quarto Olymp. LXXI. v. Plut. in Them. p. 475. Usitatius fuisset, si Gen. junctus esset τῷ ἦρξε. Sed Homerum imitatus est Noster, qui Dat. adhibet, v. c. Il. π. 65. ἄρχε δὲ Μυρμιδόνεσσι—ut cum eo Pausan. fecit, loco paullo ante excitato. Abresch. Dil. p. 105. addit, Latinos quoque gen. junxisse τῷ *regnare*. De structura cum quarto casu v. Abresch. ad Æsch. L. II. p. 306. G.

Πρῶτος ἐτόλμ.] Scholiastæ verba, locum hunc exponentia, suspicionem aliquam movere possunt, eum aliquod verbum aut aliqua verba hic in suo exemplari invenisse ultra ea, quæ habemus. Nam hæc, τῆς θαλάσσης ὡς ἀνθεκτέα ἐστὶ, exponit, ὅτι δεῖ πάσῃ δυνάμει ἀντέχεσθαι τῆς θαλάσσης. quum tamen in lectione illa nihil, quod verbis illis πάσῃ δυνάμει respondeat, habeamus. Nam ἀνθεκτέα ἐστὶ dictum pro ἀνθεκτέον ἐστὶ (sicut ἐπιχειρητέα pro ἐπιχειρητέον, aliaque hujusmodi multa dicit) non plus significat, quam ἀντέχεσθαι δεῖ. Steph. Mox pro συγκατεσκεύαζε, quod in tribus postremis Edd. erat, revocavi ξυγκατ. e Reg. Cass. Gr. Vasc. et Bas. Et sic in aliis melioris notæ Mss. et Edd. esse mihi persuadeo. Duck.

Δύο γὰρ ἅμαξαι—ἐπῆγον—] Sensus est: *duo currus ex adverso sibi obvios, potuisse sese in isto muro evitare.* Huc referendum Nepotis illud arbitror: *isque* (portus) *mœnibus circumdatus, ut ipsam urbem dignitate æquipararet, utilitate superaret.* Hæc dignitas inerat in latitudine muri; ut duo plaustra, lapidibus impleta, e regione præterirent: deinde quod neque χάληξ οὔτε πηλὸς esset— Frustra quærit difficultates Reiskius in Dil. Abresch. p. 105. tanquam verba indicent: lapides tantæ magnitudinis fuisse, ut unum unus currus non potuerit portare, sed duo debuerint jungi. Itaque tentat pro ἐναντίαι corrigere συνημμέναι. Sine ratione. G.

Σιδήρῳ πρὸς ἀλλήλους] Imitatus est Noster

μολύβδῳ δεδεμένοι. τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενοεῖτο. ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβολάς· ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακὴν, τοὺς δ᾽ ἄλλους ἐς τὰς ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο· ἰδὼν, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως. καὶ πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτὸν, ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν, καὶ τἄλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

στδ´. 94. Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου. ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ, καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος· καὶ ἐστράτευσαν ἐς Κύπρον, καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο· καὶ ὕστερον ἐς Βυζάντιον, Μήδων ἐχόντων, καὶ ἐξεπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ.

Herod. I. 186. οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ τε καὶ μολίβδῳ. Scribitur μόλιβδος, ut recepit Wesseling., et μόλυβδος. Incertus est Wass. ad h. l. De μόλυβδος et μόλυβος v. Sallier. et Pierson. ad Mœrid. p. 257. et Wesseling. ad Diod. II. p. 125. In tanta varietate codd. et Grammaticorum, scribatur rectius μόλυβδος, an μόλιβδος· nihil mutare ausus sum. G.

Μολύβδῳ] Μολίβδῳ quidam scripti; et sic apud Aristot. et Dioscor. Mœris, Μόλυβδος Ἀττικῶς. μόλυβος Ἑλληνικῶς. Cl. Huds. μόλυβος Ἀττικῶς. at potius μόλιβος. nam illud Homeri et Poëtarum. μόλιβδος tamen passim apud LXX. et μόλιβος in quibusdam Mss. uti et Alex. Job. XIX. 24. Ezek. XXII. 37. μολίβου et μολίβδου Alex. nunquam μολύβου aut μολύβδου. Jos. 1232. μολίβδις. Utroque modo Glossæ, Suidas, Hesych. In Clem. Alex. Mss. variant. 206. 12. puto μολίβ. a recentioribus. Corrige obiter Oppianum in Halieut. IV. 302.

. . . . θαλλοὺς γὰρ ὁμοῦ δήσαντες ἐλαίης,
Ὄττι μάλ᾽ εὐφυέας, μόλιβδον μέσον ἐγκατέθηκαν.

Ibi Pal. 1. μόλυβον recte. Wass. De structura murorum apud veteres Vid. Lips. III. Poliorcet. 5. Duck.

Ἐπιβολάς·] Cum aliunde, tum vero ex Scholiastæ expositione, ἐπιβολὰς scribendum esse constat. Steph.

Προσέκειτο] Suidas, Προσέκειτο, προσεῖχε. Θουκυδ. ά. Duck.

I. e. προσεῖχε. Sic Suidas, respiciens ad h. l., explicat. G.

Ἐς αὐτὸν, ταῖς ναυσὶ] Ita potius interpunge, ut post αὐτὸν, non post ναυσὶ, ponatur hypostigme. Steph. E præcedentibus Edd. aliæ nullam distinctionem habebant, aliæ perperam post ναυσὶ eam locabant. Duck.

Παυσανίας] Confer Diodorum XI. 265. a. qui pro XX. navibus L. habet, et Nostrum I. 128. Plutarch. Cimon. 482. b. Wass.

In cod. Aug. legitur ad h. v. Τὰ κατὰ Παυσανίαν. G.

Μετὰ εἴκοσι νεῶν] Diodorus Sic. L. XI. p. 437. de hac re ita: οὗτος πεντήκοντα τριήρεις ἐκ Πελοποννήσου λαβὼν, τριάκοντα δὲ παρ᾽ Ἀθηναίων μεταπεμψάμενος, ὧν Ἀριστείδης ἡγεῖτο, πρῶτον μὲν εἰς τὴν Κύπρον ἔπλευσε—Sed decepit eum series rerum apud Nostrum, qua instauratas Athenas munitumque Piræeum et expeditionem in Cyprum condensat; ut scite notavit Wesselingius, l. c. G.

Ἐς Βυζάντιον] Diod. l. c. Βυζάντιον μὲν ὑπὸ Περσῶν κρατούμενον ἐχειρώσατο—G.

Ἐν τῇδε τῇ ἡγεμονίᾳ] Stephanus hinc ordi-

στέ. 95. Ἤδη δὲ καὶ βιαίου ὄντος αὐτοῦ, οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο, καὶ οὐχ ἥκιστα οἱ Ἴωνες, καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο. φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους, ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενὲς, καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν, ἤν που βιάζηται. οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους, καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι, τἄλλα τε καταστησόμενοι, ᾗ φαίνοιτο ἄριστα αὐτοῖς. ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν, ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο. καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἢ

tur novam periodum, et sine distinctione legit, Ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη καὶ βιαίου ὄντος αὐτοῦ. Addit: quod autem ἡγεμονίαν hic vocat, aliquando post στρατηγίαν appellat. Duck.

Stephanus orditur ab his verbis novam periodum; probat etiam Duckerus, malitque induci δὲ καί. Si quis malit rationem Stephani sequi; saltem τὸ καὶ non potest admittere; quod in quibusdam optimæ notæ codd. non deprehenditur. Gottl.

Δὲ καὶ] Copula male abest a Cl. et Aliis. infra v. ult. leg. γίγνεσθαι cum Gr. Ar. C. Vid. Indicem. Wass. Probo sententiam Stephani, et utramque particulam abesse malim, ut in Reg. Duck.

Αὐτοῦ] In cod. Aug. τοῦ Παυσανίου. G.

Οὐχ ἥκιστα] *Maxime Iones*—G.

Νεωστὶ ἠλευθέρωντο] Tenendum, hanc vocem non esse de *proximo* tempore capiendam, ut ἐχθὲς καὶ πρώην et Latinorum *nuper, modo*; ut Platon. Gorg. p. 311. Bas. 2. τὰ χθὲς καὶ πρώην γεγονότα, comprehendunt sedecim l. septendecim annos. Hom. Il. β'. 303. χθιζὰ καὶ πρωϊζὰ γεγενημένα novem annos complectuntur. v. Eustath. p. 225. ed. Roman. et Schol. min. κατεσμίκρυνε τὸν ἐνναετῆ χρόνον. Sic pro ὀλίγου apud Phil. leg. ad Cai. p. 1018. Hoc loco quoque viginti fere anni effluxerant. Iones liberati a Persarum jugo primum per Aristagoram. Thuc. IV. 102. v. Herod. (L. V. p. 389.) c. 11. 124. Sardes capiunt cum Atheniensibus Olymp. LXIX. Iones quidem postea et alii socii a Persis cæsi et fracti, Miltiadis victoria vero eriguntur, Olymp. LXXII. 3. G.

Νεωστὶ] Quid, quod Cic. de Nat. D. 2. 50. init. *nuper*, ipse expl. *paucis ante seculis?* Baver.

Κατὰ τὸ ξυγγενὲς] Vid. Spanhem. Dissert. IX. de Usu et Præst. Numism. pag. 582. Duck.

Προσεῖχον τὴν γνώμην] Quamvis προσέχειν τὴν γνώμην, non τῇ γνώμῃ dici soleat, tamen hic dativus, non ille accusativus, in meo veteri libro extat. Steph.

Προσεῖχον τὴν γνώμην] Optimi codd. habent γνώμῃ, ut L. VII. 23. quoque hæc lectionis varietas reperitur. Abresch. Dil. p. 106. excitat locum Aristidis (T. 1. p. 264.) ἀνδρείᾳ καὶ γνώμῃ προσέχοντας. Non spernenda quidem hæc lectio est, si suppleatur νοῦν, quod frequenter omittunt Attici veteres, contra Thomæ M. sententiam, in προσέχω (p. 748.), veluti Demosth. or. contra Midiam p. 522. Reisk. τούτῳ τῷ λόγῳ ὑμᾶς προσέχειν δεῖ, et ita posset h. l. suppleri quoque νοῦν τῇ γνώμῃ, n. *Græcorum et maxime Ionum voluntati animum advertebant.* Sed tamen hanc formam loquendi amat Noster, quæ subinde occurrit, et L. II. 11. absque lectionis varietate. Quare præferendam arbitror γνώμην. v. Duck. ad VII. 23. G.

Καταστησόμενοι] Lectionem margini adpositam omnino rejiciendam censeo. Steph. Valla vertit, *Ubi cætera consituissent.* Hinc Stephanus ad marg. Edit. suæ sec. colligit, cum legisse καταστησάμενοι, omissa particula τε. Duck.

Ἢ στρατηγία] Admonet Scholiastes, alios velle, particulam nomini στρατηγία præfixam esse σύνδεσμον, id est, conjunctionem: aliis autem placere, esse ἄρθρον, id est, articulum. Hic certe ita scriptam habemus, ut sit conjunctio: et hanc scripturam agnoscit Valla, quum vertit, *potius cum videri tyrannum agere, quam ducem.* Ad sensum quidem certe quod attinet, parum interest, an hanc an illam scripturam sequaris. Fortasse tamen aliquis, scribendo ἣ (id est, *quam*) aliquid amplius, quam cum articulo ἡ dici existimet. Steph.

Τυραννίδος μᾶλλον—μίμησις ἢ στρατηγία]

στρατηγία. ξυνέβη τε αὐτῷ, καλεῖσθαί τε ἅμα, καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ᾽ Ἀθηναίους μετατάξασθαι, πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. ἐλθὼν δὲ ἐς Λακεδαίμονα, τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν. κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα Μηδισμὸς, καὶ ἐδόκει σαφέστατον εἶναι. καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ, καὶ ἄλλους τινὰς μετ᾽ αὐτοῦ, στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. οἱ δὲ, αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι, μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται· (ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον) ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου, καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι, καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους.

στστ'. 96. Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ, ἑκόντων τῶν ξυμμάχων, διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον, καὶ ἃς, ναῦς. πρόσχημα γὰρ ἦν ἀμύ-

E Scholiaste apparet, fuisse, qui legi mallent, ἤ. Sed τὸ μᾶλλον arguit, τὸ ἢ veram esse lectionem. G.

Μᾶλλον ἢ στρατηγία] Immo Thucydideum magis ἥ· imperium magis erat tyrannis, propius tyrannidi; neque necesse est utique, ut ἢ sequatur, cum suppleri ex ipso illo, ἡ στρατηγία, possit, ἢ στρατηγία. Ita et Latini *magis* simpliciter, non subjecto, *quam*. Baver.

Ἔχθει] Ar. C. ἄχθει. At vide 54. 7. Wass.

Πρός τινα] Reiskius in anim. p. 13. conjicit πρός τινας. G.

Μὴ ἀδικεῖν] Putet quis enallagen esse pro ἀδικῆσαι· sed ἀδικεῖν potest esse aoristus secundus. Sic ξυνδιατελεῖ apud Platon. in Phædon. c. est fut. sec. Plura exempla Abresch. in Auct. p. 242. G.

Ἀδικεῖν] Nunquam vero verba *pura* habent aoristum 2. nec possunt. ἀδικεῖν esse potest, ἄδικος εἶναι. Et res ut præsens cogitetur. Ita I. 2. φαίνεται—πάλαι· οἰκουμένη—μεταναστάσεις οὖσαι, καὶ—ἀπολείποντες—quæ omnia debebant efferri in præterito. 3. 12. ἀδικεῖν προαποστάντες· ubi præsens jungitur ipsi aoristo. 3. 45. τὸ πάλαι ΚΕΙ͂ΣΘΑΙ αὐτὰς, propositas *fuisse*. Eodem plane modo, quo hic, 3. 65. οὐ νομίζομεν—ἁμαρτάνειν, p. ἁμαρτῆσαι, et mox: εἰ ἐμαχόμεθα,—ἀδικοῦμεν· et deinde; εἰ—ἐπεκαλέσαντο, τί ἀδικοῦμεν. Baver.

Φοβούμενοι] Reisk. in Diluc. Abresch. p. 106. φοβούμενοι μὲν μὴ— G.

Recte haud dubie Reisk. addit μὲν, quia sequitur ἀπαλλαξ. δέ. Baver.

Ἀπαλλαξείοντες — πολέμου] Thom. Mag. Wass. In ἀπήλλαξεν. Et Suidas in ἀπαλλάξειεν. Duck.

Ἀπαλλαξείοντες] i. e. ἀπαλλάξειν μέλλοντες. v. Thom. Mag. in ἀπήλλαξεν, qui laudavit hunc locum. Ducker. Suid. in ἀπαλλάξειεν addit. G.

Vertendum potius, *cupientes*, studentes *liberari*, defungi. Neque in ἀπαλλάξειν resolvendum erat, verum in ἀπαλλάττεσθαι, vel απαλλαγῆναι, ut Suidas expl., qui audiendus erat. Baver.

Ἐν τῷ τότε παρόντι] Supra omittebat Noster c. 90. τότε, quod non simpliciter necessarium, quoniam e contextis facile intelligitur. G.

Ἐπιτηδείους] i. e. φίλους. L. VIII. 47. ἐπιτήδειος commutatur paullo post cum φίλος. Lysias Or. I. p. 26. Reisk. ἐπιτήδειος καὶ φίλος. G.

Ἑκόντων τῶν ξυμμ.] Omittit Ar. male. agnoscit Sallustius. Herodotus VII. 144. ἅμα Ἑλλήνων τοῖσι βουλομένοισι. Wass. Habet etiam Suidas in Ἑλληνοταμίαι. Duck.

νεσθαι ὧν ἔπαθον, δῃοῦντας τὴν βασιλέως χώραν. καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φόρον. οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς, τετρακόσια τάλαντα, καὶ ἑξήκοντα. ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς, καὶ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο.

στζ'. 97. Ἡγούμενοι δὲ αὐτονόμων τοπρῶτον τῶν ξυμμάχων, καὶ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων, τοσάδε ἐπῆλθον πολέμῳ

Ἑλληνοταμίαι] Vid. Suidam, Schol. et Thucyd. perperam exscribentem in Ἑλληνοταμίαι, et Harpocr. ead. voc. Confer Plutarch. Aristide 333. πεντακοσίων καὶ ἑξήκοντα male Diodor. vid. Nepotem in Aristide. Wass. De Ἑλληνοταμίαις habet etiam Andocides Orat. III. in fin. et Pollux VIII. 114. ubi vid. Jungerman. Suidas in Ἑλληνοταμίαι hunc locum Thucydidis descripsit a παραλαβόντες usque ad ἀρχὴ, omissis tantum verbis τούτῳ τῷ τρόπῳ· sed perperam apud eum est, κατέστη τοῖς Ἀθηναίοις πρώτη ἀρχή. Ceterum, quia φόρου nomen grave et odiosum erat Græcis, pro eo deinde cœpit dici σύνταξις. Harpocrat. in σύνταξις, et Spanhem. ad Julian. Orat. I. p. 166. Duck.

De his quæstoribus Græciæ v. Wass. et Duck. not. Vocantur etiam Ἑλληνοταμιαῖοι. G.

Ἦν δὲ ὁ πρῶ——] Ad classes ædificandas exercitusque comparandos, quantum pecuniæ quæque civitas daret, Aristides delectus est, qui constitueret. Ejus arbitrio quadringenta et sexaginta talenta quotannis Delum sunt collata. Corn. Nepos. Vide etiam Plutarchum in Aristide. Huds.

Πρῶτος φόρος] Delectus fuit Aristides, ab universa Græcia, qui constitueret, quantum pecuniæ quæque civitas daret, ad classes ædificandas. Ejus arbitrio quadringena et sexagena talenta quotannis Delum sunt collata. v. Nep. Arist. 3. qui hunc locum ante oculos habuit. Nec omisit eum laudare Bos. Mox e verbis ἐς τὸ ἱερὸν intelligitur, veteres in templis, tanquam locis tutissimis, pecunias deposuisse. cf. Periz. ad Æl. XIII. 2. p. 850. et quos laudat. G.

Ταμιεῖόν τε Δῆλος ἦν] Id enim (ut inquit Nepos) commune ærarium esse voluerunt. Scil. vel quia locus erat munitissimus et nulli suspectus, vel quia Delii templum in magna veneratione nedum Græcis, sed exteris etiam gentibus erat. Solebant enim Antiqui thesauros privatos et publicos in Deorum templis ac fanis deponere, ut eorum religione et metu securitas pararetur: ut patet ex Cicer. de Legibus I. 2. et Plauti Bacch. Vide Brodæi Miscell. 4. 17. Huds.

Ταμιεῖον] Gr. Flor. ταμεῖον. at fere poëtarum, aut pro cella penuaria. Ab editis stat D. Halic. 541. 572. Joseph. 1179. Apud Isocratem tamen ταμιεῖον pro cella privata, sed figurate. Wass. Ταμεῖον quidem non raro pro ærario publico legitur in prosæ Scriptoribus, ut Plutarch. Quæst. Rom. 41. et 42. Dion. Lib. LV. p. 565. Herodian. I. 6. et VII. 4. Sed hæc et alia hujusmodi loca suspecta esse possunt propter varietatem scripturæ in quibusdam. Ita, quod in Dion. Halic. p. 551. in Vulgatis est ταμείου, MS. Vat. habet ταμιείου. Et in Exceptis ejusd. p. 747. Pacii Codex ταμιεῖον pro ταμεῖον. In Plut. quoque quod l. d. est ταμεῖον, rursum in Publicolæ vita in Stephani Ed. et his, quæ post eam prodierunt, est ταμιεῖον. Ταμεῖον pro *cella penuaria* est in Theophr. Char. C. IV. et Menandro ap. Harpocr. v. Κτησίου Διὸς, qui locus fortassis non eget emendatione. Nam ibi sermo est de cella promtuaria. Et sic Gloss. Ταμεῖον, τὸ ἰδιωτικὸν, *cellarium*, *cella*, et, Ταμιεῖον, τὸ δημόσιον, *Fiscus*, *ærarium*. Diodor. Sic. XI. 266. de hoc communi ærario Græcorum et conventibus in Delo, Εὐθὺς οὖν ὁ μὲν Ἀριστείδης συνεβούλευσε τοῖς συμμάχοις ἅπασι, κοινὴν ἄγουσι σύνοδον ἀποδεῖξαι τὴν Δῆλον κοινὸν ταμιεῖον. Videndum etiam, an huc pertineant verba Etymol. M. Σύνοδος, ἡ ἐκ πολλῶν συναγωγὴ ἐπί τινι· ὡς Θουκυδίδης, ἀεὶ σύνοδοι ἐπὶ τὸ ἱερὸν ἠγέροντο. Duck.

Ταμιεῖόν τε Δῆλος] In Aug. superscr. ἡ Δῆλος. *Ταμιεῖον locus, in quem hæc summa pecuniæ fuit collata, s. deposita.* Ob sanctitatem singularem templi Apollinis tanquam propugnatoris Deli et Custodis, θεὸς δ' ἀεὶ ἀστυφέλικτος Call. h. Del. v. 26. dicitur. Vid. præter Spanh. Intt. ad Hes. h. v. et Ernestium. Ceterum Hudsonus verbis Nepotis, explicandi caussa adjicit male: "*vel quia locus erat munitissimus*:" ἀτείχιστος enim Delus fuit, et omni armatorum præsidio vacua. v. Paus VIII. p. 509. cf. Spanh. ad Callim. H. in Del. 24. p. 398. et Staver. ad Nep. Arist. 3. et quos laudat. G.

Ξύνοδοι] Nesico, cur non pecuniarum collationes significare intelligas, de quibus hic

τε καὶ διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας, καὶ Πελοποννησίων τοὺς ἀεὶ προστυγχάνοντας ἐν ἑκάστῳ. ἔγραψα δὲ αὐτὰ, καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον, καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν, ἢ αὐτὰ τὰ Μηδικά. τούτων δὲ ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη· ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέστη.

unice sermo, non de conciliis, non sane ibi habitis. Quare Schol. rectius, ξυνελάσεις· nam ξυνελεύσεις ne Græcum quidem satis sit. Quod si πρόσοδος χρημάτων dicitur: quidni et σύνοδος? Bauer.

Διαχειρίσει] Thom. Mag. ἐν πολέμῳ τε καὶ διαχειρήσει πραγμάτων. Wass. Est apud Thom. in διαχρῶμαι. Sed non est habenda illius ratio. Nec dubito, quin in Poll. v. 156. pro διαχείρησις sit legendum διαχείρισις. Nam a διαχειρίζω, unde ibi nomen deductum refert, non potest esse διαχείρησις. Duck.

Διαχειρίσει] *Und in Handhabung anderer öffentlichen Angelegenheiten.* Apud Thomam M., ubi laudantur hæc verba p. 224. in διαχειρῶμαι, male legitur διαχειρήσει, quod post Duck. et Oudendorp. admonitiones, corrigi in textu debebat. G.

Ἐκβολὴν] Cicer. VII. ad Attic. 1. Sed hæc fuerit, ut ait Thucydides, ἐκβολὴν λόγου non inutilis. Wass. Add. Thom. Mag. h. v. Duck.

Καὶ τὴν ἐκβολὴν τοῦ λόγου—] i. e. παρέκβασιν, *egressionem.* v. Heusing. ad Offic. L. II. 22. Thomas M. h. v. p. 280. sine caussa damnat παρέκβασιν, ut docet Triller. l. c. Scholiastes supra ad c. 6. utitur hoc vocabulo: ταῦτα δὲ ἐν παρεκβάσει εἴρηται. item παρεκβολὴ adhibetur a Schol. Bas. ad h. l. Hunc locum excerpsit a verbis ἔγραψα— usque ad κατέστη, Dionys. de Thuc. Hist. Jud. p. 836. G.

Ἐκλιπὲς] Scribendum potius ἐλλιπὲς, ut habes in margine: utitur autem hoc vocabulo et alibi. Cæterum apud Vallam deest vox Græca (quæ respondeat Thucydideæ Ἑλληνικὰ) hoc in loco, *scribentibus aut res ante Medicum bellum gestas.* Scribendum est enim, *aut res Græcas.* Steph. Descripsit hunc locum Dionys. Halicarn. p. 141. ab ἔγραψα usque ad κατέστη, ubi etiam est ἐκλιπές. Vid. Indicem. Wass. Dionysium de ἐλλιπὲς, quod præfert Stephanus, non cogitasse apparet ex his illius verbis, αὐτὸς γὰρ ὡς ἘΚΛΕΙΦΘΈΝΤΑ τὸν τόπον τοῦτον· ὑπὸ τῶν ἀρχαίων ἄξιον ἱστορίας ὑπείληφεν, αὐταῖς λέξεσιν οὕτω γράφων. Duck.

Τούτων δὲ, ὅσπερ—] Ordo est: Ἑλλάνικος δὲ, ὅσπερ καὶ τούτων ἐπεμνήσθη, βραχέως τε καὶ οὐκ ἀκρ. τ. χρόνοις, ἥψατο (αὐτῶν) ἐν τῇ Ἀττ. ξυγγραφῇ. Interpretes non bene capiunt τούτων pro mascul. "*in hoc autem numero est*"—cum sit neutrum, sive illud referas ad ἥψατο, sive ad ἐπεμνήσθη. Abreschius paullo aliter constituit ordinem, in primis si ὥσπερ legatur, et Dat. χρόνοις a præpositione ἐπὶ, in ἐπεμνήσθη pendere credit; quod durum videtur. Nimis argutatur vir eruditissimus fere ubique in præpositionibus compositorum. Non semper præpos. in verbis aliquid significare, monuit Ernest. Hom. Il. L. ά. v. 3. et alibi. Τοῖς χρόνοις οὐκ ἀκριβῶς est: κατὰ τοὺς χρόνους. Ceterum Hellanicus h. l. est ille Mitylenæus s. Lesbius, qui Ἀτθίδα s. ξυγγραφὴν Ἀττικὴν, a Marathonia inde pugna ad Thucyd. usque tempora scripsit. v. Harpocr. in Ἀλόπη, p. 25. it. Voss. de hist. Gr. p. 201. De ejus ratione historiæ scribendæ v. Dionys. de Thucyd. Hist. jud. p. 821, 826. Reisk. G.

Ἑλλάνικος etc.] Hellanici duo exstiterunt: unus Lesbius, sive Mitylenæus, alter Milesius; nisi Mitylenæus per errorem, ut videtur nonnullis, dictus fuerit Milesius. Ille (quem citat Thucydides) videtur esse Mitylenæus, duodecim annis (ut constat ex Pamphila apud Gellium, I. 15. c. 23.) ante Herodotum natus. Præter alia conscripsit Ἀτθίδα, sive Historiam Atticam, ab Harpocr. memoratam in voce Ἀλόπη. cujus Historiæ conclusio videtur fuisse brevis congeries gestorum ab Atheniensibus post victoriam Marathoniam usque ad tempora Thucyd. H.

Ἀπόδειξιν ἔχει] Reisk. in anim. p. 13. conjicit: οὐκ ἔχει. G.

στη΄. 98. Πρῶτον μὲν Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, Μήδων ἐχόντων, πολιορκίᾳ εἷλον, καὶ ἠνδραπόδισαν, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος. ἔπειτα Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν, καὶ ᾤκισαν αὐτοί. πρὸς δὲ καὶ Καρυστίους αὐτοῖς, ἄνευ τῶν ἄλλων Εὐβοέων, πόλεμος ἐγένετο. καὶ χρόνῳ ξυνέβησαν καθ᾽ ὁμολογίαν. Ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν, καὶ πολιορκίᾳ παρεστήσαντο. πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη· ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστη ξυνέβη.

στϑ΄. 99. Αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων, καὶ μέγισται, αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποστράτιον,

Ἠϊόνα] Ita Mss. Stephanum, Scholiasten, et Eustathium reprehendit Holsten. et unam hujusce nomiuis urbem tantum agnoscit. In Olymp. LXXVII. 3. Diodor. p. 272. d. Xenoph. 442. Thucyd. 217. 243. 272. 274. Voss. ad Scylacem p. 37. Pausan. 614. Plutarch. Vit. 482. Herodot. VII. 25. et 113. Polyæn. VII. 24. Pyrrhi Ligorii numus cum urna et urceo apud Harduin. 572. HIONEΩN. Cantacuzeno Ἀνακτορόπολις. Wass. Ad ea, quæ contra Stephanum, Scholiasten Thucyd. et Eustathium disputat Holstenius, add. Berkel. ad Steph. in Ἠϊών. Duck.

Ἠϊόνα] Navale et emporium Amphipolitanum, quinque et viginti stadiis ab Amphipoli situm. v. L. IV. 102. ejusd. lib. c. 7. Ἠϊόνα τὴν ἐπὶ Θρᾴκης, c. 50. ἐν Ἠϊόνι τῇ ἐπὶ Στρυμόνι. Sic Paus. Arcad. p. 242. Ἠϊόνα τὴν ἐπὶ Στρυμονι. E quo loco apparet, Cimonem Milt. F. Eionem cepisse astu, dum mœnia e crudo laterculo exstructa, Strymone ad ea detorto, ita ejus aquis diluit, ut alluvie resolverentur. Plut. in Cim. p. 185. Reisk. Ἠϊόνα πόλιν, ἐπὶ τῷ Στρυμόνι κειμένην· ut apud Herodot. VII. 25. uterque. Steph. Byz. et Eustath. cum eo, p, 179. hanc Eionem male faciunt urbem in Chersoneso, provocantes ad auctoritatem Thucydidis; sed a Berkelio copiose est castigatus, p. 378. Ceterum rem repetiit Diod. XI. c. 60. 449. Ἠϊόνα—Περσῶν κατεχόντων ἐχειρώσατο. G.

Σκῦρον] Vid. Addenda. Wass.

Hesychius: πόλις καὶ νῆσος, ἢ λατύπη. Ita interpretatur quoque Σκῦρον, Schol. Pindari Pyth. γ. p. 224. Σκῦρον—λέγουσι τὴν λατύπην, τὴν ἀπὸ τῆς κατεργασίας τῶν λίθων ἀποπίπτουσαν. v. Intt. ad Hesych. it. Wass. in addend. ad Thuc. p. 666. Insula itaque ob saxosa loca nomen est nacta. G.

Ὤικισαν] Non dubito, quin ᾤκησαν, non ᾤκισαν scribendum sit, et male apud Scholiasten quoque hoc pro illo scriptum sit. Vel illud certe ᾤκουν, quod præcedit, fidem nobis de lectione illa facere videtur. Sic autem p. 62. Ἑστιαίας δὲ (aut Ἑστιαιέας δὲ) ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον. Ubi tamen dici possunt γῆν ἔχειν, qui eam non incolunt. Cæterum quæ in eo, de quo nunc agitur, loco est scripturæ diversitas, eadem et alibi occurrit: nam p. 5. quum ita in textu legatur, οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν, in margine ex aliis libris ᾤκισαν tibi datur: sed ibi quoque ᾤκησάν ab οἰκῶ retinendum esse dico. Steph. Nihil mutandum videtur. Diodor. Sicul. XI. 272. Σκῦρον δὲ, Πελασγῶν ἐνοικούντων καὶ Δολόπων, ἐξεπολιόρκησε· καὶ κτίστην Ἀθηναῖον καταστήσας, κατεκληρούχησε τὴν χώραν. Corn. Nep. Cim. II. *Scyrum—vacuefecit; sessores veteres urbe insulaque ejecit:* agros civibus divisit. Hoc est, quod Thucydides dicit, Σκῦρον ᾤκισαν Athenienses, duce Cimone. Duck.

Ὤικισαν] Bene tuitus est hanc lectionem Duckerus, e Diod. XI. c. 60. et Nepot. Cim. 2. contra Stephanum, ᾤκησαν defendentem. (Σκῦρον—ἐξεπολιόρκησε· καὶ κτίστην Ἀθηναῖον καταστήσας, κατεκληρούχησε τὴν χώραν). Addi potest locus luculentus Plut. Cim. p. 188. Ὤικισαν δὲ καὶ Σκῦρον. G.

Παρὰ τὸ καθεστηκὸς] Sc. νόμιμον, ut loquitur Noster L. III. 9. Τὸ καθεστὼς νόμιμον est ἔθος. v. Schol. G.

Ἔκδειαι] Quamvis alia exemplaria ἔκδειαι, alia ἔνδειαι habeant, Scholiastes tamen magnum inter hæc duo discrimen statuit: sed de quo illi non assentior, ut apud eum dixi. Steph. Altera interpretatio Scholiastæ, ἀπολείψεις, ἀτέλειαι huic loco convenit. Ἐν-

εἴτῳ ἐγένετο. οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας· ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους. ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι. διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν στρατειῶν, οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ᾽ οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν. καὶ τοῖς μὲν Ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης, ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ, ὁπότε ἀποσταῖεν, ἀπαράσκευοι καὶ ἄποροι ἐς τὸν πόλεμον καθίσταντο.

ρ΄. 100. Εγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ᾽ Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους. καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος· καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς πάσας, ἐς διακοσίας. χρόνῳ δὲ ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι,

δεια, *inopia*, *penuria*, hic locum non habet. Ἔκδεια autem est, quum quis non totum solvit, quam reliquationem vocant. Vid. Suid. in ἔκδεια, Vales. ad Harpocrat. h. v. et Salmas. de Mod. Usur. p. 713. Cur Steph. et Port. verterint *ejurationes tributorum et navium*, non intelligo. Valla sequutus est alteram scripturam: nam vertit *tributorum penuria naviumque*. De λειποστρατίῳ Poll. VIII. 40. Herodoto V. 27. est λειποστρατία. vid. Thom Mag. in λειποτάξιον. DUCK.

Ἔκδειαι] Nos: *der Rückstand in den abzutragenden Abgaden und Schiffen*, reliquatio. vid. not. Duckeri ad h. l. GOTTL.

Ἔπρασσον] Pro ἐσέπρασσον, *exigebant*. Simplex et compositum de pecunia exigenda adhibetur. vid. Wessel. ad Diod. I. 18. p. 22. Medio alias utuntur Græci. v. c. Diod. XII. 28. ἐπράξατο τοὺς Σαμίους τὰς γεγενημένας τὴν πολιορκίαν δαπάνας. G.

Ita Xen. M. S. 1. οὐκ ἐπράττετο χρήματα. BAVER.

Οὐκέτι ἐν ἡδονῇ ἄρχοντες] i. e. *eorum imperium non amplius gratum et acceptum fuit*. G.

Ἀπ᾽ οἴκου] Malim ἄπ᾽ hic scribi, ut vel hæc scriptura vocem illam non pro ἀπὸ, sed pro ἄπο esse positam testetur. Ut autem hic pro militandi immunitate, ita et pro navigandi pecuniæ penduntur supra pag. 16. STEPH.

Ἐγένετο—διακοσίας] Dion. Halic. p. 142. WASS.

Εὐρυμέδοντι] Locum memorat et res gestas Harpocration. retulit ad annum IV. Artaxerxis Euseb. Ol. LXXIX. 4. IDEM.

Κίμωνος τοῦ Μιλτιάδου] v. Aristid. T. I. p. 151. Jebb. Plut. in. Cim. p. 176. G.

Εἷλον τριήρεις Φοινίκων] v. Plut. Cim. p. 199. διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι. G.

Χρόνῳ δὲ ὕστ.] Diodorus non convenit cum Thucydide de tempore hujus Thasiorum defectionis, quam Thucydides ponit antequam Sparta terræ-motibus concuteretur, Diodorus autem post terræ-motum. Palmerius Exercitationib. p. 109. HUDS.

Θασίους] Vid. Syncellum 4064. Aristot. Hist. An. 136. Motrayii Numus Tab. XXIX. ΘΑΣΙΟΝ. Ita scribunt Herodot. Strabo, Archestratus Γαστερονομία, Hegemon Thasius, qui Cratini tempore floruit, Scylax, Hippocr. Pausan. Apollodor. M. Heracleota, Diodor. Polyænus, Aristophanes, Pl. Galenus Tom. II. 358. Plutarchus Bruto, Dionys. Perieg. Schol. Homeri Od. κ΄. 235. Chron. Paschale, Clemens Alex. Zenobius apud Suidam, Hesychius Θάσιος παῖς Ἀγλαοφῶντος, sed ibi legendum γένος Ἀγ. pars est Epig. Simonidis, vid. Pausan. Phocic. Cap. XXVII. Ex Latinis Virg. Statius, Varro, Cloatius Verus apud Macrob. Mela,

διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων, καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι, ναυμαχίᾳ ἐκράτησαν, καὶ ἐς τὴν γῆν ἀπέβησαν. ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς, νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν ἃς εἶχον Ἠδωνοί· προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν, διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.

Nepos, geminant Xenophon Hist. Gr. I. 432. Ptolemæus: at uterque insulam intelligit. Urbem Xenophon alibi Θάσον vocat. Livii exemplaria, et Excerpta Polybii variant. Plinius IV. 12. 23. Thassus, opinor male. De Urbis excidio sub Lysandro consule Diodorum XIII. p. 388. Wass.

Θάσος] Ita scribendum esse auctor est Wassius, non Θάσσος. Sic Mela II. 7. "in *Ægæo* mari prope Thraciam, *Thasos*, Imbros, Samothrace." Dionys. v. 523. Ὠγυγίη τε Θάσος Δημητέρος ἀκτή.

Πέμψαντες οἰκήτορας] Sollemnis forma πέμπειν et ἐκπέμπειν οἰκήτορας s. ἀποίκους, colonos mittere in locum, incolis vacuum. G.

Οἰκιοῦντες] Ita recepi pro οἰκειοῦντες, præeuntibus optimis codd. quod mutatum videtur ab imperitis librariis, qui nescirent, hoc esse futurum Atticum, ab οἰκίζω. Hæc forma futuri occurrit quoque L. III. 4. ὡς σφῶν οὐδὲν νεωτεριούντων, et alibi. Patet quoque lectionis veritas ex verbis οἰκήτορας. Accedit, Thucydidem τὸ οἰκειοῦν adhibere *conciliandi* vi. Unicus esset locus Thucyd., ubi οἰκειοῦντες esset ἰδιοποιοῦντες, *sibi vindicantes*, quem Steph. quoque laudavit in Thes. L. G. T. II. p. 1233. Mox adhibet: ἐκράτησαν τῶν Ἐννέα ὁδῶν, quod hac in re usurpatur frequenter. Rem accurate Noster L. IV. 102. Athenienses Agnone coloniæ duce emisso expulsis Edonis hanc urbem condidisse—ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλεῖτο. Mox adhibet ᾤκισεν. repetiit Plut. Cim. p. 188. αὐτὴν τὴν Ἠϊόνα καὶ τὴν Ἀμφίπολιν οἰκίσαντες. Huc respexit Nepos Cim. 2. Primum imperator apud flumen Strymona magnas copias fugavit, oppidum Amphipolim constituit, *eoque decem millia Athen. in coloniam misit.* G.

Καλουμένας Ἐννέα ὁδοὺς] Appellationis originem indicat Hyginus, Fab. LIX. cum ait, novies Phyllidem eo die, quo Demophoontis reditum præstolabatur, littus versus cucurrisse: indicatque id Coluthus lib. de raptu Helenæ. Vide Meursium de Regn. Athen. l. 3. c. 7. Huds. Errorem Stephani, qui in Ἀμφίπολις etiam Μυρίκην et Ἠϊόνα dictam scribit, redarguunt ibi Interpretes, et Voss. ad Scylac. p. 64. Ed. Gron. Duck.

Δραβήσκῳ] Stephanus Δραβῆσκος. Geogr. MS. Vatic. Δράβησκος, teste Holstenio. vid. Appianum B. Civil. IV. 650. Strabonis Epit. Lib. VII. in fin. male Δραβίσκος. Latini scriptores, haud memorant. Vid. Nostrum 272. 19. Campi cujusdam nomen esse videtur. Wass. Apud Appian. quoque l. d. Δραβίσκος. Stephano χωρίον, id est, locus, vel campus, non oppidum, ut Cellar. II. Geogr. 13. qui hoc etiam non obscure ex Thucydidis verbis conjici putat. Si hoc conjicere voluit ex his διεφθάρησαν ἐν Δραβήσκῳ, non firma est illius conjectura. Nam ἐν nominibus urbium additum sæpe notat τὴν περίχωρον. Steph. Ἰσσὸς—ἐν ᾗ Ἀλέξανδρος Δαρεῖον ἐνίκησε. Lucian. de conscrib. Histor. p. 621. τὰς ἐν Εὐρώπῳ γιγνομένας σφαγάς. Vid. Perizon. ad Ælian. II. V. H. 25. Straboni in Epit. l. d. est πόλις, et MS. Vatic. apud Holsten. ad Steph. Δράβησκος Ἠδωνῶν πόλις ἐν Θράκῃ. Idem colligi potest ex Appiano de situ Philipporum: ἐκ δὲ τῆς δύσεως πεδίον μέχρι Μυρκίνου τε καὶ Δραβίσκου. Add. infr. ad Cap. 113. Duck.

Ἐν Δραβήσκῳ] Fuit urbs Edonum in Thracia. Plura congessere Intt., in primis Eruditiss. Duckerus. G.

Ἠδωνικῇ] MS. Ar. Ἰδωνικῇ. Error ex adsc. ι ΗΙΔΩΝΗ. Wass. Potius putem ex eo ortum, quod η & ι eodem sono proferebantur, ut Δράβησκος et Δράβισκος, et infinita alia hujus generis. Nam nusquam hoc nomen cum diphthongo in prima syllaba inveni. Duck.

Ξυμπάντων] Heilmanus (p. 117.) conjicit ξυστάντων, quod τὸ ξυμπάντων otiosum

ρά. 101. Θάσιοι δὲ νικηθέντες μάχαις, καὶ πολιορκούμενοι, Λακεδαιμονίους ἐπεκαλοῦντο, καὶ ἐπαμύνειν ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων, καὶ ἔμελλον. διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ. ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθεεῖς ἐς Ἰθώμην ἀπέστησαν. πλεῖστοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι· ᾗ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις· Θάσιοι δὲ, τρίτῳ ἔτει πολιορκούμενοι, ὡμολόγησαν Ἀθηναίοις, τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα, ταξάμενοι, καὶ τολοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.

ρβ'. 102. Λακεδαιμόνιοι δὲ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους, καὶ Ἀθηναίους. οἱ δ' ἦλθον, Κίμωνος στρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ. μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο, ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι. τοῖς δὲ, πολιορκίας μακρᾶς καθεστηκυίας, τούτου ἐνδεᾶ ἐφαίνετο. βίᾳ γὰρ ἂν εἷλον τὸ

sit et rei non conveniat; hoc sensu: "*a Thracibus, qui arma subito sumserant,*" laudatque L. VI. 21. εἰ ξυστῶσιν αἱ πόλεις φοβηθεῖσαι. Sed vereor, ut probet alicui hanc conjecturam. Οἱ ξυστάντες vel ξυνεστῶτες sunt, qui se quavis ratione conjungunt, et inter se conspirant; opponiturque τοῖς διαστᾶσι. (VI. 79.) Bene Scholiastes explicat συνέλθωσιν αἱ πόλεις ἐς κοινὴν βοήθειαν. Sic VI. 21. VII. 33. VIII. 66. 73. G.

Καὶ ἔμελλον] Sc. ἐπαμύνειν, s. ἐσβαλεῖν, ut ad marg. Flor. Vinar. scribitur. G.

Θουριᾶται] Scribitur Θουριᾶται et Θουρεᾶται. Huds. Paullo ante, post ἔμελλον, restitui distinctionem majorem, quæ in Cass. Gr. Vasc. et Bas. pro minima, quam tres postremæ Edd. habent. Duck.

Αἰθεεῖς] Non ita Gentile ab Αἰθαία secundum Stephanum Byzant. formari debet, neque ita apud Thucydidem legisse videtur. Quis autem veram servaverit lectionem tute ipse judicabis. Huds. Αἰθεεῖς] Situm hujus populi ignorat Cellar. p. 767. urbs Αἰθαία Stephano, qui Philochorum exscribit. Apud eum Αἰθαία, et inde gentile Αἰθαιεύς. Suidas Αἴθες, ἐθνικόν. Antiqui omnes, quam Græci quam Latini, hac in re plane silent. De secessione vid. Pausan. Mess. IX. Gr. mox δὲ καὶ τῶν Εἱλ. sed præcedit. Wass.

Ὡμολόγησαν] i. e. ὁμολογίαν ἐποιοῦντο, compositionem fecerunt his conditionibus. Ita L. IV. 65. G.

Τῆς δὲ πολιορκίας—) Reposui ex optimis codd. τῆς pro τοῖς, sic Scholiastes quoque legit, qui recte exponit δὲ pro γάρ. Reisk. in anim. p. 13. τοῖς δὲ sc. Atheniensibus, dativum loco genitivi esse credit. Parum recte; ut sequentia docent. G.

Ἐνδεᾶ] Miretur quis hoc adjectivum ἐνδεᾶ, absque ullo quocum jungatur substantivo: et fortasse scribendum ἔνδεια suspicetur: at ego illum adjectivi usum tanquam Thucydideum, ex collatione cum quibusdam aliis agnosco. Steph.

Τούτου ἐνδεᾶ ἐφαίνετο] Τούτου sc. τειχομαχεῖν. In ἐνδεᾶ cum Reiskio, l. c. subaud. τὰ παρόντα, aut τὰ πράγματα τῶν Ἀθηναίων. "*apparebat, Atheniensibus non esse peritiam hujus rei parem exspectationi Lacedæmoniorum; nam alias fuissent urbem vi capturi.*" Abresch. in Diluc. p. 109. qui idem supplet, sententiam hunc esse dicit: *Lacedæmonios ope atque vi artis poliorceticæ, cujus periti erant Athenienses, expugnare cupiisse locum.* Huc tendere quoque Schol. ad τούτου ἐνδεᾶ.

χωρίον. καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιΐαν, καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι, μήτι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν· τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δὲ, ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι. οἱ δ᾽ Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου· καὶ δεινὸν ποιησάμενοι, καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς, Ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο· καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη.

ργ΄. 103. Οἱ δ᾽ ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους, ἐφ᾽ ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι, καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον. ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν προτοῦ, τὸν

Sed v. not. ad Schol. Equidem præfero Reiskianam rationem. G.

Ἐνδεᾶ ἐφαίν.] Scil. τὰ πράγματα, ἔργα, vel πάντα· it. c. 46. init. ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, et 48. init. Equidem sic interpreter: illis autem, vel ipsis Lacedæmoniis, hoc deesse inveniebatur; minor ipsis, quam Atheniensibus, usus inveniebatur, erat urbium oppugnandarum; nempe longiori obsidione; ipsi enim urbem vi potius cepissent; sed enim hoc non procedebat. Baver.

Τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιΐαν] Prop. τὴν τόλμην, κ. τ.—Sed illud congruentius Thuc. loquendi consuetudini. G.

Οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ] Se a Lacedæmoniis non bene de se sentientibus dimissos esse; nos: *nicht in der besten Meynung*— G.

Βελτ. λόγῳ] Verterim, non optimo animo, consilio, γνώμῃ· nempe, ut illos amolirentur. Baver.

Ἐξίασιν] Sicut in quodam pag. 27. loco, male ἐξίησι pro ἔξεισι antea legebatur, ita hic male ἐξιᾶσιν· quum hoc quoque sit ab ἐξίημι, quod ne huic quidem loco convenit, sed ἔξειμι· a quo scribendum est ἐξίασιν. Habet autem futuri significationem: adeo ut perinde sit, ac si ἐξελεύσονται scriptum esset. Atque hic futuri usus post ἐφ᾽ ᾧ, id est, quod Scholiastes idioma Thucydidis appellat. Ita enim et pag. 62. σπονδὰς ποιησάμενοι ἐφ᾽ ᾧ τοὺς ἄνδρας κομιοῦνται. Alii enim potius hic quidem ἐπὶ τῷ κομίζεσθαι, illic autem, ἐπὶ τῷ ἐξιέναι dicerent. Steph. Add. quæ Idem scribit Append. Thes. pag. 130. Nec tamen necesse est, ἐφ᾽ ᾧ τε mutare his ἐπὶ τῷ· nam non minus ἐφ᾽ ᾧ τε cum infinitivo dicitur. vid. Dion. Halic. X. 18. Ctes. in Excerpt. Persic. C. XXXIV. et XXXVIII. Duck.

Ἐφ᾽ ᾧ τε] n. λόγῳ s. τρόπῳ, *hac lege ut*— Abundat autem τε. Plene sic loqui forte potuisset: ἐπὶ τῷ τρόπῳ ὡς, l. ὥστε. Mox ἐξίασιν idem est ac ἐξελεύσονται. Notum est, τὸ εἶμι vim futuri habere. v. Mœris in ἄπεισι, Thom. M. e. v. et Phryn. p. 12. Gottl.

Μηδέποτε] Gr. Ar. Marg. μηκέτι, ut apud Homer. Il. β΄. 261. et nostrum 235. 19. Sed minus placet ob vicinitatem οὐκέτι. Wass. De Jove Ithomete vid. quos laudat Holsten. ad Stephan. in Ἰθώμη. Scholiastes ait Ἰθωμήτα Dorice dici, pro Ἰθωμήτου scilicet. Si Thucydides postremam syllabam Dorice extulit, credibile est, eum idem sequutum in illa, quæ præcedit, et scripsisse

ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμήτα ἀφιέναι. ἐξῆλθον δὲ αὐτοὶ, καὶ παῖδες, καὶ γυναῖκες. καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατ' ἔχθος ἤδη τὸ Λακεδαιμονίων, ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ᾑρηκότες νεωστὶ, Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων. προσεχώρησαν δὲ καὶ Μεγαρῆς Ἀθηναίοις ἐς ξυμμαχίαν, Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον. καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγάς· καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν· καὶ ἐφρούρουν αὐτοί. καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

ρδ'. 104. Ἰνάρως δὲ ὁ Ψαμμητίχου, Λίβυς, βασιλεὺς Λιβύων τῶν πρὸς Αἰγύπτῳ, ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου πόλεως, ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρ-

Ἰθωμάτα. Nam hoc est Doricum. Steph. Ἰθωμήτης—καὶ Δωρικῷ τρόπῳ, Ἰθωμάτας. Et sic Paus. Messen. Cap. XXVI. et XXXIII. Duck.

Ἰθωμήτα] Rectius scribendum Ἰθωμάτα puto cum Duck. e Scholio: si extrema syllaba Dorice effertur h. l. haud dubie quoque proxima ita efferenda. Gottl.

Μεγαρῆς] Hæc est Attica terminatio, ut Ἀχαρνῆς, Πλαταιῆς et alia hujusmodi. vid. Steph. Append. Thes. p. 13. et 30. De Pegis et Nisæa Holsten. ad Steph. Quæ hic et ap. Herod. I. 59. Νίσαια, Stephano et aliis est Νισαία, de quo monet Sylburg. ad Pausan. Attic. c. XXXIX. Scholiastæ Theocr. XII. Id. 27. Νίσα, quod ibi emendat Heinsius. Ab hoc Megarenses Græciæ cognomine Nisæorum a Megarensibus Siciliæ distingui adnotat Casaub. ad Athen. XIV. 22. Ovid. tamen Epist. XV. 54. Nisiades dicit de Megarensibus Siciliæ. Duck.

Quamvis Attica est hæc scriptura, tamen antiquior Attic. ratio esse videtur, quam optimi habent codd. per εῖς. v. Valk. ad Eurip. Phœn. p. 95. G.

Ἰνάρως etc.] De defectione Ægyptiorum a Persarum rege vide Diodorum Siculum, l. 11. p. 279. Ed. Steph. Huds. Ἰνάρως] Ctesias cap. 32. Lydium vocat perperam. vid. Herodot. III. 12. 15. VII. 7. et Cl. Montefalconii Palæograph. II. 4. Wass. In Herodoto quoque est Ἰνάρως, in Diodoro Ἰναρὼς, ap. Schol. Aristoph. Plut. 178. Ἴναρως, in Ctesia apud Photium Biblioth. Cod. LXXII. Ἴναρος. Ibi perperam legi Ἰνάρου Λυδίου ἀνδρὸς, etiam observarunt Casaubon. ad Baron. Exercitat. XVI. § 77. et Usserius in Annalib. ad A. P. I. 4254. Nam Herodotus III. 12. dicit ἀπὸ Ἰνάρω τοῦ Λίβυος, et VII. 7. Ἰνάρως ἀνὴρ Λίβυς, ut hic Thucydides, et infra Cap. 110. Ἰνάρως ὁ τῶν Λιβύων βασιλεύς. Errorem illum sequuti sunt omnes, qui hæc Excerpta Photii e Ctesia vel separatim, vel una cum Herodoto ediderunt. Sed non tam Ctesiæ, aut Photii, quam, ut recte post Casaubonum Hudsonus in Var. Lect. ad Cap. 110., librariorum vitium est, qui in Photio e Λιβύων fecerunt Λυδίων, quemadmodum e Λιβύων scriba Cod. Gr. infr. l. d. Λυβίων. Ψαμμίτιχος, ut hic quidam scripti, sæpe etiam Herodotus, Diodor. Sicul. I. 42. IV. 415. et Schol. Aristoph. Plut. l. d. At Idem Nubib. 397. Ψαμμήτιχος. Montfaucon. l. d. exhibet partem vetustæ Inscriptionis, qua continentur nomina Atheniensium, qui bellis, quæ hic memorat Thucydides, interierunt. Duck.

Sic apud Herod. III. 12. VII. 7. alii aliter. v. Wass. et Duck. ad h. l. Ceterum hoc loco Thucydidis utitur Wessel. ad Herod. III. 15., ut doceat, Inarum fuisse Λιβύων regem, contra Ctes. excerpt. p. 818., ubi male vocatur Λύδιος ἀνήρ. Gottl.

Ἐκ Μαρείας] Apud Valent. Æg. num. p. 208. est Μαρεωτῶν, qui vero de gente potius, quam de urbe, explicandus videtur Cellario, Georg. ant. T. II. P. III. p. 10. qui plura de hac urbe congessit. cf. Athen. I. 25. Vinum Mareoticum, nomen habet ἀπὸ τῆς ait, ἐν Ἀλεξανδρείᾳ κρήνης Μαρείας, καὶ τῆς παρ' αὐτὴν πόλεως ὁμωνύμου, quæ urbs Athenæi tempore erat κώμη. Steph. de urb. ubi est Μάρεια, πόλις καὶ λίμνη, τῇ Ἀλεξανδρείᾳ παρακειμένη· ἡ καὶ Μαρεῶτις λέγεται. G.

ταξέρξου· καὶ αὐτὸς ἄρχων γενόμενος, Ἀθηναίους ἐπηγάγετο. οἱ δὲ (ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὑτῶν τε καὶ τῶν ξυμμάχων) ἦλθον, ἀπολιπόντες τὴν Κύπρον· καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες, καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν, πρὸς τὸ τρίτον μέρος, ὃ καλεῖται Λευκὸν τεῖχος, ἐπολέμουν. ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες, καὶ Αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

ρέ. 105. Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιὰς, πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο· καὶ ἐνίκων Κορίνθιοι. καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσί· καὶ ἐνίκων Ἀθηναῖοι. πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις, μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ᾽ Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν· καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν. καὶ ἐνίκων Ἀθηναῖοι, καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν, ἐς τὴν γῆν ἀπέβησαν, καὶ ἐπολιόρκουν Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. ἔπειτα Πελοποννήσιοι ἀμύνειν βουλόμενοι Αἰγινήταις, ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους διεβί-

Ἀρταξέρξου] N. μακρόχειρος. v. Diod. Sic. L. II. p. 279. Plura lecturis dabunt, Wass. et Duck. cf. Ctes. Pers. p. 818. G.

Ἐς Κύπρον] Rem attingit Plato in Menex. c. 12. ἦσαν δὲ οὗτοι—οἱ εἰς Κύπρον στρατεύσαντες, καὶ οἱ εἰς Αἴγυπτον πλεύσαντες καὶ ἄλλοσε πολλαχόσε—G.

Ἐς Ἁλιάς] Strabo VIII. 373. Ἑρμιόνη ἐστὶ τῶν οὐκ ἀσήμων πόλεων· ἧς τὴν παραλίαν ἔχουσιν Ἁλιεῖς λεγόμενοι, θαλαττουργοί τινες ἄνδρες. vid. Diodor. XI. p. 282. Eustath. Ἁλιὰς perperam scribit. vid. Steph. et Hesych. in ἁλική. Scylax p. 20. Μετὰ τὴν Ἐπιδουρείαν χώραν, Ἁλία, καὶ λιμήν. Pausan. II. 36. ἡ Ἁλίκη τὰ μὲν ἐφ᾽ ἡμῶν ἐστιν ἔρημος. vid. Xenoph. Hist. Græc. 515. b. 624. d. Ἁλεὺς etiam Δῆμος τῆς Κῶ Schol. Theocr. Confer Nostrum 115. 23. Demosth. in Olymp. p. 691. ΑΛΑΙΕΥ`Σ Insc. vet. in Bacchi Theat. Athen. ΝΙΚΩΝ ΛΥΣΙΟΥ ΑΛΙΕΥΣ Wheler. 366. vid. Pausan. VI. 334. Wass. Inscriptio hæc pertinet ad Halæenses ex δήμῳ Attico, cui Ἁλαὶ nomen erat. De quo Meurs. de Populis Attic. Duck.

Πρὸς Κορινθίους—μάχη ἐγένετο—] v. Aristid. in hymn. in Panath. T. I. p. 155. Jebb. G.

Καὶ ἐνίκων Κορ.] Cum Thucydide pugnat Diodorus Sic. qui victoriam adjudicat Atheniensibus p. 282. Ed. Steph. Cum Thucydide tamen consentit Trogus, et cum Atheniensis fuerit Thucydides, plus fidei meretur, quam Diodorus. *Palmerius.* Huds. Est in Palmer. Exercit. p. 45. qui respicit ad ea, quæ leguntur in Justin. III. 6. ubi etiam Interpretes adnotant, tum Athenienses a Peloponnesiis ad Halias victos esse. Sed si de hac pugna sensit, nonnulla aliter ac Thucydides, et perperam, scribit. Duck.

Κεκρυφαλείᾳ] Cum Ar. C. scribit Diodor. p. 282. d. κεκρυφαλίᾳ male. Κεκρυφάλιον est reticulum muliebre, unde ad retis et stomachi cavitatem transfertur, vid. Aristot. Hist. An. II. ult. Hesych. Schol. Nicandri p. 30. Aldin. Unus, opinor, Plinius hanc insulam agnoscit. Κερκυφαλία etiam cum Diodoro Aristides I. 269. Wass. Præter Plinium IV. H. N. 12. princ. etiam Schol. ad h. l. Thucyd. et alii apud Stephanum insulam esse dixerunt. Locum Aristidis descripsit Photius in Biblioth. qui itidem habet Κεκρυφαλίᾳ. Adnotavit Harduin. ad Plin. Errorem Stephani in Historia observant ad eum Interpretes. Duck.

Ἑβδομήκοντα] Ita Libri, quibus accedit etiam Lysias in Orat. Funebri p. 510. De

οὐδὲ τὸ ναυτικὸν αὐτῷ ἄξιον φοβηθῆναι. τὴν μὲν γὰρ, χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι, ἤπου δὴ ἐν πολεμίᾳ τε, καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων. φρούριον δ᾽ εἰ ποιήσονται, τῆς μὲν γῆς βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις. οὐ μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε, καὶ κωλύειν ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων, καὶ, ᾗπερ ἰσχύομεν, ταῖς ναυσὶν ἀμύνεσθαι. πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας, ἢ ἐκεῖνοι ἐκ τοῦ κατ᾽ ἤπειρον ἐς τὰ ναυτικά. τὸ δὲ τῆς θαλάσσης ἐπιστήμονας γενέσθαι, οὐ ῥαδίως αὐτοῖς προσγενήσεται. οὐδὲ γὰρ ὑμεῖς, μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν, ἐξείργασθέ πω. πῶς δὴ ἄνδρες γεωργοὶ, καὶ οὐ θαλάσσιοι, καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι, διὰ τὸ ὑφ᾽ ἡμῶν πολλαῖς ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἄν τι δρῷεν; πρὸς μὲν γὰρ ὀλίγας ναῦς ἐφορμούσας κἂν διακινδυνεύσειαν, πλήθει τὴν ἀμαθίαν θρασύνοντες· πολλαῖς δὲ εἰργόμενοι, ἡσυχάσουσι· καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται, καὶ δι᾽ αὐτὸ καὶ ὀκνηρότεροι. τὸ δὲ ναυτικὸν, τέχνης ἐστὶν, ὥσπερ καὶ ἄλλο

Τὴν μὲν—] Sc. ἐπιτείχισιν, *quod attinet ad munitionem*, (sunt absoluti accusativi) *difficile etiam est, urbem æque opibus parem atque aliam tempore pacis instruere.* Heilmanus ἀντίπαλον refert ad ἐπιτείχισιν, propter τὸ παρασκευάσασθαι. Quod non probandum, nulla certe durior posset esse structura. Πόλις ἀντίπαλος est urbs, quæ pares habet opes ac alia; quam Ithomam Reiskius esse credit in anim. p. 17. Idem Reiskius l. c. legit pro τὴν, ἥν. G.

Ἀντεπιτετειχισμένων] Reiskius in anim. legit ἀντεπιτετειχισομένων in paullo post futuro. Sed nil opus est correctione. Præteritum enim posuit pro futuro, quam enallagen notat Baver. in diss. p. 25. quanquam etiam idem monet, Nostrum rem futuram ut præsentem intueri. G.

Ἐκ τοῦ ναυτικοῦ] Reiskius in anim. p. 17. corrigit: τῆς τοῦ ναυτικοῦ. Doctus anon. in Flor. Vinar. ἐκ τῆς τοῦ ναυτικοῦ. Gottl.

Οὐδὲ μελετῆσαι] Supra c. 121. dicunt Peloponnesii: se μελετήσειν τὰ ναυτικὰ, cf. c. 80. Sed substiterunt in solo proposito μελέτης. cf. L. II. 87. ubi Lacedæmonii: καί που τὶ καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. Ad hæc respexit Pericles paullo ante τὸ δὲ τῆς θαλάσσης—etc. Contulit jam Abreschius hæc loca in Auct. p. 262, G.

Ἐασόμενοι] Passive sumendum, ut monuit Abresch. Dil. 152. G.

Ἐν τῷ μὴ μελετῶντι] Sententiam Scholiastæ, participium hic pro infinitivo poni existimantis, probat H. Stephan. Append, ad Joann. Gramm. et Corinth. de Dialectis pag. 164. Ναῦς, quod vers. præcedenti abest a Reg. et Cass., merito suspectum esse potest. Duck.

Sc. τῆς θαλάσσης ἐπιστήμονες γενέσθαι. Baver. edidit, ἐν τῷ μελετῶντι, quod τὸ μὴ sit contra rem ipsam, cum Corinthii et socii vellent μελετᾷν τὰ ναυτικὰ, neque id negatum ivisset Pericles. Sed μὴ omnes codd. tuentur, et contextis convenit. Μελετῶντι recte capit pro μελετᾷν. Secus est in partic. quibus additur genitivus, quod per se intelligitur v. c. L. III. 10. ἐν τῷ διαλλάσσοντι τῆς γνώμης. Plura exempla vide in Diluc. Abresch. p. 152. G.

Si retinendum μὴ, ex auctoritate Libb. tunc ἐν notabit διὰ τὸ μὴ μελετᾷν, quia non meditantur. Sed, ut dixi, res ipsa adversatur. Baver.

Ἀξυνετώτεροι] n. in rebus nauticis quam nos. G.

Ὀκνηρότεροι] Sc. ἐς αὐτὰ, n. ναυτικά. Sic L. IV. 55. ἐς τὰ πολεμικὰ—ὀκνηρότεροι γενόμενοι. v. Abresch. Auct. p. 262. G.

τι, καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι.

ρμγ΄. 143. "Εἴτε καὶ, κινήσαντες τῶν Ολυμπιάσιν ἢ Δελφοῖς χρημάτων, μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων, ἐσβάντων αὐτῶν τε καὶ τῶν μετοίκων, δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει, καὶ (ὅπερ κράτιστον) κυβερνήτας ἔχομεν πολίτας, καὶ τὴν ἄλλην ὑπηρεσίαν, πλείους καὶ ἀμείνους ἢ ἅπασα ἡ ἄλλη Ελλάς. καὶ ἐπὶ τῷ κινδύνῳ οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὑτοῦ φεύγειν, καὶ μετὰ τῆς ἥσσονος ἅμα ἐλπίδος, ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως, ἐκείνοις ξυναγωνίζεσθαι. καὶ τὰ μὲν Πελοποννησίων ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δοκεῖ εἶναι· τὰ δὲ ἡμέτερα, τούτων τε ὧνπερ ἐκείνοις ἐμεμψάμην, ἀπηλλάχθαι, καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔχειν. ἤν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν ἐκείνων πλευσούμεθα. καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσται, Πελοποννήσου τε μέρος τὶ τμηθῆναι, καὶ τὴν Αττικὴν ἅπασαν. οἱ μὲν γὰρ οὐχ ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί· ἡμῖν δέ ἐστι γῆ πολλὴ, καὶ ἐν νήσοις, καὶ κατ' ἤπειρον. μέγα γὰρ τὸ τῆς θαλάσσης κράτος. σκέψασθε δέ· εἰ γὰρ ἦμεν

Ὅταν τύχῃ, ἐκ παρέργου] Nihil magis eleganter, nihil magis significanter ad eandem rem exprimendam dici potuisse arbitror: quum non contentus dixisse ἐκ παρέργου, addat et alterum illud loquendi genus minus usitatum, in eodem tamen vocabulo insistens: sed aut fallor, aut scripsit, ὅταν τύχῃ, καὶ ἐκ παρέργου. Steph. Ὡς ἂν τύχῃ ταῦτα ἐκ π. μ. Aristides pro Rhet. p. 183. Ed. Canterian. Wass.

Ὅταν τύχῃ] *Utcunque, non data opera.* Ἐκ παρέργου, per ἐπεξήγησιν additur. Non opus esse puto, cum Stephano inseri *καί*. G.

Εἴτε καὶ] *Etsi vel—s. quodsi vel*—Respondet Pericles ad ea, quæ Corinthii supra dixerant, c. 121. ναυτικὸν—ἐξαρτυσόμεθα, καὶ ἀπὸ τῶν ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ χρημάτων. vid. Abresch. Dil. p. 152. Doctus anonymus in Flor. Vin. εἰ δέ. G.

Ὀλυμπιάσιν] Dictum est ut Πλαταιᾶσιν, s. Πλαταιάσιν. vid. supra. G.

Ἀντιπάλων] Sc. ἐκείνοις. G.

Νῦν δὲ τόδε τε ὑπάρχει] Sc. τὸ εἶναι ἡμᾶς ἀντιπάλους, *ut nos iis sine sociorum auxilio pares simus.* Gottl.

Τὴν ἄλλην ὑπηρεσίαν] *Et reliquos socios navales.* Mox pro πᾶσα recepi ἅπασα. Plus valet ἅπας quam πᾶς, et proprie est, citra exceptionem *omnis.* Abresch. Auct 263. citabat Plat. Tim. p. 531. ἵνα τὸ πᾶν ὄντως ἅπαν ᾖ. G.

Πᾶσα] Ἅπασα Ar. C. quomodo sæpissime alibi. Hippocrates, Herodotus passim, et sic forte apud eum ex Ms. Ἁ legendum III. 14. Plato, D. Halic. ἁ, hic ἀθροιστικὸν, significationem intendit. Wass.

Τοιαῦτα καὶ παραπλήσια] Supra c. 140. ὅμοια καὶ παραπλήσια. Mox in τοιαῦτα sup. δοκεῖ. G.

Ὧνπερ ἐκείνοις] Delevi παρ', quod uncinis inclusum vulgo ante ἐκείνοις legebatur, sed abest ab optimis codd. A vicino ὧνπερ videtur παρ' ortum. Abresch. in Auct. p. 262. genio linguæ quidem non adversari credit, si dicatur τοῦτο ἐμεμψάμην ἐν aut παρά σοι· nullum tamen exemplum hujus duritiei protulit. Ceterum ὧνπερ non ab ἐμεμψάμην, sed a τούτων pendet; alioquin dicturus erat Thucydides ἅπερ— Gottl.

Ὧν—ἐκείνοις ἐμεμψ.] Si ἐκείνοις ad ἐμεμψάμην pertinet: tamen erit pro παρ' αὐτοῖς, ἐν αὐτοῖς, scil. εἶναι. Bauer.

Πεζῇ] Quidam πεζοί. Sed Noster numquam ita loquitur. Wass.

Θαλάσσης] Nonnulli θαλάττης. Ita vix

νησιῶται, τίνες ἂν ἀληπτότεροι ἦσαν; καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας, τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελοποννησίοις, ὑπὲρ αὐτῶν ὀργισθέντας, πολλῷ πλείοσι μὴ διαμάχεσθαι. (κρατήσαντές τε γὰρ, αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα, καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων, ὅθεν ἰσχύομεν, προσαπόλλυται. οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρατεύειν.) τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄνδρες ταῦτα κτῶνται. καὶ εἰ ᾤμην πείσειν, ὑμᾶς αὐτοὺς ἂν ἐξελθόντας ἐκέλευον αὐτὰ δῃῶσαι, καὶ δεῖξαι Πελοποννησίοις, ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε.

ρμδ'. 144. "Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες, καὶ κινδύνους αὐθαιρέτους μὴ προστίθεσθαι. μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας, ἢ τὰς τῶν ἐναντίων διανοίας. ἀλλ' ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τούτοις ἀποκρινάμενοι, ἀποπέμψωμεν, Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ λιμέσι χρῆσθαι,

Noster, neque Tragici veteres. Wass. Vid. sup. 89. Duck.

Μὴ ἱκανῶν] Μὴ οὐχ ἱκανῶν Cl. eleganter. vid. 6. 14. 43. 13. Wass.

Ὀλόφυρσιν] Huc fortassis pertinet, quod adnotat Dionys. Halicarn. Περὶ τῶν Θουκυδ. ἰδιωμάτων p. 134. Thucydidem pro verbis nomina ponere, ut ὀλόφυρσιν pro ἀπολοφύρασθαι. Duck.

Ὀλόφυρσιν — ποιεῖσθαι] Duckerus notat, Dionys. περὶ τῶν Θουκ. ἰδιωμ. p. 796. intendere hunc locum; sed Abreschio videtur spectare Dionysius ad L. II. 51. Equidem cum Duckero facio. Dionysius tradit l. c. Thucydidem τὸ ὀλοφύρασθαι ὀνομαστικῶς ἐσχηματικέναι, i. e. verbum in nomen commutasse, vel nomine expressisse, n. per ὀλόφυρσιν ποιεῖσθαι, quod idem est ac ὀλοφύρασθαι, ut pro σπεύδειν dicitur, σπουδὴν ποιεῖσθαι. G.

Πείσειν ὑμᾶς αὐτοὺς] Quidam codd. nullam habent interpunctionem post πείσειν, non male, ut Stephanus quoque putavit. G.

Ἢν ἐθέλητε ἀρχὴν μὴ ἐπικτᾶσθαι] Docto anonymo in Flor. Vinar. videbatur delenda negatio. G.

Καὶ κινδύνους — προστίθεσθαι] *periculisque vos ultro objicere.* Homerus hoc effert: κεφαλὰς παρατίθεσθαι, Odyss. β'. 237. Virgil. Æn. II. 757. *caput objectare periclis.* Interpres Latinus parum accurate: *et pericula voluntaria addere nolitis:* quod est προστιθέναι, ut scite notat Heilmanus, qui vertit: *und euch nicht eigenwilligerweise Händel zuziehen wollet.* cf. L. I. 78. οἰκεῖον πόνον πρόσθησθε. Προστίθεσθαι est *adsciscere.* cf. Abresch. Diluc. L. II. 36. p. 191. Gottl.

Τούτοις ἀποκρινάμενοι] Hudsonus ad particulam adnotationis Stephani in Var. Lect. transcriptam in Notis hæc ejusdem addidit: Alius certe ita verba collocasset, νῦν δὲ τούτους ἀποπέμψωμεν, ἀποκρινάμενοι, Μεγαρέας μὲν etc. Sed nostrum hunc Scriptorem eodem dixisse modo videmus in iis, quæ concioni Archidami proxime subjungit pag. 91. Τοσόνδε εἰπὼν ἐπορεύετο, ὅτι ἥδε ἡ ἡμέρα etc. ab alio enim hic itidem aliter collocata verba fuissent: hoc videlicet modo, ἐπορεύετο, τοσόνδε εἰπὼν, ὅτι ἥδε ἡ ἡμ. Steph.

Μεγαρέας μὲν ὅτι—] Prop. ὅτι ἐάσομεν τοὺς Μεγαρέας χρῆσθαι etc. Trajectionem τοῦ ὅτι notarunt jam Stephanus et Abresch. Diluc. p. 154. qui exempla collegit præsertim in dictione εὖ οἶδ' ὅτι. G.

Μεγαρέας μὲν] Recte et oratorie præmisit hunc accusativum, quia præcipua caussa

ἣν καὶ Λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι, μήτε ἡμῶν, μήτε τῶν ἡμετέρων ξυμμάχων. οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπονδαῖς, οὔτε τόδε. τὰς δὲ πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα, καὶ ὅταν κἀκεῖνοι ταῖς ἑαυτῶν ἀποδῶσι πόλεσι, μὴ σφίσι (τοῖς Λακεδαιμονίοις) ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλὰ αὐτοῖς ἑκάστοις, ὡς βούλονται. δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας. πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι. εἰδέναι δὲ χρὴ, ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἑκούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναντίους ἕξομεν· ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ μέγισται τιμαὶ περιγίγνονται. οἱ γοῦν πατέρες ἡμῶν, ὑποστάντες Μήδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι, ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλείποντες, γνώμῃ τε πλείονι ἢ τύχῃ, καὶ τόλμῃ μείζονι ἢ δυνάμει, τόν τε βάρβαρον ἀπεώσαντο, καὶ ἐς τάδε προήγαγον αὐτά. ὧν οὐ χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι, καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι."

hæc erat, de qua ageretur; quasi sit; quod (primam controversiam) attinet de Megarensibus. BAVER.

Ξενηλασίας] De ξενηλασία Lacedæmoniorum multa congesserunt Meurs. II. Miscellan. Laconic. 9. et Crag. de Republ. Lacedæm. III. 3. Sed hic parum recte ex hoc loco Thucydidis scribit, Periclem mittendos censuisse legatos ad Lacedæmonios, petituros inter alia, ne Atheniensibus, sociisque, ac peregrinis aliis usu suæ urbis interdicerunt. Locus Dionys. Halic. ad p. 146. 1. a Stephano indicatus est d. pag. 134. De usu activorum pro passivis Stephan. Animadvers. ad Joann. Grammatic. de Dialectis artic. XXXI. DUCK.

Ξενηλασίας] Præter ea, quæ Duckerus monuit, huc faciunt Xenoph. de Rep. Lac. 14. p. 48. Zeun. Plut. in Lyc. 27. p. 223. it. in Inst. Lac. T. VI. p. 88. Wessel. ad Petit. legg. Att. p. 678. Schol. ad Thuc. I. 77. Cic. Off. III. 11. G.

Οὔτε γὰρ κωλύει—] Pro κωλύεται, ut notat Dionys. Epist. II. ad Amm. p. 97. apud quem præpositio ἐν deest. Itaque non opus est correctione Reiskii in anim. p. 17. legentis: κωλύεσθαι ἐν ταῖς σπονδαῖς, aut κωλύσειν τὰς σπονδάς. Locus Dionysii probat, hanc lectionem esse antiquissimam et probam. Abresch. in auctar. p. 263. resolvit κωλύει, per κώλυμα, l. ἐμπόδιόν ἐστι ταῖς aut ἐν σπονδαῖς, *nihil obstat*, impedit, obest fœderibus. Scribere quoque Nostrum: οὔτε ἐκεῖνο κωλύει πρὸς τὰς σπονδὰς, i. e. πρὸς τὸ εἶναι τὰς σπονδὰς, quo minus sint fœdera. GOTTL.

Τοῖς Λακεδαιμονίοις] In cod. Aug. ad h. l. notatum ὀλιγαρχικῶς. v. L. IV. 126. Schol. Bas. τὸ Λακεδαιμονίοις insititium habet e margine. Sed mera est conjectura, quæ nulla codd. auctoritate suffulcitur. Sed delet Valk. ad Herod. V. 424. GOTTL.

Ἀρχομένους] Reisk. in anim. p. 17. conjicit, ἄρχοντας. G.

Sane ἄρχειν frequentius dicitur de eo, qui primus lædat; unde, ἄρχειν χειρῶν ἀδίκων. Sed tamen ἄρχεσθαι est, *incipere*; et sæpe noster, ἄρχεσθαι πολέμου, de inferente bellum. BAVER.

Ἔκ τε τῶν μεγίστων κινδύνων—τιμαὶ περιγίγνονται] *Restant*, i. e. *sequuntur, excipiunt nos*— Supra c. 141. paullo aliter: ἐκ τῶν κινδύνων περιγίγνεσθαι, *evadere*. G.

Ὑποστάντες Μήδους] v. hujus libri c. 89. G.

Οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι] *Minoribus opibus, potentia orsi sunt*. De forma ὁρμᾶσθαι ἀπὸ τοῦ— v. Gloss. G.

Ἐκλείποντες] Hoc efficacius quam ἐκλιπόντες. WASS.

ρμέ. 145. Ο μὲν Περικλῆς τοιαῦτα εἶπεν. οἱ δ᾽ Αθηναῖοι, νομίσαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν, ἐψηφίσαντο ἃ ἐκέλευε. καὶ τοῖς τε Λακεδαιμονίοις ἀπεκρίναντο, τῇ ἐκείνου γνώμῃ, καθ᾽ ἕκαστά τε ὡς ἔφρασε, καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἕτοιμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων, ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ᾽ οἴκου, καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο.

ρμστ΄. 146. Αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Επιδάμνῳ καὶ Κερκύρᾳ· ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς, καὶ παρ᾽ ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ. σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν, καὶ πρόφασις τοῦ πολεμεῖν.

Τὸ ξύμπαν] In Aug. cod. explicatur: τὸ κεφάλαιον. G.

Ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ] Supra c. 27. ἐκήρυσσον, ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βουλόμενον ἰέναι. It. V. 79. Supra ad c. 27. monuimus, Callim. H. in Jov. v. 63. hunc locum imitatum esse. GOTTL.

Αἰτίαι δέ] Δὴ præfert Stephanus. Ita loquitur Dion. Halic. WASS.

Ἐπεμίγνυντο] Suidas in ἀκηρυκτεὶ, ἐμίγνυντο. male. WASS.

Ἐπεμίγνυντο ἐν αὐταῖς] Sc. διαφοραῖς, *in his discordiis re et ratione inter se conjuncti erant, negotiorum inter eos erat frequentia.* cf. L. I. 2. τῆς ἐμπορίας οὐκ οὔσης, οὐδ᾽ ἐπιμιγνύντες ἀλλήλοις— cf. II. 1. G.

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

EPITOME LIBRI II.

Thebani, qui noctu per proditionem occupaverant Platæam, ab oppidanis partim occisi, partim capti sunt. Cap. VI. Quo facto, ruptis aperte fœderibus, utrimque ab Atheniensibus et Peloponnesiis summa vi bellum parari cœptum est. Cum priores Peloponnesii, duce Archidamo rege Lacedæmoniorum, Atticam invasissent: Pericles, Athenienses ad bellum sustinendum exhortatus, inter cætera reipublicæ agros suos donavit, rogavitque Athenienses, si forte eos non læderet hostis, uti ob eam rem nullam de ipso conciperent suspicionem. XIII. Peloponnesii Acharnas usque populabundi pervenerunt, magna cum indignatione plebis in Periclem, exire contra hostes prohibentem. XXII. Atheniensium equites in Phrygiis fugati sunt. Ipsi cum in aciem non prodirent, Peloponnesii domum reverterunt. XXIII. Æginetis, ab Atheniensibus pulsis, Lacedæmonii agros dederunt. XXVII. Sol defecit. XXVIII. Athenienses societatem cum Sitalce Thraciæ rege junxerunt. XXIX. Ea hyeme exequias bello cæsis fecerunt: quos Pericles princeps civitatis laudavit. XXXIV. Sequente anno Peloponnesii iterum Atticam ingressi, posteaquam sævissima Athenas pestis invasit; ipsi perpopulato omni agro domum se receperunt. XLVII. LVII. Legatos Peloponnesiorum, ad Persarum euntes regem, Athenienses in Thracia interceptos necarunt. LXVII. Potidææ ad hæc deditio et Platææ oppugnatio describuntur. LXX. LXXV.

ΘΟΥΚΥΔΙΔΟΥ ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

ΑΡΧΕΤΑΙ δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πελοποννησίων, καὶ τῶν ἑκατέροις ξυμμάχων· (ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους, καταστάντες τε ξυνεχῶς ἐπολέμουν.) γέγραπται δὲ ἑξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ χειμῶνα.

"ΑΡΧΕΤΑΙ δὲ etc.] Quo anno cœptum hoc bellum, vide A. Gellium, l. 17. c. 21. et Meursium de Archont. Athen. p. 200. Huds. Lucianus Pseudom. pag. 752. illa ἄρχεται ὁ πόλεμος ἐνθένδεν ἤδη, quasi proverbii specie transfert ad narrandum principium doli, inter Cocconam et Alexandrum Pseudomantin compositi. Duck.

Cœptum est geri hoc bellum, auctore Gellio, (L. XVII. 21. N. A.) anno V. C. CCCXXIII., sub dictatore Aulo Posthumio Tuberto; de quo fit mentio apud Liv. IV. 26. Olymp. LXXXVII. Archonte Pythodoro, et Ænesia, Ephoro Spartæ A. M. MMMDLXXIII. tempore Artaxerxis Longimani et Darii Nothi. cf. Dodwell. Ann. Thuc. p. 61. et quos laudavit Duck. ad c. 2. Gottl.

Ἐν ᾧ] Recte expl. Schol. ἐξ οὗ. sign. enim verum initium belli, sin minus aperti, at turgentis et jam certi ac propediem erupturi, et tantum non moti. Bauer.

Ἀκηρυκτεὶ] *Sine præcone, qui belli index erat.* Paullo ante c. 146. sup. libri, ἀκηρύκτως. Scribitur autem ἀκηρυκτεὶ, ad rationem ἀνατεὶ, i. e. ἄνευ ἄτης, quod et scribitur ἀνατὶ apud Sophocl. in Antig., ut auctor est Scholiast. Eurip. Med. v. 1357. Illud rectius videtur, ut supra c. 143. ἀμαχεί. Sic ἀκλαυτεὶ apud Callim. H. in Dian. v. 267. Scholiastes ad L. I. 29. docet: Κήρυξ ἐν πολέμῳ, πρέσβεις ἐν εἰρήνῃ. Dicuntur loco laudato Corinthii κήρυκα præmisisse, προερροῦντα πόλεμον Κερκυραίοις. cf L. III. 52. G.

Conformatum est, ut αὐτοβοεὶ, πανδημεὶ, alia; quæ tamen de verbis efficta solemnius in (ι) desinant. De *belli* indice præcone quæ notat B. Gottl. et nota sunt, et ex parte falsa; quippe et in pace, dissidiis ortis, sed bello nondum moto, præcones miserunt, ut I. 29. et Pausaniæ præconem misere Spartani; et aliena sunt ab h. l. certe nil explicant, cur hic non commearint ἀκηρυκτεὶ, sine præcone. Nam, si *non sine* præcone belli indice, bellum scilicet erat; quod negat Thuc. Sed sensus est, præcone nondum utebantur commeantes, quia nimirum comite opus esset in bello, ut inviolati venirent et abirent, ut ostenderent, se non infestos venire, sed amice, et in caussa a bello segregata: pacis ergo magis index præco, quo nondum uterentur, ut bello nondum commoto velut aperto et certo; sed libere, ut inter pacatos, commeabant, nil egentes præconis, ut etiamnum tuti ab injuria belli nondum denuntiati. cf. I. 53. init. ἄνευ κηρυκείου. Ceterum dissonant ἀκηρυκτεὶ et ἀκηρύκτως· illud jam explicatum dedi; hoc sign. bellum internecinum, implacabile, ubi ne pacificationi quidem locus relictus sit: hinc jungitur, πόλεμος ἀκήρυκτος καὶ ἄσπονδος, vel inverse. Bauer.

Καταστάντες—ἐπολέμουν] i. e. κατέστησαν εἰς πόλεμον ξυνεχῶς, *sine ulla intermissione.* Sic Paus. Eliac. I. p. 443. Plene sic scribere poterat: καταστάντες ἐς πόλεμον, ξυνεχῶς ἐπολέμουν αὐτόν. *Semel bello cum fuissent impliciti, nihil remittentes illud gessere.* v. Abresch. Diluc. p. 157. G.

Possis etiam vertere: initio semel facto, bello indicto et certo: ut c. 2. καθεστῶτος φανερῶς τοῦ πολέμου. Bauer.

Κατὰ θέρος καὶ χειμῶνα] Nomine θέρους comprehendit ver et æstatem, χειμῶνος au-

β΄. 2. Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαὶ, αἳ ἐγένοντο μετ᾽ Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης, καὶ Αἰνησίου Ἐφόρου ἐν Σπάρτῃ, καὶ Πυθοδώρου ἔτι δύο μῆνας Ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτιδαίᾳ μάχην, μηνὶ ἕκτῳ, καὶ ἅμα ἦρι ἀρχομένῳ, Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων (ἡγοῦντο δὲ αὐτῶν Βοιωταρχοῦντες, Πυθάγγελός τε ὁ Φυλίδου, καὶ Διέμπορος ὁ Ὀνητορίδου) ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων ξυμμαχίδα. ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας Πλαταιέων ἄνδρες, Ναυκλείδης τε καὶ οἱ μετ᾽ αὐτοῦ βουλόμενοι, ἰδίας ἕνεκα δυνάμεως,

tumnum et hiemem. Petav. X. de Doctrin. Temp. 28. Sic et alii Græci pariter ac Latini Scriptores annum in duas partes tribuunt. Vid. Serv. et Cerd. ad Virgil. III. Georg. 296. et Gronov. III. Observ. 14. Duck.

Κατὰ θέρος] Notum est, veteres hoc nomine complexos esse ver et æstatem, ut hieme, auctumnum. Sed locus Virg. Georg. III. 296. a Duckero adlatus, nihil probat. Ver enim non intelligitur verbis: "dum—frondosa reducitur *æstas*," ut volunt Servius et Cerda; sed *æstas*, qua cœli constantia ea est, ut oves in silvis et saltibus sub dio agere possint; ut explicat Illustris Heynius ad l. c. Gottl.

Ita per omnem historiam Thuc. dividit annos belli sui in θέρος et χειμῶνα, diligenter addens: καὶ τὸ θέρος ἐτελεύτα· καὶ ὁ χειμὼν ἐτελεύτα οὕτως· l. Ita hiemi auctumnum jungit Ovid. Fast. I. 459. 460.

Postera lux (a. d. v. Id. Jan.) *hiemem medio discrimine signat;*

Æquaque præteritæ, quæ superabit, erit. Quæ neque intelligi possint, nec vera constare, nisi initio facto a medio Octobri, id est autumni initio. Baver.

Ἐνέμειναν—σπονδαὶ] i. e. διέμειναν, *durarunt*. Abresch. in Diluc. l. c. videtur urgere præpositionem ἐν in verbo, ut solet. In loco Xenoph., Cyr. I. 2. 16. ab Abresch. laudato, ἐμμένει μαρτυρία καὶ τῆς μετρίας διαίτης, vis διαμένει quoque locum habet. G.

Ἐπὶ Χρυσίδος] Memorat hanc rursus Lib. IV. in fin. Apud nonnullos Scriptores perperam est Χρυσηΐς, pro Χρυσίς. Vid. Leopard. VI. Emendat. 11. De more Argivorum annos per Sacerdotes computandi, quem hic tangit Schol., multa habent, quos in Notis ad eum laudat Hudsonus. De characteribus temporis, ad quod initium hujus belli adligat Thucydides, consulendi sunt Scalig. V. de Emend. Temp. p. 410. Petav. X. de Doctrin. Temp. 28. Selden. in Apparat. Chronolog. ad Veter. Græcorum Epochas p. 238. Marmor. Arundell. Edit. Oxon. et Petit. IV. Eclog. Chronolog. 12. Porro Salmasium, in Exercit. Plin. p. 111. Ed. Traj. scribentem Græcos numquam dicere Ἄρχοντος τοῦ δεῖνα sine præpositione, sed semper cum præpositione ἐπὶ, recte reprehendit Petav. Exercitat. Miscellan. Cap. VII. Duck.

Ἐπὶ Χρυσίδος] *Sub Chrysidis sacerdotio*, s. *tempore Chrysidis, anno duodequinquagesimo ejus sacerdotii.* De usu hujus præpos. v. Gloss. Hunc morem Argivorum, quem attingit Schol., pluribus explicavit Vales. in not. ad Exc. Polyb. T. III. p. 161. Ernestin. Sacerdotes Junonis Argivæ vocabantur Ἡρεσίδες ut Palladis Argivæ, *Acestorides*. v. Spanh. ad Callim. Lav. Pall. v. 34. Sub Chryside, templum Junonis, anno hujus belli nono, conflagravit. G.

Ἦρι] Totum tempus comprehendit ἀπὸ ἰσημερίης, μέχρι πλειάδων ἐπιτολῆς. Wass.

Θηβαίων—τριακοσίων, et ἐσῆλθον—ξυμμαχίδα.] Theon. Progymn. Cap. IV. ubi male συμμαχίδα, cum nostro Diodor. p. 308. a. Wass.

Θηβαίων—ὀλίγῳ πλείους τριακοσίων] Diod. L. XII. p. 505. Wessel. de eadem re: Τῶν Βοιωτῶν ἀποστειλάντων στρατιώτας ἐπιλέκτους τριακοσίους νυκτός. Rem breviter narrat Demosth. κατὰ Νεαίρας, p. 1378. Reisk. Æn. Polior. p. 400. G.

Ἀνέῳξαν—ἄνδρες] T. Magister in ἀνέῳγεν. Confer omnino Demosthenem in Neæram p. 531. Wass. Mox ἔσοιτο, quod est in om-

ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι, καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου τοῦ Λεοντιάδου, ἀνδρὸς Θηβαίων δυνατωτάτου. προϊδόντες γὰρ οἱ Θηβαῖοι, ὅτι ἔσοιτο ὁ πόλεμος, ἠβούλοντο τὴν Πλάταιαν, ἀεὶ σφίσι διάφορον οὖσαν, ἔτι ἐν εἰρήνῃ τε, καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος, προκαταλαβεῖν. ᾗ καὶ ῥᾷον ἔλαθον ἐσελθόντες, φυλακῆς οὐ προκαθεστηκυίας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα, τοῖς μὲν ἐπαγομένοις οὐκ ἐπείθοντο, ὥστ' εὐθὺς ἔργου ἔχεσθαι, καὶ ἰέναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν· γνώμην δὲ ἐποιοῦντο, κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις, καὶ ἐς ξύμβασιν μᾶλλον καὶ φιλίαν τὴν πόλιν ἀγαγεῖν· (καὶ ἀνεῖπεν ὁ κήρυξ, εἴτις βούλεται κατὰ τὰ πάτρια τῶν πάντων Βοιωτῶν ξυμμαχεῖν, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα)

nibus aliis Mss. et Edit., habet etiam Theon. p. 52. Duck.

Ἀνέῳξαν τὰς πύλας—Ναυκλείδης] Demosth. l. c. ἀνοιξάντων τὰς πύλας τῆς νυκτὸς Ναυκλείδου, καὶ ἄλλων τινῶν μετ' αὐτῶν. Gottl.

Καὶ προσποιῆσαι] Ὑποτάττειν exponit Thom. Mag. in προσποιοῦμαι. Non necessaria hic est illa significatio τοῦ προσποιῆσαι. Duck.

Προσποιῆσαι] i. e. ὑποτάττειν, ut Thom. M. explicat, non probante Duckero hanc interpretationem. Sed Diod. XII. p. 505. confirmat Thomæ rationem: Ἐπαγγελλόμενοι τὴν πόλιν ὑπὸ τὴν τῶν Θηβαίων τάξειν συντέλειαν— Gottl.

Ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου] Demosth. l. c. ἔπραξε δὲ ταῦτα ἐκ Θηβῶν δι' Εὐρυμάχου τοῦ Λεοντιάδου Βοιωταρχοῦντος—G.

Θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα] Male vertitur, *armis in foro positis*, cum hostilem urbem invaserunt. Sic potius reddi debet, *cum armati in foro constitissent*, aut *castra posuissent*. Nec rectius Scholiastes, qui interpretatur περιτιθέμενοι, id est, *arma induti*: nam iis jam induti erant. Male quoque vertitur τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα, *apud ipsos arma ponere*, melius quidem Scholiastes, σὺν αὐτοῖς ὁπλίζεσθαι. Sic et Thucyd. l. 8. p. 520. καὶ θέμενοι τὰ ὅπλα, ἐξεκκλησίασαν, id est, *armis instructi et ordine collocati concionem habuerunt*; imminebat enim hostis. Phrasis hæc, τίθεσθαι τὰ ὅπλα, verbatim significat *ponere arma*; nonnulli sumi posse putant, pro ὅπλα κατατίθεσθαι vel ἀποτίθεσθαι, quam expositionem probare videtur Scholiastes, p. 240. 481. 521. mihi nondum locus occurrit, in quo ita proprie sumi credam, nisi qui armati consistunt, nec tamen reipsa pugnant, proprie arma dicuntur abjicere. Observandum autem, verba hæc quatuor modis usurpari: 1. pro τάττειν vel τάττεσθαι, ut in loco Thucydidis jam citato: 2. pro στρατοπεδεύεσθαι, ut in priori loco: 3. pro *castra munire*, ut apud Thucyd. p. 240. et 521. ubi Scholiastes ἔθεντο τὰ ὅπλα perperam explicare videtur ἀπέθεντο. nec auctoris mentem assequutus est Interpres, qui vertere debuit, *castra munierunt*: 4. pro πολιορκεῖν, quo sensu Thucydides lib. 8. præpositionem cum accusativo adhibuit, πρὸς αὐτὴν τὴν πόλιν τῶν Μιλησίων τὰ ὅπλα τίθενται. Vide Vigerium, c. 5. sect. 11. et Valesii notas ad Harpocr. p. 186. Huds.

I. e. στρατοπεδευσάμενοι, *quum castra in foro locassent*. v. Celeb. Valkenar. ad Herod. IX. p. 717. et Wessel., qui et ad Diod. T. I. p. 524. et T. II. p. 428. conferri potest. Aliter sumitur hæc forma paullo post. G.

Sign. cum armati in foro constitissent, *Posto gefasst hatten*. Castra enim in foro profecto non posuere, ubi nec soleant, nec possint; nec vero tam pauci unquam castra ponant; quis ita loquatur? Sed tantum instructi per ordines constitere. Aliquanto inconsultius expl. Schol. περιθέμενοι, cum se armassent. Ergone sine armis venerant, aut arma non induta attulerant? Et quomodo *in forum*; quasi forum armarint? Bauer.

Ἀνεῖπεν] Pro ἀνεβόησε, Thom. Magist. in ἀνεῖπον. vid. Aristoph. Acharn. v. XI. Wass.

Ἀνεῖπεν ὁ κήρυξ] Proclamavit, *der Herold rufte aus, machte bekannt*. G.

Τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα] Qui velit—

νομίζοντες σφίσι ῥᾳδίως τούτῳ τῷ τρόπῳ προσχωρήσειν τὴν πόλιν.

γ΄. 3. Οἱ δὲ Πλαταιῆς, ὡς ᾔσθοντο ἔνδον τε ὄντας τοὺς Θηβαίους, καὶ ἐξαπιναίως κατειλημμένην τὴν πόλιν, καταδείσαντες, καὶ νομίσαντες πολλῷ πλείους ἐσεληλυθέναι (οὐ γὰρ ἑώρων ἐν τῇ νυκτὶ) πρὸς ξύμβασιν ἐχώρησαν, καὶ τοὺς λόγους δεξάμενοι ἡσύχαζον· ἄλλως τε, καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. πράσσοντες δέ πως ταῦτα κατενόησαν οὐ πολλοὺς τοὺς Θηβαίους ὄντας, καὶ ἐνόμισαν, ἐπιθέμενοι, ῥᾳδίως κρατῆσαι. τῷ γὰρ πλήθει τῶν Πλαταιέων οὐ βουλομένῳ ἦν τῶν Ἀθηναίων ἀφίστασθαι. ἐδόκει οὖν ἐπιχειρητέα εἶναι. καὶ ξυνελέγοντο, διορύσσοντες τοὺς κοινοὺς τοίχους, παρ᾽ ἀλλήλους, ὅπως μὴ διὰ τῶν ὁδῶν φανεροὶ ὦσιν ἰόντες· ἁμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίστασαν, ἵν᾽ ἀντὶ τείχους ᾖ. καὶ

cum Bœotis eandem societatem belli sequi, arma cum ipsis conjungat. Similis locus est apud Diodorum L. XII. 66. p. 524. ἐκήρυξέ τις ἀφ᾽ ἑαυτοῦ, τοὺς βουλομένους τίθεσθαι τὰ ὅπλα μετὰ Ἀθηναίων καὶ Μεγαρέων—ubi v. Wessel. G.

Οἱ δὲ Πλαταιῆς ὡς ᾔσθοντο] Demosthenes fere ita, l. c. αἰσθόμενοι δ᾽ οἱ Πλαταιεῖς ἔνδον ὄντας τοὺς Θηβαίους τῆς νυκτὸς καὶ ἐξαπίνης αὐτῶν τὴν πόλιν ἐν εἰρήνῃ κατειλημμένην, προσεβοήθουν καὶ αὐτοὶ, καὶ συνετάττοντο—G.

Τοὺς] Non agnoscunt quidam Mss. vid. p. 78. 8. et 226. 13. Wass.

Θηβαίους] Ita Mss. et Θήβη, non Θέβη, ut in numis Cl. Wheleri ἀρχαϊκῶς. Idem. Vid. supr. ad Lib. I. Cap. X. Conjectura Stephani, pro κρατῆσαι legentis κρατήσειν, confirmatur auctoritate Æneæ in Tactico Cap. II. ubi in pauca contrahit narrationem Thucydidis. Duck.

Οὐ πολλοὺς ὄντας] Demosthenes l. c. καὶ ἐπειδὴ ἡμέρα ἐγίγνετο (Noster paullo post accuratius: φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περίορθρον) καὶ εἶδον οὐ πολλοὺς ὄντας τοὺς Θηβαίους—καὶ ἔγνωσαν, ὅτι οὐ πάντες πάρεισιν, ἐπιτίθενται, καὶ εἰς μάχην ἐλθόντες κρατοῦσι. Taylorus in Adnot. ad h. l. (Vol. II. app. crit. p. 1034.) male locum Thuc. L. II. 72. exscripsit, tanquam respexerit ad eum Demosthenes. G.

Ῥᾳδίως κρατῆσαι] Conjecturam Stephani, legentis κρατήσειν, confirmare videtur Æneas, (Comm. Pol. p. 400.) Nostrum ante oculos habens: κατανοήσαντες οὐ πολλοὺς αὐτοὺς ὄντας—ἐνόμισαν, ἐπιθέμενοι ῥᾳδίως κρατήσειν. Sed codd. non addicentibus, vulgata bene defendi potest, si subintelligatur ἄν. Sic L. V. 22. οὐκ ἔφασαν δέξασθαι. Quæ particula tamen non necessaria videtur, cum aoristi vim futuri habeant, ut γενέσθαι pro γενήσεσθαι, βουλεύσασθαι pro βουλεύσεσθαι, etc. Ita supra L. I. c. 140. ὑπακούσαντες pro ὑπακούσοντες defendi potest. v. Abresch. Diluc. p. 158. et Auctar. p. 264. G.

Τῷ γὰρ πλήθει—οὐ βουλομένῳ ἦν—] Sallustius in Jug. c. 84. imitatus est hanc Atticam constructionem: "quia neque *plebi* militia *volenti* putabatur," pro plebi volens—vid. Cort. ad l. c., qui h. locum Thuc. laudavit. G.

Τῷ γ. πλ. οὐ βουλ.] Nescio, quid ita gestiant *Viri docti omnia* ad Atticismum referre; immo Herodoti est, neque infrequens illi. Neque in Sallustii verbis, a B. Gottl. allatis, *militia plebi volenti* est pro *volens*, quis enim sic loquitur, ut *volens* sit passive, pro grato, accepto? Immo vis latet in εἶναι, volenti *esse*, i. e. γίνεσθαι, fieri, accidere, offerri. Bauer.

Ἁμάξας—ἐς τὰς ὁδοὺς καθίστασαν] Æn. l. c. sic: τὰς μὲν διόδους καὶ τὰς ῥύμας ἐτύφλωσαν ἁμάξαις ἄνευ ὑποζυγίων. Gottl.

Ἵν᾽ ἀντὶ τείχους ᾖ.] Post ἁμάξας sequi debebat pluralis ὦσι, quum tamen sequatur ᾖ. Aut igitur extrinsecus assumendum τοῦτο, ut non aliter intelligamus, quam si dictum esset ἵν᾽ ἀντὶ τείχους τοῦτο ᾖ (vel ἵνα τοῦτο ἀντὶ τείχους ᾖ) aut quemadmodum alibi post νόσος subjungit, quod neutro νόσημα subjungere oportebat, ita hic in fœminino ἁμάξας simul etiam respici ad neutrum ἅρματα dicendum est. Sed illud, quam hoc, potius dixerim. Cæterum locus ille, ubi eum posito fœminino νόσος vocem neutrius generis

τἄλλα ἐξήρτυον, ᾗ ἕκαστον ἐφαίνετο πρὸς τὰ παρόντα ξύμφορον ἔσεσθαι. ἐπεὶ δὲ, ὡς ἐκ τῶν δυνατῶν, ἕτοιμα ἦν, φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περίορθρον, ἐχώρουν ἐκ τῶν οἰκιῶν ἐπ' αὐτούς· ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προσφέρωνται, καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες, ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας τῆς κατὰ τὴν πόλιν. προσέβαλλόν τε εὐθὺς, καὶ ἐς χεῖρας ᾖεσαν κατὰ τάχος.

δ'. 4. Οἱ δ' ὡς ἔγνωσαν ἐξηπατημένοι, ξυνεστρέφοντό τε ἐν σφίσιν αὐτοῖς, καὶ τὰς προσβολὰς, ᾗ προσπίπτοιεν, ἀπεωθοῦντο. καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο, ἔπειτα πολλῷ θορύβῳ, αὐτῶν τε προσβαλόντων, καὶ τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων λίθοις τε καὶ κεράμῳ βαλλόντων, καὶ ὑετοῦ ἅμα διὰ νυκτὸς πολλοῦ ἐπιγενομένου, ἐφοβήθησαν, καὶ τραπόμενοι, ἔφυγον διὰ τῆς πόλεως, ἄπειροι μὲν ὄντες οἱ πλείους, ἐν σκότῳ καὶ πηλῷ,

subjunxisse dico, extat pag. 110. fitque ibi hujus ἀνακολουθίας et a Scholiaste mentio. S.

Propr. ὦσι. Simplicissimum est, intelligere cum Stephano τοῦτο, n. τὸ καθιστάναι ἁμάξας. Abresch. in Diluc. p. 157. malit etiam figura illa explicari, qua scriptores non numeri rationem in consequentibus habeant, qui præcesserit. v. c. apud Nostrum L. VII. 29. φειδόμενος οὔτε πρεσβυτέρας—καὶ παῖδας καὶ γυναῖκας κτείνοντες. Sed fallitur Vir doctus. Loco enim laudato legitur φειδόμενοι. It. c. 48. et 62. ej. libri. Sed etiam in his verbum subaudiri potest. Latina exempla, v. c. e Quinct. Declam. 339. "Sed *multa* me dicturum, propter *quod* adprobari possit rogatio mea;" it. Senec. Controv. I. 2. "*multa* sunt, propter *quod* credibile fit, non esse"—aut oscitantiæ scriptorum, aut librariorum incuriæ sunt tribuenda. Gottl.

Φυλάξαντες—περίορθρον] Th. Magist. in ὀρθρεύω, qui τηρήσαντες ἔτι legit, contra Mss. In Schol. ad Οὐδὲν ἐνεωτ. pro Ἀθηναῖοι repone Θηβαῖοι. Wass. In Cass. hoc scholion refertur ad πράσσοντες, sed ne sic quidem recte, pro οἱ Πλαταιεῖς. Duck.

Καὶ αὐτὸ τὸ περίορθρον] i. e. πρωὶ, σκοτίας ἔτι οὔσης, sive cum esset ὄρθρος βαθὺς, ut Plato loquitur Criton. 1. G.

Περίορθρον] Ὄρθρου βαθέος, quod affert B. Gottl., invenitur etiam Luc. 24. 1. Bauer.

Ὅπως—ἐμπειρίας] Thom. Magister in εἰ. ubi etiam προσφέροιντο. Duck.

Προσφέρωνται] Ita legit quoque cod. vet. Ald. Vinar. Lectionem codd. quorundam, προσφέροιντο, habet quoque Thomas M. in voc. εἰ, p. 268. Librarii correxisse videntur h. v. propter γίγνωνται. Non spernenda est lectio, quod Græci sæpius binos modos in eodem contextu conjungunt. v. Oudend. ad Thom. l. c. G.

Φοβερώτεροι ὄντες] i. e. μᾶλλον φοβούμενοι. Auctor Etym. m. φοβερὸς, ὁ φοβούμενος, παρὰ Θουκυδίδῃ. Sic adscripsit quoque in marg. Ald. Vinar. manus docta, μᾶλλον φοβούμενοι. Ita sæpe apud Thuc. sed non laudato loco Etym. m. G.

Ξυνεστρέφοντο—αὐτοῖς] *Ordines densant*, "sie schlossen sich dicht an einander." Sic paullo post ὅσον μάλιστα ἦν ξυνεστραμμένον. Philoxen. Gloss. p. 182. συστρέφονται, *glomerantur*. G.

Ἀπὸ τῶν οἰκιῶν] Sic. III. 74. βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ. Itaque hæc non recte a quibusdam Mss. absunt. Æneas l. d. ἡ γύναια καὶ οἱ οἰκέται ἦσαν ἐπὶ ταῖς κεράμοις, quod Casaubonus vertit, *in tectis stabant*. Κέραμον pro tecto dici docet Pollux VII. 162. Sed quæro, quis ἡ κέραμος dixerit. Duck.

Κραυγῇ—βαλλόντων] Theon Progymn. p. 55. qui κεράμοις inemendate legit. infra p. 254. pro σκότῳ Cl. σκότει, ex adscripto ι error. Wass. Tamen etiam ita Æneas l. d. et Theon eadem declinatione διά τε πηλοῦ καὶ σκότους. Duck.

Λίθοις τε καὶ κεράμῳ—] Diod. XII. p. 506. τῶν οἰκετῶν καὶ τῶν παίδων βαλλόντων κεραμίδας. Sic Thuc. III. 22. Gottl.

Ἄπειροι] In marg. Ald. Vin. scriptum: ἄποροι. G.

τῶν διόδων, ᾗ χρὴ σωθῆναι, (καὶ γὰρ τελευτῶντος τοῦ μηνὸς τὰ γιγνόμενα ἦν) ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας, τοῦ μὴ ἐκφεύγειν· ὥστε διεφθείροντο οἱ πολλοί. τῶν δὲ Πλαταιέων τὶς τὰς πύλας, ᾗ ἐσῆλθον, καὶ αἵπερ ἦσαν ἀνεῳγμέναι μόναι, ἔκλεισε, στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος ἐς τὸν μοχλόν· ὥστε μηδὲ ταύτῃ ἔτι ἔξοδον εἶναι. διωκόμενοι δὲ κατὰ τὴν πόλιν, οἱ μέν τινες αὐτῶν, ἐπὶ τὸ τεῖχος ἀναβάντες, ἔῤῥιψαν ἐς τὸ ἔξω σφᾶς αὐτοὺς, καὶ διεφθάρησαν οἱ πλείους· οἱ δὲ, κατὰ πύλας ἐρήμους, γυναικὸς δούσης πέλεκυν, λαθόντες καὶ διακόψαντες τὸν μοχλὸν, ἐξῆλθον οὐ πολλοί. αἴσθησις γὰρ ταχεῖα ἐπεγένετο. ἄλλοι δὲ ἄλλῃ τῆς πόλεως σποράδην ἀπώλλυντο. τὸ δὲ πλεῖστον καὶ ὅσον μάλιστα ἦν ξυνεστραμμένον, ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους, καὶ αἱ

Ἧι χρὴ σωθῆναι] Sc. μερίδι, *qua parte salvi s. incolumes evadere possent.* G.

Τοῦ μὴ ἐκφεύγειν] Pro ὥστε μὴ ἐκφεύγειν. v. ad c. 22. h. libri. Gottl.

Οἱ πολλοί.] Legitur etiam διεφθείροντο πολλοὶ, non præfixo nomini πολλοὶ articulo. Nihil autem, quod ad sensum attinet, referre, utro modo legamus, existimabit lector, qui Græcæ linguæ parum erit peritus: sed quicumque in ea exercitatus erit, sciet, πολλοὶ quidem non aliud sonare, quam *multi*: at vero οἱ πολλοὶ, *major pars*. Si igitur Valla lectionem hanc οἱ πολλοὶ sequutus est, non recte vertit, *permulti interficiebantur*. St.

I. e. οἱ πλείους, ut paullo post. Abresch. in Diluc. p. 159. contra Stephanum ostendit, πολλοὺς etiam sine articulo esse eosdem hac τοὺς πολλούς. v. Nostrum L. VI. 38. μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι. G.

Στυρακίῳ] Sic legit atque explicat Eustath. Il. κ'. 795. item Theon Progymn. 55. Pollux X. 27. εἰς τὸν Harpocrat. p. 324. antea ἐς. vid. Athenæum. Hesych. exponit λόγχην. Etymol. corrupte ἀκοντίῳ. vid. eundem in σαυρωτήρ, et Suidam, qui locum adducit. Ab arbore nomen tractum ait Eustath. ad Il. β'. 281. φυτὸν, ἐξ οὗ τὰ ἀκοντίσματα ἐοικότα τοῖς κρανείνοις. Et bona bello cornus. Adi Stapelium ad Theophrast. לִבְנֶה ῥάβδον στυρακίνην vertunt. θηλυκῶς θυμίαμα inquit Ammonius p. 72. χρησάμενον Theon. Wass. Sed Theon obliqua oratione utitur. Vid. etiam, quæ de voc. στύραξ et στυράκιον habent Casaub. ad Æneam Tactic. Cap. XVIII. et Bochart. Hieroz. II. 4. 12. et de βάλανος Casaub. ibid. et Salmas. ad Solin. p. 650. Athenæi locum hic significari puto eum, qui est Lib. XII. p. 514. ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες. Εἰς, quod hic pro ἐς edi voluit Clar. Wass., habent etiam Suidas in στύραξ, et Theon. sed veteres in laudandis verbis Thucydidis Attica illa ἐς, ξὺν, et alia plerumque mutant in communia. Pollux ἐς retinet cum Mss. Thucydidis. Duck.

Στυρακίῳ ἀκοντίου—χρησάμενος] *Usus jaculi spiculo, illud loco pessuli in seræ vel vectis foramen immisit.* Mox pro εἰς reposui ἐς e Polluce. Εἰς, quod habent Harpoc. Suidas et Theon, nulla auctoritate nititur. v. Ducker. Gottl.

Πύλας ἐρήμους] Agnoscit Suidas et ad Schol. respicit, qui nescio an hic satis recte distinguat. Phœnix, canes suos πυλαωροὺς vocat, et Apollonius aulæ regiæ fores, πύλας. Denique θυρωρὸς, ὁ τῶν πυλῶν φύλαξ juxta Etymologum, et θυραυλοῦν dicuntur, qui extra urbem in stativis agunt. Dionys. Halic. IX. 15. et v. דלת per θύρας et πύλας indifferenter vertunt LXX. Hesych. πύλη, θύρα. Rem extra dubium ponit Sophocles Œdip. Tyr. 1268. videatur Theon p. 65. 76. 89. Wass.

Λαθόντες καὶ διακόψαντες] Lectio λαβόντες posset defendi; sed vulgata λαθόντες vera est, quod agnoscit etiam Abresch. in Diluc. p. 159. idem autem est ac: ἔλαθον διακόψαντες, ut supra c. 2. ἔλαθον ἐσελθόντες. G.

Σποράδην] Σποράδες maxime placet. Wass.

Οἴκημα] Citat Pollux ex III. Lib. corrupte, omitti μέγα, et δεσμωτήριον, non ut Schol. πύργον, interp. et idem fere Hesychius. Hoc sensu Dinarchus et Æsch. apud Harpocrat. p. 259. ejusque compilatorem Suidam. Apud Herodotum I. et Pindarum Ol. II. 16. pro cubiculo, et urbis sedibus, et certe pro cella Aristot. περὶ θαυμ. p. 93,

θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ, οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι, καὶ ἄντικρυς δίοδον ἐς τὸ ἔξω. ὁρῶντες αὐτοὺς δὲ οἱ Πλαταιεῖς ἀπειλημμένους, ἐβουλεύοντο εἴτε κατακαύσουσιν, ὥσπερ ἔχουσιν, ἐμπρήσαντες τὸ οἴκημα, εἴτε τι ἄλλο χρήσονται. τέλος δὲ οὗτοί τε καὶ ὅσοι ἄλλοι τῶν Θηβαίων περιῆσαν, κατὰ τὴν πόλιν πλανώμενοι, ξυνέβησαν τοῖς Πλαταιεῦσι σφᾶς τε αὐτοὺς παραδοῦναι καὶ τὰ ὅπλα, χρήσασθαι ὅ, τι ἂν βούλωνται. οἱ μὲν δὴ ἐν τῇ Πλαταίᾳ οὕτως ἐπεπράγεσαν.

έ. 5. Οἱ δὲ ἄλλοι Θηβαῖοι, οὓς ἔδει ἔτι τῆς νυκτὸς παραγενέσθαι πανστρατιᾷ, εἴτι ἄρα μὴ προχωροίη τοῖς ἐσεληλυθόσι, τῆς ἀγγελίας ἅμα καθ᾽ ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενημένων, ἐπεβοήθουν. ἀπέχει δ᾽ ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα, καὶ τὸ ὕδωρ τὸ γενόμενον τῆς νυκτὸς, ἐποίησε βραδύτερον αὐτοὺς ἐλθεῖν. ὁ γὰρ Ασωπὸς [ποταμὸς]

Ebræi בֵית בוֹר LXX. ἐκ λάκκου ταλαιπωρίας, et magis emphatice, כּוֹ אסרִיךְ׃ מִבּוֹר אֵין מַיִם LXX. Jerem. et Ezek. minus Attice οἰκία. De altera vocis apud Pollucem significatione vide Xenoph. Mem. II. 741. Harpocrat. Ælian. VI. 1. et Ezek. XVI. 23. Wass. Add. Jungerm. ad Polluc. IX. 45. Duck.

Ἐσπίπτουσιν ἐς οἴκημα] Diod. l. c. τινὲς δὲ εἰς οἰκίαν τινὰ καταφυγόντες—Gottl.

Αἱ θύραι] Altera lectio πλησίον adjicit, quo adverbio nihil opus esse puto, præsertim quum sequatur τὰς θύρας τοῦ οἰκήματος εἶναι. Steph.

Καὶ αἱ θύραι—αὐτοῦ] Pro οὗ αἱ θύραι. v. Abresch. Diluc. p. 159. Reiskius in animad. p. 17. conjicit: ὃ ἦν ἐχόμενον τοῦ τείχους. n. *contiguum erat mœnibus.* Subintelligi potest ἐχόμενον, non propterea inseri textui. Plene L. II. 96. τὸ ὄρος—ἐχόμενον Ῥοδόπης.—G.

Ebraismum plane sapit Pron. αὐτοῦ. Sed hæc verba in parenthesi posita intelligi possunt. Sed in verbis, ὃ ἦν τοῦ τείχους, non intelligam ἐγγὺς, sed μέρος· ædificium erat muri, pars muri, *es gehörte zur Maver.* Baver.

Ἐβουλεύοντο] *Deliberabant inter se.* Mox ὥσπερ ἔχουσιν, *ita ut erant;* ut Herodot. L. I. 24. de Arione: ῥίψαι μιν ἐς τὴν θάλασσαν ἑωϋτὸν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ—G.

Εἴτε κατακαύσουσιν] Habebat mea prior Editio κατακαύσωσιν et χρήσωνται· sed meum veterem librum sequutus illa Indicativi futura substitui, κατακαύσουσιν et χρήσονται, quam scripturam tutiorem esse existimo: licet et aliquo exemplo alteram posse defendi existimem. Steph. De hoc genere loquendi χρήσασθαι, ὅ, τι ἂν βούλωνται Idem Append. ad scripta de Dialect. p. 94. Duck.

Χρήσασθαι ὅ, τι ἂν βούλωνται] Schol. Aug. vult suppleri ἀπὸ κοινοῦ, καὶ—n. καὶ χρήσασθαι. G.

Χρήσασθαι] Scil. ὥστε, vel, εἰς τὸ χρ. Baver.

Ἐπεβοήθουν] *Auxilium præstitum iverunt.* De conatu intelligendum est h. verbum. Non infrequens est modus loquendi apud Græcos et Latinos. v. S. Rev. Morum ad Isocr. Pan. p. 78. cf. not. ad Menex. Plat. p. 35. Ernest. ad Suet. 29. ubi *pepigit,* i. e. *pacisci voluit.* G.

Τὸ ὕδωρ τὸ γενόμενον] Demosth. T. II. p. 1379. similiter e Nostro: ὕδωρ γὰρ τὸ γενόμενον τῆς νυκτὸς πολὺ ἐκώλυσεν αὐτοὺς πάντας εἰσελθεῖν. Ὁ γὰρ Ἄσωπος ποταμὸς μέγας ἐῤῥύη, καὶ διαβῆναι οὐ ῥᾴδιον ἦν, ἄλλως τε καὶ νυκτός. G.

Ὁ γὰρ Ἄσωπος—ἐῤῥύη μέγας] *Copiosus fluxit.* Apud Callim. H. in Jov. v. 18. similis locus esse videtur: Λάδων οὔπω μέγας ἔῤῥεεν—sed aliter capiendus: *sed Ladon magnus nondum fluebat.* ubi v. Ernest. qui, Thucydidei loci non immemor, monet, τὸ μέγας fluminis epitheton esse. Vocabulum ποταμὸς, uncinis inclusum, defendi potest ex Demosthenis loco laudato. G.

ἐῤῥύη μέγας, καὶ οὐ ῥᾳδίως διαβατὸς ἦν. πορευόμενοί τε ἐν ὑετῷ, καὶ τὸν ποταμὸν μόγις διαβάντες, ὕστερον παρεγένοντο, ἤδη τῶν ἀνδρῶν, τῶν μὲν, διεφθαρμένων, τῶν δὲ, ζώντων ἐχομένων. ὡς δ' ᾔσθοντο οἱ Θηβαῖοι τὸ γεγενημένον, ἐπεβούλευον τοῖς ἔξω τῆς πόλεως τῶν Πλαταιέων. ἦσαν γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς, καὶ κατασκευὴ, οἷα ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου. ἠβούλοντο γὰρ σφίσιν, εἴ τινα λάβοιεν, ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα τύχωσι τινὲς ἐζωγρημένοι. καὶ οἱ μὲν ταῦτα διενοοῦντο. οἱ δὲ Πλαταιῆς, ἔτι διαβουλευομένων αὐτῶν, ὑποτοπήσαντες τοιοῦτόν τι ἔσεσθαι, καὶ δείσαντες περὶ τοῖς ἔξω, κήρυκα ἐξέπεμψαν παρὰ τοὺς Θηβαίους, λέγοντες, ὅτι οὔτε τὰ πεποιημένα ὁσίως δράσειαν, ἐν σπονδαῖς σφῶν πειραθέντες καταλαβεῖν τὴν πόλιν, τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν. εἰ δὲ μὴ, καὶ αὐτοὶ ἔφασαν αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν, οὓς ἔχουσι ζῶντας· ἀναχωρησάντων δὲ πάλιν ἐκ τῆς γῆς, ἀποδώσειν αὐτοῖς τοὺς ἄνδρας. Θηβαῖοι μὲν ταῦτα λέγουσι, καὶ ἐπομόσαι φασὶν αὐτούς· Πλαταιῆς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀποδώσειν, ἀλλὰ λόγων πρῶτον γενομένων, ἤν τι ξυμβαίνωσι· καὶ ἐπομόσαι οὔ φασίν. ἐκ γοῦν τῆς γῆς ἀνεχώρησαν οἱ Θηβαῖοι, οὐδὲν ἀδικήσαντες· οἱ δὲ Πλαταιῆς, ἐπειδὴ τὰ ἐκ τῆς χώρας κατὰ τάχος ἐσεκομίσαντο, ἀπέκτειναν τοὺς ἄνδρας εὐθύς. ἦσαν δὲ

Μόγις] Μόλις alii. dixi supra. WASS.

Ἐβούλοντο] Sic loquuntur Scriptores probatissimi, non ἠβουλόμην, nec ἠδυνάμην, si quid Thom. Magistro credimus. At Joann. Grammaticus et Corinthus dicunt Atticos in his η pro ε ponere. DUCK.

Ἠβούλοντο] Sic dedi pro ἐβούλοντο, ut supra c. 2. Duckerus edidit. Debebat constantia servari, nec Thomæ auctoritas aliquid valere. v. Intt. p. 258. 59. Confirmat ἠβούλοντο quoque, præter codd. bonos, margo Ald. Viuar. GOTTL.

Δράσειαν] Hic optativus pro præterito est capiendus, ut L. I. 50. τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν, ἃς καταδύσειαν, i. e. κατέδυον. v. Greg. de dial. p. 23. ad quem locum doctiss. Kœnius hunc nostrum laudare non omisit. G.

Πειραθέντες] Thom. Magist. in πειρῶ, Mœris p. 36. et Index. WASS.

I. e. ἀπόπειραν ποιούμενοι. Herodot. IV. 80. *Sitalces misit caduceatorem cum his mandatis:* Τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι. v. Thom. M. in πειρῶ. G.

Τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν] Hunc locum adferebat Vigerus, (de idiot. Gr. dict. p. 374.) ut probaret, τε solum reperiri, ut *que* apud Latinos. Sed parum recte inspexit locum; præcedit enim conjunctio οὔτε, et ita potius repetitur, ut monuit Hoogevenius. Respondet τε præcedenti τε, quod est in οὔτε. Similis locus est apud Xenoph. Cyrop. III. 1. 10. διὰ τί οὔτε τὸν δασμὸν ἀπήγαγες, οὔτε στράτευμα ἀπέπεμπες, ἐτείχιζές τε τὰ ἐρύματα. Ubi Cel. Zeunius hujus loci meminit. G.

Τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀποδώσειν] Non referendum εὐθὺς ad ἀποδώσειν, sed cum Scholiaste ad ὑποσχέσθαι, ut sit: ἐξ εὐθείας, sive ἁπλῶς, *simpliciter, sine conditione.* Sequitur enim conditio: ἀλλὰ λόγων—Hesychius: εὐθὺ, ἁπλοῦν. G.

Ἐσεκομίσαντο] Sic ex optimis codd. correximus pro εἰσεκομίσαντο, ut constantiam etiam in his teneremus. G.

Ἀπέκτειναν τοὺς ἄνδρας] Cum Thucydide

ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες· καὶ Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες.

στ′. 6. Τοῦτο δὲ ποιήσαντες, ἔς τε τὰς Ἀθήνας ἄγγελον ἔπεμπον, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Θηβαίοις· τά τ' ἐν τῇ πόλει καθίσταντο πρὸς τὰ παρόντα, ᾗ ἐδόκει αὐτοῖς. τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ παρὰ τῶν Πλαταιέων γεγενημένα. καὶ Βοιωτῶν τε παραχρῆμα ξυνέλαβον ὅσοι ἦσαν ἐν τῇ Ἀττικῇ, καὶ ἐς τὴν Πλάταιαν ἔπεμψαν κήρυκα, κελεύοντες αὐτοῖς εἰπεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν οὓς ἔχουσι Θηβαίων, πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν· οὐ γὰρ ἠγγέλθη αὐτοῖς, ὅτι τεθνηκότες εἶεν. ἅμα γὰρ τῇ ἐσόδῳ γιγνομένῃ τῶν Θηβαίων, ὁ πρῶτος ἄγγελος ἐξῄει· ὁ δὲ δεύτερος, ἄρτι νενικημένων τε καὶ ξυνειλημμένων· καὶ τῶν ὕστερον οὐδὲν ᾔδεσαν. οὕτω δὴ οὐκ εἰδότες οἱ Ἀθηναῖοι ἐπέστελλον· ὁ δὲ κήρυξ ἀφικόμενος εὗρε τοὺς ἄνδρας διεφθαρμένους· καὶ μετὰ ταῦτα οἱ Ἀθηναῖοι, στρατεύσαντες ἐς Πλάταιαν, σῖτόν τε ἐσήγαγον, καὶ φρουροὺς ἐγκατέλιπον· τῶν τε ἀνθρώπων τοὺς ἀχρειοτάτους ξὺν γυναιξὶ καὶ παισὶν ἐξεκόμισαν.

ζ′. 7. Γεγενημένου δὲ τοῦ ἐν Πλαταιαῖς ἔργου, καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν, οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες. παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν, πρεσβείας τε μέλλοντες πέμπειν παρὰ

pugnat Diodorus, qui captivos non jugulatos, sed receptos fuisse tradit, p. 308. Ed. Steph. Huds. Diodor. male τοὺς αἰχμαλώτους ἀπολαβόντες εἰς τὰς Θήβας ἀπηλλάγησαν. Wass.

Cum Nostro facit Demosth. p. 1379. ὡς οὖν ἀπέτυχον οἱ Θηβαῖοι τῆς πείρας, καὶ οἱ Πλαταιεῖς τοὺς ἄνδρας, οὓς ἔλαβον αὐτῶν ἐν μάχῃ ζῶντας, ἀπέκτειναν. Diodorus contra L. XII. p. 506. tradit, captivos receptos esse, non jugulatos: sed auctoritas Thucydidis major valet. Gottl.

Ἄγγελον πέμπουσι] Demosth. l. c. καὶ ὡς ἡμᾶς πέμπουσιν· εὐθὺς ἄγγελον, τήν τε πρᾶξιν φράσοντα, καὶ τὴν μάχην δηλώσοντα—G.

Αὐτοῖς] Abest Cl. eleganter quidem, haud æque tamen perspicue, p. 260. 1. ἀπέστελλον recte Steph. et Æ. Port. Wass.

Τεθνηκότες εἶεν) Sc. ὑπὸ τῶν Πλαταιέων i. e. *interfectos esse.* Sic τελευτᾶν sumi et cognatæ sign. vocabula, monuit Abresch. Diluc. p. 491. et Anim. ad Æschyl. II. 410. Diximus quoque de hoc usu ad Plat. Alcib. sec. p. 125. Hoc loco planum est e superioribus: ἀπέκτειναν τοὺς ἄνδρας εὐθύς· et paullo post: κήρυξ—εὗρε τοὺς ἄνδρας διεφθαρμένους. G.

Οὕτω δὴ—ἐπέστελλον] *Sic igitur dicere jubent præconem.* Τὸ δὴ indicat, sermonem per parentheses fuisse interruptum. Paullo ante scripserat: ἔπεμψαν κήρυκα— Breviter nunc repetit sermonem: ἐπέστελλον, n. τῷ κήρυκι εἰπεῖν— v. Abresch. Diluc. p. 160. Sic Plato adhibet τὸ δὲ, v. c. Alcib. I. c. 2. Ἐὰν εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς— sequitur parenthesis, et mox: παρελθὼν δὲ ἐνδείξασθαι. vide, sis, quæ ibi notavimus. G.

Λαμπρῶς] Agnoscit Suidas h. v. et Schol. sequitur. Glossæ clare. Dion. Halic. Antiq. IX. 25. λαμπρῶς ἠγωνίσαντο, καὶ ἀνέπνευσαν ἐκ τοῦ δέους. Sic fere Hippocrates Prorrh. II. p. 416. Synes. Ep. LXVII. et III. in malam partem, ut hic et alibi apud Nostrum. Horatius audacter, "splendide *mendax.*" Ita, "*probe* madidus" et similia, quæ Comice dici solent, ut καλὴν δίκην apud Aristophanem. Wass.

βασιλέα, καὶ ἄλλοσε ἐς τοὺς βαρβάρους, εἴποθέν τινα ὠφέλειαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι· πόλεις τε ξυμμαχίδας ποιούμενοι, ὅσαι ἦσαν ἐκτὸς τῆς ἑαυτῶν δυνάμεως. καὶ Λακεδαιμόνιοι μὲν, πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις ἐξ Ἰταλίας καὶ Σικελίας, τοῖς τἀκείνων ἑλομένοις, ναῦς ἐπετάχθησαν ποιεῖσθαι κατὰ μέγεθος τῶν πόλεων, ὡς, ἐς τὸν πάντα ἀριθμὸν, πεντακοσίων νεῶν ἐσομένων· καὶ ἀργύριον ῥητὸν ἑτοιμάζειν, τά τ᾽ ἄλλα ἡσυχάζοντας, καὶ Ἀθηναίους δεχομένους μιᾷ νηῒ, ἕως ἂν ταῦτα παρασκευασθῇ. Ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον, καὶ ἐς τὰ περὶ Πελοπόννησον μᾶλλον χωρία ἐπρεσβεύοντο, Κέρκυραν, καὶ Κεφαλληνίαν, καὶ Ἀκαρνᾶνας, καὶ Ζάκυνθον· ὁρῶντες, εἰ σφίσι φίλια ταῦτ᾽ εἴη, βεβαίως πέριξ τὴν Πελοπόννησον καταπολεμήσοντες.

ή. 8. Ολίγον τε ἐπενόουν οὐδὲν ἀμφότεροι, ἀλλ᾽ ἔῤῥωντο ἐς

Εἴποθεν] i. e. ὁπόθεν, *unde*—ut εἴπως pro ὅπως. v. Abresch. Diluc. p. 162. G.

Λακεδαιμονίοις] Valla non solum legit Λακεδαιμόνιοι, sed alia etiam aliter: aut saltem perinde vertit hunc locum, ac si ita legeretur, et interpungeretur, καὶ Λακεδαιμόνιοι μὲν πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις, τοῖς ἐξ Ἰταλίας καὶ Σικελίας τἀκείνων ἑλομένοις ναῦς ἐπέταξαν ποιεῖσθαι, hæc enim sunt interpretationis ejus verba, *et Lacedæmonii quidem, præter eas, quas habeant, negotium dederunt iis, qui ex Italia et Sicilia in partibus erant, ut naves conficerent.* Nostram autem lectionem retinendo, dicendum videtur, Λακεδαιμονίοις pro ὑπὸ Λακεδαιμονίων positum esse, et τοῖς τἀκείνων ἑλομένοις pro οἱ τἀκείνων ἑλόμενοι. Sed nimium durus hic dativi pro nominativo usus esset: ideoque potius aliquid mutandum dicerem, videlicet ἐπετάχθησαν in ἐπετάχθη. STEPH.

Καὶ Λακεδαιμόνιοι—τοῖς τἀκείνων ἑλομένοις ναῦς ἐπετάχθησαν ποιεῖσθαι] Hic locus exercuit interpretes ob duplicem dativum: Λακεδαιμονίοις, ut antea legebatur, et τοῖς ἑλομένοις. Quod durum esset, τοῖς ἑλομένοις positum pro nominativo; malebat Stephanus mutari ἐπετάχθησαν in ἐπετάχθη. Cui occurrit Abreschius sic in Dilucid. 161., ut dicat, ἐπετάχθησαν locum tenere ἐπετάχθη quod fuerit bis adhibendum: ostendere hoc quoque ναῦς, alioquin scripsisset νῆες. Solere quoque nonnunquam vocabulum plurale poni pro bis adhibendo in singulari. Durior etiam mihi videtur hæc ratio. Reiskius (in anim. p. 17.) tentat, Λακεδαίμονι, *in urbe Lacedæmone*, aut παρὰ Λακεδαιμονίοις. Sed hæ conjecturæ a nullo codice adjuvantur. Facillima ratio mihi visa est, si corrigatur Λακεδαιμόνιοι e bonis codd. et ἐπετάχθησαν capiatur active; quod non infrequens est omnino, et de ἀντιτετάχθαι notat Kusterus de V. M. I. 56. Itaque recepi Λακεδαιμόνιοι. Mox πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις— i. e. ibi, n. e Lacedæmone, ut Abreschius l. c. explicat. G.

ἢ οὐ κήπιον, καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας, ὀλιγωρῆσαι· καὶ γνῶναι, ἐλευθερίαν μὲν, ἢν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι, καὶ τὰ προσκεκτημένα φιλεῖν ἐλασσοῦσθαι. τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων, καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες παρέδοσαν ἡμῖν αὐτά. (αἴσχιον δὲ, ἔχοντας ἀφαιρεθῆναι, ἢ κτωμένους ἀτυχῆσαι.) ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε, μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. αὔχημα

cissimum est, cum Reiskio (in animadv. p. 22.) et Bavero statuere, οὐ redundare ex more Thucydidis, veluti L. III. 36. ubi πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους— Abreschius tamen, ut ostendat, μὴ non abundare, verba sic explicat: οὐ μᾶλλον εἰκός ἐστι, χαλεπῶς φέρειν αὐτῶν (sc. ἐστερῆσθαι, οὐ μᾶλλον φημὶ) ἢ κήπιον καὶ ἐγκ. πλούτου (πρὸς ταύτην τὴν δύναμιν) νομίσαντας ὀλιγωρῆσαι, i. e. οὕτως ὀλιγωρῆσαι αὐτῶν, ὡς ἂν ὀλιγωρήσειέ τις τοιούτων στερηθείς. Transponit itaque οὐ ante κήπιον, et hunc ὑπερβιβασμὸν Nostro esse usitatum, v. c. L. III. 22. infra c. 76. etc. monet. Sed hæc ratio est dura et contorta. Qui hanc interpretationem nolit admittere; huic commendat Abreschius Scholiastæ rationem. Cur Reiskius conjiciat legendum: ὑπὲρ αὐτῶν στερηθέντας αὐτῶν, non video. GOTTL.

Ἢ οὐ κήπιον] Alia est lectio, ἢ οὐκ ἤπιον, quam sequutus est Valla: nisi potius ex ἤπιον fecit ἠπίως. Sed altera lectio multo magis mihi placet, in qua tamen non minus vacare negantem particulam existimo. Male autem πρὸς ταύτην idem Interpres vertit *apud potentiam*: quum vertendum (meo quidem judicio) esset, *præ hac potentia*. STEPH.

Ἢ οὐ κήπιον] Ἢ οὐ pro ἀλλά. atque ἢ οὐ κήπιον veram esse scripturam existimo, ut colligi potest ex Eustathio in Homerum, Il. μ΄. Κῆπος (inquit) καλλωπισμὸς κόμης, καὶ κουρᾶς διάθεσις τῶν ἐν κεφαλῇ τριχῶν. Θουκυδίδης δὲ κήπιον φησί. Fr. Port. HUDS. Valla vertit, *Et non potius æquo atque sedato* (animo). Ἕνεκα ante αὐτῶν deesse putat Stephanus in App. ad Script. de Dial. p. 43. et 102. D.

Κήπιον] Haud dubie hæc est vera lectio, quam optimi codd. habent, Eustathius ad Il. μ΄. comprobat et contextus flagitat. Corruptio facile intelligitur, cur facta sit, uti 1 Thess. II. 7. ex ἤπιοι factum est νήπιοι, ob præcedens ἐγενήθημεν. Κήπιον autem est, *Lustgarten*, s. prædiolum, oblectandi animi caussa comparatum, ut Reisk. explicat, in anim. p. 22. qui conjicit legendum: ὑπὲρ αὐτῶν στερηθέντας αὐτῶν. Sed hoc nimis a textu recedit. Doctus vir in margine Flor. Vinar. legendum quoque statuit κήπιον, et subint. ἕνεκα ante αὐτῶν· item μᾶλλον ἢ οὐ esse, pro μᾶλλον ἢ, quod apud Thucydidem et Atticos sæpe abundet negatio; ordinem autem hunc facit: οὐδ' εἰκὸς, χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ ὀλιγωρεῖν (ὑμᾶς) νομίσαντας— Sensum esse: "*neque vos decet ægre ferre ea vobis eripi potius, quam contemnere et negligere, existimantes, ea esse hortulum et ornamentum divitiarum, præ potentia.*" Hæc ratio expediendi hujus loci multo simplicior est Abreschiana, qua locus impeditus multo impeditior transponendo et addendo redditur. G.

Καὶ γνῶναι ἐλευθερίαν——ἐλασσοῦσθαι] Cf. c. 60. 61. init. Mox pro διασώσωμεν Reiskius in anim. l. c. conjicit διασωθῶμεν. WASS.

Ἡμῖν] Cl. Gr. ὑμῖν et Steph. 1. aliique: modestius, ut supra. Sed præcessit διασώσωμεν, quare nihil mutandum. WASS.

Οἱ μετὰ πόνων—παρέδοσαν ἡμῖν αὐτὰ] Eadem fere supra dixit Pericles c. 36. κτησάμενοι (οἱ πατέρες ἡμῖν)—ὅσην ἔχομεν ἀρχὴν οὐκ ἀπόνως, ἡμῖν τοῖς νῦν προσκατέλιπον. GOTTL.

Ἰέναι—πρόνοια] Dionys. Halic. pag. 159. WASS. Pleraque in hac periodo reprehendit Dionysius: illa autem, ἥ τε τόλμα, ἣν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ὀχυρωτέραν παρέχεται Heracliti tenebris obscuriora esse dicit. Aristides Tom. III. pag. 652. ex memoria laudat: ἰέναι δ' ἐπὶ τοὺς πολεμίους, μή μοι φρονήματι μ. ἀ κ. κ. Ubi dativus μοι, etsi sæpe alibi πλεονάζει, inconcinne poni videtur. DUCK.

Ἰέναι τοῖς ἐχθροῖς ὁμόσε] Hunc locum usque ad ἡ πρόνοια exagitat Dionysius p. 928. tanquam perplexum et Heracliti tenebris obscuriorem. In primis ἥ τε τόλμα—παρέχεται esse obscurissima; illa vero: ἥ τε τῆς ἐλπίδος—ἰσχὺς et ἡ τῆς γνώμης—πρόνοια, poëtica esse. Ad expediendum hunc locum omnino cum Abreschio (in auctar. p. 287.) monendum est h. l., eandem rem pluribus no-

μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίγνεται· καταφρόνησις δὲ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.

ξγ'. 63. "Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, ᾧπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι, περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως, καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. ἧς

minibus proponi, v. c. φρόνημα, αὔχημα, vocatur, item γνώμη, ξύνεσις et πρόνοια, Synonyma sunt. Per τὴν ὁμοίαν τύχην, intelligitur *communis Mars*, et sententia τῆς ἐλπίδος ἐν τῷ ἀπόρῳ ἡ ἰσχὺς, proponitur L. I. 78. μηκυνόμενος ὁ πόλεμος—ἐν ἀδήλῳ κινδυνεύεται, et v. καὶ τὴν τόλμαν—ἡ ξύνεσις παρέχεται, exprimuntur c. 144. e. l. οἱ πατέρες ἀπεώσαντο. Ceterum Dionysius censuræ suæ addit: *Vult autem significare* (Thucydides), *nos ei opinioni magis adsentiri oportere, quam ex rebus præsentibus colligimus, quam spei, cujus vis omnis in futuris est.* Hactenus Dionysius. Non negari potest, arguta esse: μὴ φρονήματι, ἀλλὰ καὶ καταφρονήματι, cujus paronomasiæ exempla collegit Abresch. auct. p. 286. et obscura τὴν τόλμαν—παρέχεται, sed non Heracliteis tenebris obscuriora. Sensus enim est: *Klugheit, die sich auf einen erhabenen Muth gründet, macht uns fester, entscholossener, den grössesten Gefahren entgegen zu gehen: sie verlässt sich nicht auf leere und ungegründete Heoffnung, deren Stärke, oder die sich am starksten, bey Unentschlossenheit äussert, sondern auf kluge Maassregeln, die sich auf vorliegende Umstände gründen, und duruch ihre vorsichtige Wahl desto fester sind.* Ἀμαθία εὐτυχὴς est successus prosper, quem fortuna offert, nec consilium offert. Positum est abstractum pro concreto, ut aiunt: ἀμαθὴς illud elegantius. Ceterum notat Abreschius (Dil. p. 251.), Charitonem huc respexisse (VII. 117.), καταφρονήσει μετ' ἀλαζονείας, οὐ φρονήματι μετ' εὐβουλίας χρώμενοι, item Procopium (I. 19. B. V.) καταφρονήματι ἐπὶ τοὺς πολεμίους χωρεῖν. In marg. Ald. Vinar. legitur ὑμῖν, non male, ut etiam in quibusdam codd. GOTTL.

Παρέχεται] Ex constanti usu ita dicitur, non παρέχει, ubi est *efficere, reddere*; uti Plut. aud. poet. c. 5. ἡ ἀρετὴ ἔμφρονας παρέχεται καὶ δικαίους. Kusterus vocat ejusmodi verbum, Medio-activum (V. M. I. 49.) Constanter τεκμήριον παρέχεσθαι, Menex. 7. et aliis locis Plato, item μάρτυρας, n. *in sua caussa, pro se*—At παρέχειν χρήματα, c. 67. etc. v. supra not. ad p. 103. G.

Πρόνοια] i. e. πρόγνωσις. Auctore Cyrillo in Lex. Msc. apud Abreschium (in auctario p. 288.) notat h. v., τὴν φροντίδα, τὴν κηδεμονικὴν τοῦ παντὸς δύναμιν, τὴν προαίρεσιν καὶ τὴν πρόγνωσιν. G.

Τῆς τε—ἐπικίνδυνον] D. Halic. 159. WASS

Τῆς πόλεως—τιμωμένῳ] i. e. τιμῇ, ἀπὸ τοῦ ἄρχειν, i. e. διὰ τ. ἀ. *die Ehre, die unserm Staate durch seine Oberherrschaft zuwächst*—G.

Τῷ τιμωμένῳ] Male expl. Schol. τῷ ἡγεμόνι· forte leg. ἡγεμονικῷ, i. e.—τῇ ἡγεμονίᾳ. Sic quoque perperam, quia sequitur, ἀπὸ τοῦ ἄρχειν, certe hoc debebat adjungere τῷ τιμωμένῳ, quæ periphrasis esset τοῦ ἡγουμένου. Sed contexto minime apta est explicatio. BAVER.

Μηδὲ νομίσαι περὶ ἑνὸς—ἐλευθερίας—] *Non modo de re una, n. de servitute loco libertatis, dimicandum vobis esse*, i. e. *ne servi pro liberis civibus fiatis*; verum etiam, ne imperio privemini. Sensus non est obscurus; poterat etiam omittere δουλείας, quod monet etiam Abresch. in auct. p. 299., qui vertit: *certare de servitute subeunda, loco libertatis retinendæ.* GOTTL.

Καὶ κινδύνου, ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε] n. ἐκείνων, ὧν—nec periculum subeatis, quod vobis imminet ab iis, quorum odium et invidiam in imperio vestro vobis conflastis. Ἀπέχθεσθαι ἐν τῇ ἀρχῇ, comparabat Abreschius (in auct. p. 290.) cum eo, quod dicit Noster I. 76. ἀπέχθεσθαι ἐν τῇ ἡγεμονίᾳ, quod permutat, c. 75. e. l. cum ἐπιφθόνως διακεῖσθαι, aut, ut Hesychius explicat, μισεῖσθαι. Baverus int. ὧν ἀπήχθεσθε—quæ

οὐδ᾽ ἐκστῆναι ἔτι ὑμῖν ἐστιν· εἴτις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται. ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν. ἣν λαβεῖν μὲν, ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ, ἐπικίνδυνον. τάχιστ᾽ ἄν τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν, καὶ εἴπου ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν. τὸ γὰρ ἄπραγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον· οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει, ἀλλ᾽ ἐν ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν.

ξδ΄. 64. "Ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε, μήτε ἐμὲ δι᾽ ὀργῆς ἔχετε, (ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν,) εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν, ἅπερ εἰκὸς ἦν, μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν· ἐπιγεγένηταί τε, πέρα ὧν

aversabamini, quæ vobis intoleranda ab initio *videbantur*; sed citra contextum. Jam ἐν τῇ ἀρχῇ non est *ab initio*, sed ἐν ἀρχῇ. Et quid sit h. l. *ab initio?* Eadem fere aliis verbis repetit: τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι, πᾶσι μὲν ὑπῆρξε δὴ, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν. G.

Εἴτις καὶ τόδε etc.] Sc. τὸ ἐκστῆναι τῆς ἀρχῆς. *siquis etiam hoc jactat, et vitæ tranquillitate nititur* etc. Vel εἴτις καὶ τόδε ἀνδραγαθίζεται ἀπρ. pro εἴτις καὶ τόδε ἀνδραγαθιζόμενος τῇ ἀπραγμοσύνῃ λέγει. et sic rectius forsan legendum οὐ δεδιώς. *Æm. Port.* Huds.

Εἴ τις καὶ τόδε—] Sc. τὸ ἐκστῆναι ἀρχῆς, hoc cum Frid. Porto (non Æmilio, ut Hudsonus putabat), verisimilius videtur. Abresch. in Diluc. p. 252. refert ad ἀπέχθεσθαι, quod adsumit ex ἀπήχθεσθε. In auctar. p. 288. structuram ita facit, tanquam non adessent καὶ τόδε, hoc modo: ὑμᾶς εἰκὸς βοηθεῖν—μηδὲ νομίσαι, εἴ τις ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται—Vel ita construit, ut servet καὶ τόδε, verum simul negativam μὴ vel οὐ ante δεδιὼς requirat: ἀλλὰ καὶ (εἴ τις) καὶ τόδε (ἐν τῷ παρόντι) μὴ δεδιὼς ἀπραγμ. ἀνδρ. περὶ ἀρχῆς στερήσεως (ἐκείνων) ὤν. Sed hæc multo intricatiora sunt verbis Thucydideis. Ἀνδραγαθίζεσθαι Scholiastes ad L. III. 40. explicat per ἀσκεῖν ἀνδραγαθίαν. Ἀπραγμοσύνη L. I. c. 70. vocatur ἡσυχία ἀπράγμων. Reiskius emendatione sibi consulit (Animadv. p. 22.), leg. τὸ δεινὸν vel τὸ ὄνειδος *ignominiam*, n. injustitiæ. Bavero videtur pertinere τόδε ad ἀνδραγαθίζεται, subint. κατὰ, quo ne opus quidem sit, et δεδιὼς simpliciter accipiendum—Damnat Noster ἀπραγμοσύνην in iis, qui metuant, ne priventur imperio, et tamen credant, se bonos viros sine illo tranquille vivere posse. Quod negat Pericles: tranquillitatem non sine agendi studio servari posse in ἀρχούσῃ πόλει, sed convenire in cives subjectos et servos. G.

Τὸ γὰρ—τεταγμένον] Stobæus pag. 87. In hanc sententiam plura apud Dionem XXXVIII. p. 84. d. Jul. Cæsar. Wass.

Τὸ γὰρ ἄπραγμον οὐ σώζεται] Eadem fere dicit, sed aliis verbis Noster, L. I. 71. quæ paullulum immutata et contracta sic efferri possunt: ἡ ἡσυχία τούτοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖ, οἳ ἂν τῇ τε παρασκευῇ καὶ τῇ γνώμῃ δῆλοι ὦσι μὴ ἐπιτρέψοντες ἀδικεῖσθαι. C. 64. ὁ ἀπράγμων opp. τῷ δρᾶν τι βουλομένῳ, ut h. l. τὸ ἄπραγμον opp. τῷ δραστηρίῳ. G.

Ἀσφαλῶς] Gr. ut apud Homerum. Noster ἀσφαλῶς quinquies, nec dissident Mss. v. et Æsch. Steph. 311. Dem. Coron. W.

Ἀσφαλῶς δουλεύειν] Reiskius in Diluc. Abresch. p. 253. legebat ἀσφαλὲς, et int. ἐστὶ aut δουλεύει, n. τὸ ἄπραγμον, opinor, quod dubitaret, an vox satis idonea esset. Sed Vir doctiss. monuit ad Aristidem Orat. Plat. II. p. 467. qui utitur τῷ ἀσφαλῶς, h. v. tantummodo in Thucydide legi. Occurrit tamen L. IV. 61. ubi Schol. int. εἰρηναίως, ἐπιτηδείως et ἀκινδύνως. Occurrit etiam apud Lycurgum contra Leocr. p. 170. Reisk. ἀσφαλῶς κινδυνεῦσαι. It. Demosth. pro cor. p. 372. Reisk. Ξυμφέρει int. Baverus, *contingit, datur.* Recte Interpretes vertit: *conducit*, tanquam sit: ἀρχούσῃ πόλει. G.

Ὧι καὶ αὐτοὶ ξυνδιέγνωτε] i. e. ξὺν ᾧ διέγνωτε. Mox ἅπερ εἰκὸς ἦν, sc. αὐτοὺς δρᾶσειν. In principio cap. adscriptum: οἱ ἐπίλογοι, in Aug. cod., in quo in orationibus alibi occurrit. Gottl.

Ἐπεὶ—γεγενημένον] Hermogenes p. 267. qui ἐπιγεν. cum Marg. Cam. et πεῖρα, mendose. Wass.

Ἐπιγεγένηται] Ita recepimus ex optimis

προσεδεχόμεθα, ἡ νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον· καὶ δι' αὐτὴν, οἶδ', ὅτι μέρος τὶ μᾶλλον ἔτι μισοῦμαι· οὐ δικαίως, εἰ μὴ καὶ, ὅταν παρὰ λόγον τὶ εὖ πράξητε, ἐμοὶ ἀναθήσετε. φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως. ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν, νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις, διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν· πλεῖστα δὲ σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ, καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε (πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι) μνήμη καταλελείψεται· Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν, πρός τε ξύμπαντας, καὶ καθ' ἑκάστους· πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν· καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν· ὁ δὲ δρᾷν τι βουλόμενος, καὶ αὐτὸς ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι, πᾶσι μὲν ὑπῆρξε δὴ, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται.

codd. e. marg. Ald. Vin. et Hermog. p. 267. quod vulgata ἐπεὶ γεγέν. non habet, quo referatur ἐπεί. Probat quoque Abreschius Auct. p. 294. Mox πρᾶγμα, n. νόσος, ut Livius sæpissime τὸ *res*. Κρεῖσσον, i. e. μεῖζον. v. supra c. 50. pr. κρεῖσσον λόγου. G.

Καὶ δι' αὐτὴν—ἀναθήσετε.] Cf. L. I. 140. non longe a princ. καὶ τοὺς ἀναπειθομένους ὑμῶν—Mox φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως—Fere consimiliter criminationes Æschinis a se amovet Demosth. pro cor. p. 326. Reisk. εἰ δὲ ἢ δαίμονός τινος (ἢ τύχης τινος) ἰσχὺς, ἢ τῶν στρατηγῶν φαυλότης, ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία, ἢ πάντα ταῦτα ἅμα ἐλυμήνατο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ. GOTTL.

Φέρειν] Confer Demosth. Coron. 355. WASS.

Νῦν τε] Sc. ὁρᾶτε. Omittit sæpius h. v. Plato. c. v. Phædon. c. 13. ὦ μακάριε Σιμμία, μὴ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν—Pro κωλυθῇ videtur legisse Valla λυθῇ. vertit enim: *ne nunc dissolvantur in vobis*. Mox pro ἀναλωκέναι legi vult Reisk. in anim. p. 22. ἀναλωκυῖαν, haud dubie, quod sequitur: κεκτημένην. G.

Ἐν ὑμῖν μὴ κωλ.] Nil opus suppleto, ὁρᾶτε, sed, μὴ κωλυθῇ est, nolite impedire, i. e. relinquere, omittere, abjicere. Ἐν ὑμῖν est, a vobis, certe, apud vos. Quid tamen, si scripsisset Thuc. κολουθῇ vel κολουσθῇ, mutilentur, debilitentur, manca et fracta sint? Non assevero; sed tamen commode scriberet. BAVER.

Νῦν ὑπενδῶμεν] Cl. νῦν μὴ ὑπενδῶμεν, prorsus contra Auctoris mentem. Idem p. 352. 5. male μῖσος γάρ. WASS.

Καταλελείψεται] Perinde est, legatur sic, an καταλείψεται, quod recepit Baverus. Exempla fut. medii, positi passive, satis obvia sunt, et collegit satis multa Abresch. p. 294. in auct. et ab aliis factum, veluti Ernest. ad Xenoph. III. 7. fin. p. 139. Duck. ad Thuc. VII. 25. etc. GOTTL.

Καὶ μεγίστην ᾠκήσαμεν] In marg. Ald. Vin. ᾠκίσαμεν. Sed vulgata recte se habet. G.

Ὅ τε δρᾷν τι βουλόμενος, καὶ αὐτὸς] Reiskius in anim. l. c. comma post καὶ αὐτὸς promovendum esse censet. G.

Ὅστις—βουλεύεται] Plutarch. Moral. p. 73. Et ibi cum Ms. legendum μείζω, pro μείζονα, et γιγνώσκων. Huc etiam spectat p. 535. Pindarus, quem sequi videtur P. I. 162.

μῖσος μὲν γὰρ οὐκ ἐπιπολὺ ἀντέχει· ἡ δὲ παραυτίκα τε λαμπρότης, καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγνόντες, ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν, τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε· καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε, μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι. ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσι."

ξέ. 65. Τοιαῦτα ὁ Περικλῆς λέγων, ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐς αὐτὸν ὀργῆς παραλύειν, καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον, ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο· ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο· ὁ μὲν δῆμος, ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος, ἐστέρητο καὶ τούτων· οἱ δὲ δυνατοὶ, καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες· τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μέν-

Ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει, μάλιστ' ἐσθλοῖσιν ἐπ' ἀλλοτρίοις.
Ἀλλ' ὁμῶς, κρέσσων γὰρ οἰκτιρμῶν φθόνος.
Wass.

Ὑμεῖς δὲ ἔς τε τὸ μέλλον—] Ordo est: ὑμεῖς δὲ προγνόντες (ταῦτα) κτήσασθε τῷ ἤδη προθύμῳ ἀμφότερα (n. τήν τε παραυτίκα λαμπρότητα καὶ τὴν ἐς τὸ ἔπειτα δόξαν ἀείμνηστον), ἔς τε τὸ μέλλον καλὸν, ἔς τε τὸ αὐτίκα μὴ αἰσχρόν. vid. Abresch. Diluc. p. 253. G.

Ἔνδηλοι ἔστε] Vitium scribendi sustuli, ἔνδηλοί ἔστε· est enim ἔστε imperat., ut in superioribus verbis. Monuit id jam Abresch. Dil. p. 253. G.

Ἐπ' αὐτὸν ὀργῆς] Thucydides sæpe ἐπὶ cum accusativo pro κατὰ ponit: ob quam causam, et quia etiam alii Scriptores Attici ita loquuntur, Henr. Stephan. Append. ad Script. de Dial. p. 123. hoc Atticum genus loquendi esse putat. Duck.

Τῆς τε ἐς αὐτὸν—] Sic correxi e codd. pro ἐπ' αὐτὸν, quod comprobat Valkenar. ad Eurip. Phœniss. p. 28. Sic Noster L. I. 33. τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας— Mox παραλύειν, *liberare ira, ex animo expellere iram.* Hesych. παρέλυσε, καθεῖλεν, ἐξέβαλε. Plut. in Pericl. p. 662. simplici utitur: οὐ μὴν ἔλυσε τὴν ὀργὴν, nisi ibidem legendum est, ut vult Reiskius, παρέλυσε. G.

Ἀνεπείθοντο) i. e. μετεπείθοντο, *ejus rationibus in aliam sententiam adducebantur.* v. Schol. ad VI. 89. Plut. l. c. οὐδὲ μετέπεισε πρότερον. G.

Ὁ μὲν πένης] In meo vet. exempl. scriptum est ὁ μὲν δῆμος. Ac mihi nescio quid suspicionis oboritur, aliquem illo πένης hoc δῆμος exponere voluisse: nisi forte adversus hanc lectionem objici istud potest, δήμου appellationem ultra πένητας extendi. Steph. Πένης. Gr. Cl. Steph. 1. Marg. Cam. δῆμος, recte. πένης et δυνατοὶ non opponuntur, δῆμος et δυνατοὶ perbene. Nec δῆμος tantum *civis*, sed et *vulgus*: ita Glossæ vett. Sic apud Homerum δῆμον et ἔξοχον ἄνδρα: apud nostrum δῆμος καὶ οἱ ὀλίγοι. et, τὰς ἀρχὰς καὶ τὸν δῆμον p. 307. Magistri etiam δῆμον ἐόντα exponunt ἕνα τῶν πολλῶν. Xenoph. Cyrop. στέγαι δ' εἰ καὶ ἡμῖν αὐτοῖς, nempe ducibus, ἀλλὰ οὐ τῷ δήμῳ τῶν στρατιωτῶν, non item gregariis. Vulgus apud Sallustium et *nobiles* includit; sed sine *gratia*, sine auctoritate, addo etiam sine *re familiari*. Wass. Locus Homeri est Iliad. β'. 188. Ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη, et 198. Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι. Ubi Schol. parv. δημοτικὸν, τοῦ πλήθους. Sophocl. Ajac. 1090. ἄνδρα δημότην opponit τοῖς ἐφεστῶσι, imperantibus. Add. Camerar. ad Xenoph. Παιδ. p. 374. Duck.

Ὁ μὲν δῆμος] Ita correxi e bonis codd. pro πένης, quæ vox glossam sapit, ut præter Stephanum Wassius et Duckerus monuere, qui sunt adeundi. Gottl

τοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασιν. ὕστερον δ᾽ αὖθις οὐ πολλῷ (ὅπερ φιλεῖ ὅμιλος ποιεῖν) στρατηγὸν εἵλοντο, καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν· ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ἡ ξύμπασα πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο, καὶ ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο ἐπ᾽ ἐκείνου μεγίστη· ἐπειδή τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη, καὶ ἓξ μῆνας· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπιπλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον. ὁ μὲν γὰρ, ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ, μηδὲ τῇ πόλει κινδυνεύοντας, ἔφη, περιέσεσθαι. οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου, δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας, καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν· ἃ κατορθούμενα μὲν, τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν· σφαλέντα δὲ, τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. αἴτιον δ᾽ ἦν, ὅτι ἐκεῖνος μὲν, δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευ-

Ἐζημίωσαν] Ὀγδοήκοντα ταλάντοις, inquit Diodor. pag. 310. b. vid. Aristoph. Acharn. 32. Αὐτὸν non prorsus male omittit Ar. Paulo post Gr. ὁ ὅμιλος, quomodo Philo et Herodotus. WASS. Respicit ad hunc locum Aristides Tom. III. pag. 401. DUCK.

Plut. l. c. ὧν ἀριθμὸν οἱ τὸν ἐλάχιστον πεντεκαίδεκα τάλαντα, πεντήκοντα, οἱ τὸν πλεῖστον γράφουσι. Diod. Sic. L. XII. p. 509. octoginta talenta scripsit. Non mutandum censet Wesselingius, laudato loco Plutarchi, hunc numerum, quod hic Diodorum non habuerit ante oculos. G.

Ἀμβλύτεροι] Confer Plutarch. Pericl. p. 171. Periclem μεγαλοπρεπῶς σοφὸν vocat Plato p. 425. filios non laudat. WASS.

Ὅσον τε γὰρ—ὁ ἐς Σικελίαν πλοῦς] Hæc e Thucydide descripsit Aristides Tom. III. p. 200. Confer Aristot. tamen Polit. Β΄. 12. Laudat Max. Tyrius p. 429. Isocrates 270. Adi Platonem p. 351. WASS.

Ὅσον τε γὰρ—] Hunc locum excerpsit Aristides Orat. Plat. II. p. 120. Jebb. G.

Ἀσφαλῶς] Aristid. ὡς ἀσφαλῶς. et pro ἐπ᾽ ἐκείνου, ἐπ᾽ αὐτοῦ. WASS. Mox etiam ἐπειδὴ δὲ ὁ π. DUCK.

Aristid. l. c. ὡς ἀσφαλῶς. Redundat, ut notum, ὡς, ut in ὡς ἀληθῶς, ὡς ἑτέρως. v. Reisk. animadv. ad Aristid. p. 232. et 467. G.

Ὁ πόλεμος κατέστη] Aristid. p. 126. legit συνέστη. Mox ἡ πρόνοια ἐς τὸν πόλεμον est γνώμη, ξύνεσις. v. c. 62. GOTTL.

Ἐπιπλέον] Huc spectat Libanius Orat. parentali in Julianum Imp. pag. 363. Ἐπὶ πλεῖον Aristides: sed male omittit ἡ post αὐτούς. WASS.

Κακῶς—ἐπολίτευσαν] Thom. Mag. in πολιτεύομαι. Sed vitiose in Editis ἔσται pro ἔς τε. DUCK.

Ἰδιώταις] Suidas h. v. ἰδιῶται, ἀντὶ τοῦ πολῖται, cives. Sic et Hesychius, qui etiam addit ὁπλίτας, ἀπείρους. v. Aristophan. WASS.

Ἀδωρότατος] Plutarch. Pericl. 161. ubi legerim προσφέροντα σωτήρια. Sallust. Invictus adversum divitias. Pro τε διαφανῶς Thom. Mag. h. v. δὲ διαφ. WASS.

θέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ, ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ, κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν, πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι· καὶ δεδιότας αὖ ἀλόγως, ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν, δημοκρατία, ἔργῳ δὲ, ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δὲ ὕστερον, ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. ἐξ ὧν ἄλλα τε πολλὰ, ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη, καὶ ὁ ἐς Σικελίαν πλοῦς· ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες, οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαφορὰς περὶ τῆς τοῦ δήμου προστασίας, τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν, καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλέονι μορίῳ, καὶ κατὰ τὴν πόλιν

Οὐκ ἤγετο μᾶλλον] Aristid. Tom. III. p. 442. Idem.

Οὐκ ἤγετο μᾶλλον—ἢ αὐτὸς ἦγε] i. e. *non ab iis se regi passus est, sed eos rexit.* Οὐ μᾶλλον est, ut οὐδὲν μᾶλλον, apud Atticos, οὐ. v. Greg. de dial. p. 24. Kœn. G.

Ἔχων—ἀντειπεῖν] Thom. Mag. in ἀξιῶ. Vid. Demosth. contra Aristogiton. p. 458. Wass. Thomas quoque omittit τι. Duck.

Ἐπ' ἀξιώσει] i. e. μετ' ἀξίας, *cum auctoritate.* Sic Reisk. l. c. ἔχων sc. δύναμιν. Thom. M. in ἀξιῶ, p. 79. explicat, laudato hoc loco: τιμὴν καὶ προσόν τινι ἀξίωμα, quod perinde est. Ὀργὴ h. l. est vehementia, contentio dicendi. Τὸ τὶ quod sequitur, abest ab Aristide et Thoma, et posset abesse, quod illud præcessit. Sed consentientibus codd. non movendum est suo loco. G.

Ἐπ' ἀξιώσει] Possis etiam vertere, propter auctoritatem et dignationem, in qua ageret. Sed B. Gottl. explicatio magis probetur. Illam probanti, comma ponendum erit post ἔχων et ἀξιώσει. Baver.

Πρὸς ὀργήν τι] Omittunt τι Aristidis exemplaria mendose. Wass. Variant apud eum etiam alia nonnulla. εἰς aliquoties pro ἐς. v. 7. αἴτιον δὲ ἦν, et v. 8. χρημάτων δὲ, quod et Thomas habet. v. 9. πρὸς ἡδονὴν λέγειν. v. 12, ἐγίνετο, et ἔργῳ δ' ὑπό. v. 13. οἱ δ' ὕστεροι ἴσοι μᾶλλον αὐτοί. Duck.

Λόγῳ—ἀρχή.] Plutarch. Moral. 802. In Aristide Ed. Canterb. p. 202. est ὕστεροι, quod, ob hiatum, non improbo. verum paulo supra, κατέπληττεν. Noster vero aliter. Mox v. 14. καὶ omittit etiam Aristides. Wass. Λόγῳ et ἔργῳ, item λόγῳ et ἀληθείᾳ opponuntur apud Græcos, ut ap. Latinos *verbo* et *re.* Malasp. ad Ciceron. III. ad Attic. 12. Wass. ad Sallust. Jug. XIV. Duck.

Λόγῳ μὲν] v. supra c. 37. in orat. funebri Periclis: ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας ἥκειν, δημοκρατία κέκληται— Gottl.

Καὶ τὰ πράγματα] Abest καὶ a codd. quibusdam et ab Aristide. Quodsi profectum est a Thucydide, Reiskius in anim. p. 22. putat, Nostrum scripsisse: ἑαυτοὺς καὶ τὰ πράγματα· ad locum Aristidis autem conjicit (p. 467.) τῷ δήμῳ ὁμιλεῖν καὶ τὰ πράγματα ἐνδιδόναι. G.

Καὶ τὰ πράγμ.] i. e. *ipsam* adeo remp. *ipsas* caussas et commoda reip. Possis et sic: vertebantur ad voluptates populo, i. e. ad ea, quæ jucunda essent multitudini, (more Nostri, substantivo jungentis casum verbi in Nomine latentis, ut ἐπιτειχισμὸς τῇ χώρᾳ.) et (vertebantur, πρὸς τὸ) ad condonandas

ἤδη ἐν στάσει ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις, καὶ τοῖς ἀπὸ Σικελίας μετ᾽ αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλέοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν. καὶ οὐ πρότερον ἐνέδοσαν, ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε, ἀφ᾽ ὧν αὐτὸς προέγνω, καὶ πάνυ ἂν ῥαδίως περιγενέσθαι τὴν πόλιν τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

ξστ΄. 66. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Ἀθηναίοις ξυνεμάχουν. ἐπέπλεον δὲ Λακεδαιμονίων χίλιοι ὁπλῖται, καὶ Κνῆμος Σπαρτιάτης ναύαρχος. ἀποβάντες δὲ ἐς τὴν γῆν, ἐδῄωσαν τὰ πολλά. καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ᾽ οἴκου.

ξζ΄. 67. Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος, Ἀριστεὺς Κορίνθιος, καὶ Λακεδαιμονίων πρέσβεις, Ἀνήριστος, καὶ Νικόλαος, καὶ Στρατόδημος, καὶ Τεγεάτης Τιμαγόρας, καὶ Ἀρ-

populo caussas reipubl. Illud simplicius. Baver.

Μετ᾽ αὐτῶν] Abresch. Auct. p. 295. *αὐτῶν* non male accipi posse pro *μόνων*. v. quæ præcedunt. Gottl.

Τοσοῦτον—πολέμῳ] Aristides III. p. 202. Wass.

Τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε—] *Tantum præstabat reliquis tunc temporis ingenio, quo adjutus res futuras ante capiebat.* Gottl.

Ἐπερίσσ. τῷ Περ.] Cur non ad verbum: tantum (virtutis) superabat, suppetebat, supererat, abundabat, suppeditabat Pericli ad, rel. ut Liv. L. 2. de Appio; "tantum superabat animi ad sustinendam invidiam." Baver.

Αὐτῶν] Gr. *αὐτῷ τῷ π.* Cum Editis Aristides. utraque vox sine sententiæ dispendio abesse potest. Τῶν etiam apud Aristid. deest. Wass.

Reiskius in anim. l. c. conjicit *πάντων*, aut *τούτῳ*. Certe offendit *αὐτῶν*, quod cum *τῷ* posset abesse, ut jam monuit Wasseus. Mox ad v. ἐς Ζάκυνθον, in Aug. scriptum: *πόθεν οἱ Ζακύνθιοι.* G.

Πελοπ. αὐτῶν] Incommodum est illud *αὐτῶν*· verti tamen posset, ut *ipsos* etiam Peloponnesios vincerent. Baver.

Ἀνήριστος] Sperthiæ filius, secundum Herodotum VII. 138. qui hanc historiam attigit. Nicolaus fuit Bulis F. G.

Στρατόδημος] Ita correxi pro Πρατόδημος. Probabat lectionem, quam recepimus, Valkenar. ad Herodot. l. c. p. 565. Gottl.

Καὶ Ἀργεῖος ἰδίᾳ, Πόλις] Distinctionis notam post ἰδίᾳ delendam censeo. Verum utrum Πόλις an Πόλλις verior sit scriptura, non ausim. Πόλλιν τὸν Ἀργεῖον, qui Syracusis regnavit, memorat Athenæus l. 1. pag. 31. atque etiam Πόλις ὁ Ἀθηναῖος apud Eundem occurrit, l. 2. p. 477. Huds. Πόλις et Πόλλις, proprium, etiam apud alios permutantur. Vid. Interpretes Polluc. VI. 15. et Æliani XII. V. H. 31. Sic, qui Diodoro Siculo XV. 475. est Polis, apud Plutarch. Dion. princip. dicitur Pollis Spartiates. Nam eumdem esse, de quo Plutarchus et Diodorus agunt, intelligitur e Diog. Laërt. III. 19. 20. Polin Ducem coloniæ Amyclæorum et Spartiatarum, qui in Creta consederunt, memorat apud Photium Conon Narrat. 36. et 47. Ἰδιαίπολις, quod quidam Mss. habent, potuit oriri ex ι adscripto diphthongi impropriæ. Duck.

γεῖος ἰδίᾳ Πόλλις, πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴπως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θρᾴκην, βουλόμενοι πεῖσαί τε αὐτὸν, εἰ δύναιντο, μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας, στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν· καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς, καὶ, ᾗπερ ὥρμηντο, δι' ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. παρατυχόντες δὲ Ἀθηναίων πρέσβεις, Λέαρχος ὁ Καλλιμάχου, καὶ Ἀμεινιάδης ὁ Φιλήμονος παρὰ τῷ Σιτάλκῃ, πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱὸν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ, διαβάντες ὡς βασιλέα, τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. ὁ δὲ, πεισθεὶς, πορευομένους αὐτοὺς διὰ τῆς Θρᾴκης ἐπὶ τὸ πλοῖον, ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν, πρὶν ἐσβαίνειν, ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου· καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι. οἱ δὲ, λαβόντες, ἐκόμισαν ἐς τὰς Ἀθήνας. ἀφικομένων δὲ αὐτῶν, δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα, μὴ αὖθις σφᾶς ἔτι πλέω κακουργῇ διαφυγὼν, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντ' ἐφαίνετο πράξας, ἀκρίτους καὶ βουλο-

Πόλλις] Sic scripsi e bonis codd. pro Πόλις, et comma delevi post ἰδίᾳ· non enim divellendum est Πόλις et Ἀργεῖος. Sic Πόλλις apud Diod. XV. p. 28. *ναύαρχος* Lacedæmoniorum scribitur pro Πόλις. v. Wessel. ad l. c. Reiskius in anim. p. 22. quoque correxit Πόλλις. G.

Ὡς βασιλέα] n. *τὸν μέγαν*, Persarum, Darium Nothum. Plene *ὡς πρὸς βασιλέα*. Mox in Mosqu. pro *ὡς Σιτάλκην* est ἐς, ab imperito librario ortum. Satis multa de usu h. part. eruditi viri dixerunt. v. sis, Ernest. ad Xenoph. Memor. II. 7. 2. Mox *ἀναπέμψειν* verum est, *ἀναπέμπειν* est a sciolis ob *τὸ ἔμελλεν* refictum. G.

Βοηθεῖν *τε αὐτοῖς*] In Flor. Vinar. ad marg. emendavit docta manus: leg. *βοηθοῦντα*. Sed minus est necessaria correctio. Construitur *παύω* cum infin v. c. *παύσω σε ποιεῖν τοῦτο*. Παῦσαι pendet a *βουλόμενοι*, nec jungitur *τῷ πεῖσαι*· "*volentes efficere, ut desisteret opem iis ferre.*" Sic et Stephanus h. l. explicat in Thes. Gr. lingu. s. h. voce p. 104. (T. III.) qui et alia exempla laudavit. Acacius in Adnott. ad h. l. putat, h. v. distingui posse sic: *καὶ παῦσαι· βοηθεῖν τε αὐτοῖς*, "*ut exercitum eorum Potidæam obsidentem depelleret, Lacedæmoniisque opem ferret.*" Dure. Subint. esset: *τὸ στράτευμα*, l. *αὐτοὺς τῆς πολιορκίας*. Infin. autem pendet a *βουλόμενοι*, (*πεῖσαί τε αὐτὸν*) *καὶ παῦσαι*. G.

Παρὰ τῷ Σιτάλκῃ, πείθουσι] Herodotus l. c. parum accurate proditos dicit legatos a Sitalce, Terei filio, et a Nymphodoro, Abderitano. Mox *τὸν γεγενημένον Ἀθηναῖον*, opera Nymphodori, quem sibi conciliaverant Athenienses. v. L. II. 29. Ad quem locum spectant v. in Aug. ad h. versum: *Ταῦτα προείρηται*. G.

Πορευομένους—διὰ τῆς Θρᾴκης] Herodotus l. c. *ἥλωσαν κατὰ Βισάνθην, τὴν ἐν Ἑλλησπόντῳ*. Steph. de urbb. p. 425. *Βισάνθη, πόλις Μακεδονίας κατὰ Θρᾴκην ἄποικος Σαμίων*. Sed revera fuit urbs Thraciæ, in ora Ponti sita. v. Berkel. Mox *ἀπέκτειναν πάντας*, Herodotus: *ἀπέθανον ὑπὸ Ἀθηναίων*, quod idem est. G.

Ἔμελλον—περ.] Thom. Magist. Wass. Thomas adnotat, *περαιοῦμαι* dicendum, quam-

μένους ἔστιν ἃ εἰπεῖν, αὐθημερὸν ἀπέκτειναν πάντας, καὶ ἐς φάραγγας ἐσέβαλον· δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι, οἷσπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων, ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες, καὶ ἐς φάραγγας ἐσβαλόντες. πάντας γὰρ δὴ κατ᾽ ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι, ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ, ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας, καὶ τοὺς μηδὲ μεθ᾽ ἑτέρων.

ξή. 68. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, καὶ Ἀμπρακιῶται, αὐτοί τε, καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες, ἐστράτευσαν ἐπ᾽ Ἄργος τὸ Ἀμφιλοχικὸν, καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε, μετὰ τὰ Τρωϊκὰ οἴκαδε ἀναχωρήσας, καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει, Ἀμφίλοχος ὁ Ἀμφιάρεω, ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας, καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι, Ἀμπρακιώτας ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ ξυνοίκους

vis Thucydides περαιῶ dicat. Apud eum pro ὡς ex hoc loco legendum est ᾧ. Duck.

Ἀπέκτειναν πάντας] Confer omnino Herodot. VII. 137. Wass.

Οἷσπερ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν] *Qua pœna Lacedæmonii prius affecerant, ulti erant Athenienses.* v. Valken. ad Herod. l. c. Bene Scholiastes. Hesych. ὑπάρξας, κατάρξας, et ὑπάρχει, προκατάρχει. v. Valken. Cel. de hac v. disserentem in Eurip. Phœn. pag. 532. nec prætermisit hunc locum laudare. G.

Αὐτοί τε, καὶ τῶν βαρβάρων πολλοὺς—] Pro αὐτοί τε καὶ πολλοὶ τῶν βαρβάρων, ἀναστήσαντες αὐτοὺς, ἐστράτευσαν— nomen effertur casu pronominis omissi. Recte cepit Interpres, quem probat Abreschius Diluc. p. 254. Gottl.

Ἐπ᾽ Ἄργος] Recepi e MSS. ἐπ᾽ Ἄργος, pro ἐπὶ τὸ Ἄργος, probante hanc scripturam Eruditiss. Valkenar. ad Eurip. Phœn. p. 28. G.

Ἀμφίλ. ὁ Ἀμφ.] Magnus quidem Autorum dissensus super conditore Argi Amphil. Vide Nonnium ad Goltzii Græciam, et Strab. p. 326. Amphilochum ex Apollinis oraculo Argos condidisse scribit Appollodorus, l. 3. sed Amphilochum non Amphiarai filium (ut Thucydides, Scymnus Chius, Aliique) sed ejus ex Alcmæone nepotem facit. Vide Palmerii Gr. Antiq. p. 382. etc. Huds. Vide Strabonem VII. 326. Apollodorum III. 7. Pausan. II. 18. et Herodotum III. 91. Domum reversus est A. M. 2823. ante Christum natum 1182. Apollodorus Ephorum secutus est, ut ex Strabonis X. p. 462. abunde patet. Wass.

Euripides (in Alcmæone διὰ ψηφίδος) apud Apollod. III. 7. 7. fin. tradit, Amphilochum, filium Amphiarai, Argos Amphilochicum condidisse. Ita quoque Strabo VII. p. 501. Sed idem Strabo p. 502. hunc l. Thucydidis excitat: Θουκυδίδης δέ φησιν, αὐτὸν Ἀμφίλοχον μετὰ τὸν ἐκ Τροίας ἐπάνοδον δυσαρεστοῦντα τοῖς ἐν Ἄργει, παρελθεῖν εἰς τὴν Ἀκαρνανίαν— κτίσαι τὴν πόλιν ἐπώνυμον ἑαυτοῦ. Sed is, ad quem hoc refertur, Alcmæonis frater est. Paullo ante: Ἄργος—ἔκτισε μετὰ τὰ Τρωϊκὰ οἴκαδε ἀναχωρήσας— Interfuit n. navigationi ad Trojam. Fuit inter Helenæ procos (Apollod. III. 10. 8.), et claros vates. v. Illustr. Heyn. ad Apollod. p. 654. (P. II.) Gottl.

ἐπηγάγοντο· καὶ Ἑλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων. οἱ δὲ ἄλλοι Ἀμφίλοχοι, βάρβαροί εἰσιν. ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ, καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. οἱ δ' Ἀμφίλοχοι, γενομένου τούτου, διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προσεκαλέσαντο ἀμφότεροι Ἀθηναίους· οἳ αὐτοῖς Φορμίωνά τε στρατηγὸν ἔπεμψαν, καὶ ναῦς τριάκοντα. ἀφικομένου δὲ τοῦ Φορμίωνος, αἱροῦσι κατὰ κράτος Ἄργος, καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν. κοινῇ τε ᾤκησαν αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὑτῶν τε καὶ Χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε πρὸς τὸ Ἄργος, τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώρησαν ἐπ' οἴκου, καὶ διελύθησαν κατὰ ἔθνη. τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο.

ξθ'. 69. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον, καὶ Φορμίωνα στρατηγόν· ὅς, ὁρμώμενος ἐκ Ναυπάκτου, φυλακὴν εἶχε, μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα, μήτ'

Γλῶσσαν] Cl. perperam γλῶτταν. Wass.

Καὶ προσεκαλέσαντο] Si participium vel hoc, vel illud ponatur, nullum copula καὶ locum habebit. Nec vero ea, quam post
-αι -αι
γρ habes (ubi scriptum est γρ καὶ) ad parti-
-αι
cipium pertinet, sed ad illud γρ, id est, *hæc quoque scriptura extat*. Steph. Loquitur de varia lectione, quæ adscripta est margini Ed. 2. Steph. et Wech. Duck.

Ἀμφίλοχοι] In Flor. Vin. Marg. Ἀμφιλόχιοι. G.

Ἔχθραν ἐς τοὺς Ἀργείους] Structura est Herodotea, v. c. V. 81. p. 412. ἡ ἔχθρη ἐς Ἀθηναίους, paullo ante ἔχθρης— ἐς Ἀθηναίους. cf. VI. 65. v. Valken. qui non oblitus est h. l. G.

Ἐν τῷ πολέμῳ] Steph. suspicatur, Thuc. scripsisse: πολέμῳ τῷδε, et videri Scholiasten sic legisse, ob interpretationem. Si ita esset; usitatius certe scripsisset: ἐν τῷδε τῷ πολέμῳ. Sed nulla correctione opus est, quum apud Nostrum etiam hic art. pro οὗτος ponatur. Infra c. 70. Ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο, i. e. ἐν τούτῳ τῷ χειμῶνι— Mox in fine h. cap. ἐν τῷ θέρει, ubi in cod. Bas. ἐν τῷ θέρει τούτῳ, quæ esse glossa videtur. v. Gloss. G.

Στρατείαν] Ita Cl. Gr. recte. Wass. qui sic edi voluit. Duck.

Βαρβάρων] Chaonas barbaros fuisse ex h. l. et Cap. LXXX. infr. hoc Lib. item e Scymno Chio ostendit Palmer. II. Græc. Ant. 2. pag. 231. Duck.

Κρισαίου] Geminant quidem σ Isocrates Plataic. 443. 30. Strabonis exemplaria, et Homerus Hymn. Apoll. quinquies, semel cum Var. Lect. Callimachus Hymn. in Del. Pausanias, Suidas, Plinius, Antoninus Liberalis. Contra Herodotus VIII. 32. Sophocles Elect. Epit. Strabonis, Pindar. Pyth. V. 49. et Schol. Lycophron. in Cod. Seld. Nonnus Dionys. XIII. 358. et Hesych. Etymol. Κρίσα. vid. Schol. Sophocl. Elect. p. 89. In Pindaro Codex Cant. Βατ-

ἐσπλεῖν· ἑτέρας δὲ ἓξ ἐπὶ Καρίας Λυκίας, καὶ Μελήσανδρον στρατηγὸν, ὅπως ταῦτά τε ἀργυρολογῶσι, καὶ τὸ λῃστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν, αὐτόθεν ὁρμώμενον, βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης, καὶ τῆς ἐκεῖθεν ἠπείρου. ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν Λυκίαν ὁ Μελήσανδρος, ἀποθνήσκει, καὶ τῆς στρατιᾶς μέρος τὶ διέφθειρε, νικηθεὶς μάχῃ.

ό. 70. Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται, ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττικὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπανίστασαν τοὺς Ἀθηναίους, ὅ, τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας, καί τινες καὶ ἀλλήλων ἐγεύοντο, οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου, καὶ Εστιοδώρῳ τῷ Ἀριστοκλείδου, καὶ Φανομάχῳ τῷ Καλλιμάχου. οἱ δὲ προσεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς τὴν πολιορκίαν. ἐπὶ τοῖσδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς, καὶ παῖδας καὶ γυναῖκας, καὶ τοὺς ἐπικούρους, ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας

τιδᾶν, et δωδεκαδρόμων, recte. Κρίσσα Ptolemæus, at Ms. Coislin. Κρίσα. Wass.

Κρισσαίου] Scriptura variat in libr. vett.; quæ habet duplex σ, est recentior. v. Eust. ad Hom. p. 273. Rom. Steph. de urbb. p. 480. Κρίσα, πόλις Φωκίδος—ἀπὸ Κρίσου, Φώκου υἱοῦ. Τὸ ἐθνικὸν Κρισαῖος, καὶ Κρισαῖον πεδίον, veluti apud Callim. H. in Del. v. 178. Καὶ πεδία Κρισσαῖα—ubi vid. Ernest. p. 180. G.

Βλάπτειν τὸν πλοῦν] Plautus Mil. "Jura te non nociturum esse neminem." Pro νικηθεὶς fortasse reponendum ἡσσηθείς. Wass. Nomen Ducis, quem memorat Thucydides, Μελήσανδρος an Μελίσανδρος fuerit, non facile dictu est. Μελίσανδρον Milesium, Scriptorem Homero vetustiorem, memorat Ælian. XI. V. H. 2. Duck.

Ἀλλ' αἵ τε] Hæc eodem ordine verborum leguntur in Corintho, quo in Ar. C. et Dan. et mox τοὺς Ἀθηναίους ἀπανίστασαν. Idem ex hoc loco scribit, Atticos οὐδὲν μᾶλλον pro οὐ dicere: de quo vid. Stephan. Append. ad Script. de Dialect. p. 25. Duck.

Ἀλλ' αἵ τε—τοὺς Ἀθηναίους] Hunc locum laudavit Gregor. de Dial. p. 24. a. v. ἀλλ'—ἀπανίστασαν, ut probaret, οὐδὲν μᾶλλον esse ἀντὶ τοῦ οὐ. Ordo ibi est: αἵ τε ἐσβ. ἐς τ. Ἀ.—v. Schol. Aug. G.

Ἄλλα τε πολλὰ—ἤδη] Reisk. conjicit in anim. l. c. ἀήδη, *injucunda, acerba*. G.

Καί τινες ἀλλ.] Καί που τινὲς ἀλλήλων ἐγεύσαντο legit Suidas, locum hunc citans: qui etiam ἀλλήλων pro ἑαυτῶν positum dicit. Huds.

Λόγους προσφέρουσι] *Verba faciunt, sermonem inferunt*—Similis locus exstat L. III. 109. προσφέρει λόγον περὶ σπονδῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ἀκαρνάνων στρατηγοῖς—G.

Vertere malim conditionem tulere, *sie thaten ihnen einen Antrag, Vorschlag*. οὕτω δὴ, est, tum demum, victi necessitate. Bauer.

Δισχίλια τάλαντα] Χίλια Codd. Ar. et C. Sed Diodor. Sic. XII. 310. scribit, ante discessum Agnonis a Potidæa, de quo est supr. Cap. LVIII. plus mille talenta in eam obsidionem expensa fuisse. Deditio autem demum aliquot post mensibus facta est, quibus sumtum augeri necesse fuit. Duck.

δὲ ξὺν δυοῖν· καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον. καὶ οἱ μὲν, ὑπόσπονδοι ἐξῆλθον ἔς τε τὴν Χαλκιδικὴν, καὶ ἕκαστος ᾗ ἐδύνατο. Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς ἐπητιάσαντο, ὅτι ἄνευ αὐτῶν ξυνέβησαν (ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο) καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν, καὶ κατῴκισαν. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

οα΄. 71. Τοῦ δ' ἐπιγιγνομένου θέρους, οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν. ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεὺς, καὶ καθίσας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν· οἱ δὲ Πλαταιεῖς, εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν, ἔλεγον τοιάδε. "Ἀρχίδαμε, καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὐδ' ἄξια οὔτε ὑμῶν, οὔτε πατέρων ὧν ἐστε, ἐς γῆν τὴν Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων, μετὰ Ἑλλήνων, τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης, ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διῒ ἐλευθερίῳ ἱερὰ, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, ἀπεδίδου Πλαταιεῦσι, γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν· στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς, μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ μὴ, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν, ἀρετῆς ἕνεκα, καὶ προθυμίας τῆς

Ἔς τε τὴν Χαλκιδ.] Bene quidam Mss. ἐπὶ τὴν Χαλκ. Wass.

Ἧι ἐβούλοντο] Sc. ὁμολογίᾳ. Gottl.

Τοῦ δ' ἐπιγιγνομένου θέρους] Lectioni margini adscriptæ alii innumeri, qui eandem μετάβασιν habent, loci opponi possunt. Steph. Ἔτους Cl. et Gr. minus eleganter, et contra hujus morem. Cæterum hæc ad finem usque Cap. LXXIV. ob perspicuitatem laudat Dionys. Halic. p. 153. qui et θέρους legit. Wass.

Τοῦ δ' ἐπιγιγνομένου—] In Aug. adscriptum: ἔτος γ̄. n. res gestas anni III. B. P. nunc sequi. G.

Πλαταιεῖς] Sic rescripsimus pro Πλαταιῆς, præeuntibus optimis codd. In Aug. notatur ad h. v. Πλαταιέων δημηγορία πρὸς Ἀρχίδαμον. G.

Οὔτε ὑμῶν] Dion. Halic. οὔθ' ὑμῶν, uti apud Demosthenem. Noster Herodotum sequi videtur, apud quem οὔτε Ἑλλήνων, οὔτε ἥκιστα invenimus. Lucianus de Dea Syr. p. 677. οὔτε Ἱερέων. Vide plura ad calcem de Apostrophis. Wass.

Διῒ Ἐλευθερίῳ] Quanta sanctitate sit cultus hic Jupiter Ἐλευθέριος, pluribus docuit Bachius ad Xenoph. Œcon. p. 34. cf. Grammius de Diis e Xenoph. p. 10. G.

Ἀρετῆς—προθυμίας] Herodoti verba de Platæensibus respexit. vid. VIII. 1. Οἱ πατέρες, οἱ Cam. quomodo et alibi Auctor. neglexit Dionys. Halic. Wass.

Ἀρετῆς ἕνεκα] Hæc sunt verba Herod. VIII. 1. de Platæensibus: ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης Πλαταιέες—Locum prænotavit Wasseus. Gottl.

ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης· ὑμεῖς δὲ τἀναντία δρᾶτε. μετὰ γὰρ Θηβαίων, τῶν ἡμῖν ἐχθίστων, ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι, καὶ τοὺς ὑμετέρους πατρῴους, καὶ ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιΐδα μὴ ἀδικεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾷν δὲ οἰκεῖν αὐτονόμους, καθάπερ Παυσανίας ἐδικαίωσε."

οβ'. 72. Τοσαῦτα εἰπόντων Πλαταιέων, Ἀρχίδαμος ὑπολαβὼν εἶπεν. "Δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιεῖς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις. καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε, καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετασχόντες τῶν τότε κινδύνων, ὑμῖν τε ξυνώμοσαν, καὶ εἰσὶ νῦν ὑπ' Ἀθηναίοις· παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως· ἧς μάλιστα μὲν μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μὴ (ἅπερ καὶ τοπρότερον ἤδη προὐκαλεσάμεθα) ἡσυχίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων· δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ, μηδ' ἑτέρους. καὶ τάδε ἡμῖν ἀρέσκει." Ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιέων πρέσβεις ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν, καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες, ἀπεκρίναντο αὐτῷ· "Ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται, ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἴησαν. δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει, μὴ, ἐκείνων ἀποχωρησάντων, Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ

Τοὺς ὁρκίους] Formula juramenti, quo se mutuo obstrinxerunt Fœderati, extat apud Lycurgum Orat. adv. Leocratem. pag. 149. Hanov. Confer Plutarchum in Miltiade. Wass.

Ὑπολαβὼν εἶπε] *Suscipit.* Ita Latini, v. c. Varro, R. R. I. 23. *Suscipit* Agrasius. v. Schol. ad V. 49. et Abresch. Diluc. p. 531. Plato Phæd. c. 4. ὑπολαβὼν ἔφη. v. animadv. ad Phæd. p. 11. Notatu digna habet Hindenburg. anim. in Xenoph. Mem. p. 68. Mox δίκαια λέγετε. Solemnia verba in talibus. Demosth. κατὰ Διονυσιδώρου p. 1289. ἃ λέγομεν δίκαια—In Aug. ad h. v. scriptum est: Ἀρχιδάμου δημηγορία. G.

Ὦ ἄνδρες] Nomini Πλαταιῆς non præfigitur ἄνδρες in veteri libro: quæ tamen lectio magis Græcæ linguæ consuetudinem servare videtur: sicut ante ὦ Ἀρχίδαμε, magis quam Ἀρχίδαμε. Steph.

Ἢν ποιῆτε ὅμοια τοῖς λόγοις] In Aug. notatur: σημείωσαι λόγια. Innuit, opinor, quæ Pausanias Platæensibus præstiterat. Λόγια dicit A. hujus notulæ, quod hi λόγοι, tanquam oracula, prosa oratione essent concepta, cum χρησμοὶ versibus continerentur. (v. Schol. ad L. II. 8.) G.

Ἀρέσκει] Veram lectionem esse puto hanc, καὶ τάδε ἡμῖν ἀρέσκει: (id est, καὶ τάδε ἐστὶν ἃ ἡμῖν ἀρέσκει) etiamsi alteram Valla sequatur. Steph.

Ὅτι ἀδύνατα—] In Aug. ἀπόκρισις Πλαταιέων. Mox ad ὑμεῖς δὲ πόλιν, notatur: ἀπολογία Ἀρχιδάμου. Gottl.

Περί τῇ] Περὶ πάσῃ τῇ πόλει Dion. Halic. et melius. Wass.

Θηβαῖοι, ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν." ὁ δὲ, θαρσύνων αὐτοὺς πρὸς ταῦτα ἔφη. "Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας παράδοτε ἡμῖν τοῖς Λακεδαιμονίοις, καὶ γῆς ὅρους ἀποδείξατε, καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴτι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν. αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν. μέχρι δὲ τοῦ δὲ ἕξομεν παρακαταθήκην, ἐργαζόμενοι, καὶ φορὰν φέροντες, ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι."

ογ'. 73. Οἱ δ' ἀκούσαντες, ἐσῆλθον αὖθις ἐς τὴν πόλιν. καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους, ἔλεξαν· "Ὅτι βούλονται, ἃ προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον. καὶ, ἢν πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα." μέχρι δὲ τούτου, σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δῃοῦν. ὁ δὲ, ἡμέρας τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. ἐλθόντες δὲ οἱ Πλαταιεῖς πρέσβεις ὡς τοὺς Ἀθηναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· "Οὔτ' ἐν τῷ προτοῦ χρόνῳ, ὦ ἄνδρες Πλαταιεῖς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, Ἀθηναῖοι φασὶν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν. ἐπισκήπτουσί τε ὑμῖν, πρὸς τῶν ὅρκων, οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν."

οδ'. 74. Τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ Πλαταιεῖς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι

Ὅποι] Sic et Dionys. Halic. puto non bene. Wass.

Παρακαταθήκην] Agnoscit D. Halic. et Phrynichus, qui, Hippias παραθήκην, inquit. Nostrum sequuntur Demosth. Æsch. Isocr. Aristot. Polyb. Josephus 1144. Pausan. Pallux. Mœris Atticista. et ita locum hunc citat T. Magister. παραθήκη ab Herodoto est: usi Phocylides, Plutarchus, et recentiores. priore voce מלאכה *rem*, posteriore פקרח Seniores, a quibus accepisse videtur D. Paulus, Syriaco ܦܘܩܕܢܐ Variant tamen Codices et Patres. Apud Clementem lege cum Ottob. παρακαταθήκην, uti et 2 Macc. III. 10. 15. ex Alexand. Sed Tobit. X. 13. nescio an contra Mss. reponendum sit παραθήκη: phrasis est Herodotea, nec semel tantum invenitur. Wass.

Παρακαταθήκην] Reliqui Græci παραθήκην vocant, quam Attici παρακαταθήκην. G.

Μέχρι δὲ τούτο] Τούτου quoque Dionys. recte. τοῦδε præcesserat. Wass.

Τοιάδε] Quidam Mss. τάδε. Ita vix alibi Noster; et Dion. Halic. τοιάδε. Wass.

Πρὸς τῶν ὅρκων] *Per jusjurandum, quo patres se obstrinxerunt.* "Sie beschwören euch bey den feyerlichen Eidschwüren."—Sic πρὸς Διός—Gottl.

Ἐβουλεύσαντο] i. e. ἔγνωσαν, *decreverunt.* Videtur dixisse pro ἐβούλευσαν· medium enim significat: inter se deliberarunt. G.

καὶ γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας, καὶ ἄλλο πάσχοντας, ὅ, τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι, "Οτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν ἃ Λακεδαιμόνιοι προκαλοῦνται." ὡς δὲ ἀπεκρίνατο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων ὧδε. "Θεοὶ, ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε, καὶ ἥρωες, ξυνίστορές ἐστε, ὅτι οὔτε τὴν ἀρχὴν, ἀδίκως ἐκλιπόντων τῶνδε πρότερον τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν, καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν· οὔτε νῦν, ἤν τι ποιῶμεν, ἀδικήσομεν. προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν. ξυγ-

Γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας] legendum videtur: ἤδη ὁρῶντας, quod rectius videtur. Confundi εἰ δεῖ cum ἤδη, et ἤδη cum εἰ δεῖ, patet ex h. l. et L. III. 112. ubi est ἤδη, cum debeat esse εἰ δεῖ, ut scite observavit Heringa Obss. p. 151. G.

Ἀδύνατα] Sic etiam Dionys. Halic. et supra εἰ δέοι, quomodo legendum. Wass.

Ἐς ἐπιμαρτυρίαν—κατέστη] h. e. μάρτυρας τῶνδε τοὺς θεοὺς καὶ ἥρωας ἐγχωρίους ἐκάλει. G.

Θεοὶ· ὅσοι] Confer Euripid. Phœniss. v. 494. Wass. Plura loca scriptorum veterum, in quibus urbes, vel regiones ἔχειν dicuntur Dii, in quorum tutela eæ sunt, leg. apud Spanhem. ad Callim. hymn. in Pallad. v. 53. Duck.

Urbibus et regionibus fuisse Deos tutelares, notum est. Ita Jupiter πολιοῦχος et Minerva eodem nomine, præses arcis Atheniensis, celebrantur. v. Spanh. ad H. in Pall. p. 668. Gottl.

Ξυνίστορές ἐστε] In Cass. ξυνίστορες ἔστε, ut legendum putabat Stephanus. Paullo post Thom. Magist. in συνώμοτον, ἐκλιπόντων δὲ τῶνδε π. τ. ξυνώμ. ut quidam Mss., quod non improbandum, ac simul post ἀδίκως distinctionem cum Codd. Cass. ponendam putem. Duck.

Mutata est constructio et variata, ut monet Abresch. in Diluc. p. 255. ξυνίστορές ἐστε, ὅτι ἤλθομεν, et ξυγγνώμονες—κολάζεσθαι. Non admodum differunt inter se ξυνίστορες et ξυγγνώμονες. Ordo est secundum Abreschium l. c. ξυγγνώμονες δὲ ἔστε τ. μ. ὑπ. προτέροις τῆς ἀδικίας κολάζεσθαι (i. e. τυγχάνειν τῆς κολάσεως) τοῖς δὲ ἐπιφέρουσι νομ. τῆς τιμωρίας τυγχάνειν αὐτῆς. Quod vero Abreschius in v. ξυνίστορες subintelligit μὲν, quod sequitur δὲ, in v. ξυγγνώμονες, non probo. Significat enim δὲ, post paullo longiorem sermonem, cui quædam inservit, eumque redorditur, *igitur, itaque.* Vid. Obss. ad Plat. Alcib. I. princ. Stephanus ceterum malebat: ξυνίστορες ἔστε, et paullo post: ξυγγνώμονες ἔστε. Et sic vertit Interpres: *testes estote*, pro *testes estis*. Stephani ratio non inepta; et difficile videtur, hoc loco aliquid pronuntiare. Gottl.

Εὐξάμενοι] Post εὐξάμενοι additum ex veteri fuit ὑμῖν. Steph. Non intelligo quid velit. Nam jam dudum ante secundam illius Edit. in Vasc. et Bas. legebatur ὑμῖν. Nec dubito, quin etiam in aliis sit, quum ex iis nullam varietatem adnotaverit Hudsonus. Duck.

Ἐναγωνίσασθαι] i. e. ἀγωνίσασθαι ἐν αὐτῇ. Abresch. in Diluc. p. 256. monet, ita sumi h. v. apud Liban. T. II. p. 376. ut ἐνσπουδάσαι apud eundem p. 385. et 387. Sic Luc. 22. 5. συνέθεντο αὐτῷ ἀργύριον δοῦναι, καὶ ἐξωμολόγησε, i. e. ὡμολόγησεν ἐκ τοῦ ἀργυρίου, ὃ συνέθεντο αὐτῷ δοῦναι. v. Abresch. Adn. ad quædam loca N. T. p. 592. G.

Ἐναγωνίσασθαι] Sane est, in ea ipsa terra dimicare. Sed exemplum Luc. 22. 5. alienissimum est, quippe ubi nec sit præp. ἐν, neque ἐξομολογεῖν plus notet simplici, quod ex toto Novo Testam. appareat, v. c. Matt. 3. 5. Phil. 2. 11. Rom. 15. 9. et apud LXX. in plerisque Psalmorum; nec vero notare possit ἐκ, quod ei hic affingatur. Aptius afferret e Nostro, 3. 104. μηδένα ἐντίκτειν, μηδὲ ἐναποθνήσκειν, ne quis in illa insula (Delo) partum ederet aut moreretur, et 4. 25. ἐγκατελείφθησαν φρουροί. Miror, hic Abreschizare B. Gottl. qui alibi recte reprehenderit putidam illam asseverationem in particulis. Quid tandem ἐξανδραποδίζεσθαι plus affert, quam simplex ἀνδραποδίζειν? Bauer.

γνώμονες δέ ἐστε, τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως."

οέ. 75. Τοσαῦτα ἐπιθειάσας, καθίστη ἐς πόλεμον τὸν στρατόν· καὶ πρῶτον μὲν περιεσταύρωσεν αὐτοὺς τοῖς δένδρεσιν, ἃ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξιέναι· ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν, στρατεύματος τοσούτου ἐργαζομένου. ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος, παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπιπολὺ τὸ χῶμα. ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ, καὶ λίθους, καὶ γῆν, καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον. ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διῃρημένοι κατ᾽ ἀναπαύλας, ὥστε τοὺς μὲν, φέρειν, τοὺς δὲ, ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι. Λακεδαι-

Ἐπιθειάσας] Suidas h. v. τινὰ ἐπιθειάσας pro τοσαῦτα, hinc emendandus. Explicat τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος. Cave credas. Supra, ἐς ἐπιμαρτυρίαν θεῶν κατέστη, *obtestatus*: et sic vertendum, hic et infra. Obiter emenda Hesych. ἐπιθεάψει. leg. ἐπιθεάζει. Wass. Suidas quidem non male ita explicat ἐπιθειάσας: nam Pollux I. 16. inter verba, quæ de vatibus dicuntur, ut κατασχεθῆναι, καταληφθῆναι, πληρωθῆναι θεοῦ, et alia, etiam ponit ἐπιθειάσαι. Sed perperam ita interpretatur hunc locum, quod etiam Kusterus observavit. In Cod. Cass. hic est scholion κατευξάμενος. Duck.

Deos testes quum invocasset his verbis. Orus Milesius apud Etymologum contendit, a Thucydide esse ἐπιθεάσας, et interpretatur: θεοὺς ἐπικαλεσάμενος καὶ κατευξάμενος. v. Hemsterhus. τὸν πάνυ in præf. ad Hesych., qui exponit, ἐπιθεάσας, κατευξάμενος· et paullo ante, ἐπιθεάζει, θεοὺς ἐπικαλεῖται. Sed nihil mutandum censeo. Scholiastes cod. Cassel. explicat ἐπιθειάσας, κατευξάμενος. Celeb. Alberti ad Hesych. profert locum Achill. Tat. VII. p. 451. ubi ἐπιθειαζόντων est eodem sensu. Reiskius in Dil. Abresch. p. 256. corrigebat: τοιαῦτα δ᾽ ἐπιθειάσας, propter superius μὲν—ἐντεῦθεν δὴ—μὲν—G.

Περιεσταύρωσεν—ἐξιέναι·] Corinthus. Voc. δένδρεσιν agnoscit etiam Thom. Magister. Wass. Corinthus etiam καὶ πρῶτα habet. Περιεσταύρωσαν sive in exemplari suo invenit, sive de se posuit, sine detrimento sententiæ scribi potest. De σταυρώσει in obsidionibus urbium vid. Casaubon. ad Polyb. Lib. I. p. 179. Et de constructione aggerum e ligno, lapido, et terra Lips. II. Poliorcet. 3. Quod Corinthus et Scholiastes jubent adnotari τὸ δένδρος casu recto, de eo agit Stephanus Animadv. in Libr. de Dial. p. 25. qui nominativum τὸ δένδρος inusitatum, obliquos autem in usu esse dicit. Duck.

Δένδρεσιν] Poëticum verbum τὸ δένδρος, veluti apud Callim. H. in Cerer. v. 27. καλὸν ἄλσος ἐποιήσαντο Πελασγοὶ Δένδρεσιν ἀμφιλαφές—*lucum sacrarunt*—v. Ernest. p. 239. Δένδρεσιν excitarunt Thom. M. et Mœris p. 132. v. Eustath. ad Hom. Il. γ΄. v. 152. p. 396. Kœn. ad Gregor. p. 24. qui h. l. laudat, ut præmonuere Wasseus et Duckerus. Utitur quoque hoc verbo Herod. L. VI. p. 474. ubi v. Doctissimos Intt. et Piersonum ad Mœr. p. 132. qui δένδρεσι ex h. l. laudat, et ex aliis Scriptoribus. Mox pro ἔτι ἐξιέναι conjiciebat Reiskius ἐπεξιέναι. Male. Gottl.

Αὐτῶν] Τῶν Πλαταιέων, ut Portus in Var. Lect. quum præcedat πόλιν. Thucyd. I. 136. φεύγει ἐς Κέρκυραν ὢν αὐτῶν εὐεργέτης. Et sic alibi. Vid. ad I. 3. Duck.

Ξύλα—χῶμα] Habet Suidas in φορμηδόν. Wass.

Φορμηδὸν] Vid. Scholiast. Hesych. et Herodot. VIII. 71. Idem. Add. Casaubon. ad Æneæ Tactic. Cap. XXXII. et Schol. Thucyd. IV. 48. Duck.

Φορμηδὸν] i. e. ἐναλλὰξ, nos: *kreuzweise*, in formam storearum (*der Flechten*). cf. Schol. ad L. IV. 48: In Flor. Vin. expl. *canistrorum instar contexentes*. G.

Ἐφόρουν—ἐπιβαλλόμενον] Suidas in ἐφόρουν, ubi est τὴν ὕλην, et ἀνύσειν. De phrasi ὕπνον καὶ σῖτον αἱρεῖσθαι Leopard. VII. Emendation. 14. Duck.

Εἴ τι ἄλλο ἀνύτειν] Hunc locum laudat usque ad ἐπιβαλλόμενον Greg. de dial. p. 29. ut probaret, ἀνύτειν esse Atticorum. G.

μονίων τε οἱ ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. οἱ δὲ Πλαταιεῖς, ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχοῦτο, ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους, ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. ξύνδεσμος δ' ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ, ὑψηλὸν γιγνόμενον, ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα. καὶ προκαλύμματα εἶχε δέῤῥεις, καὶ διφθέρας, ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις οἰστοῖς βάλλεσθαι, ἐν ἀσφαλείᾳ τε εἶναι. ἤρετο δὲ τὸ ὕψος τοῦ τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανῄει αὐτῷ. καὶ οἱ Πλαταιεῖς τοιόνδε τι ἐπινοοῦσι. διελόντες τοῦ τείχους ᾗ προσέπιπτε τὸ χῶμα, ἐσεφόρουν τὴν γῆν.

οστʹ. 76. Οἱ δὲ Πελοποννήσιοι, αἰσθόμενοι, ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλον ἐς τὸ διῃρημένον, ὅπως μὴ διαχεόμενον, ὥσπερ ἡ γῆ, φοροῖτο. οἱ δὲ, ταύτῃ ἀποκλειόμενοι,

Ξεναγοί] Ms. Biblioth. Coislin. cujus Catalogum summo Viro B. Montefalconio debemus, pag. 237. explicat ξεναγῶν, ξενοδοχῶν. Verum, inquit, apud Thucyd. οἱ τῶν μισθοφόρων ἄρχοντες etc. Schol. exscribens. Vid. Hesych. Pollucis Mss. ξεναγωγὸς ex interprete habent non uno loco. Xenoph. pag. 503. τοὺς ξεναγοὺς, et pag. 518. ξεναγεῖν τοῦ ξενικοῦ. Suidas in ξεναγῶν, οἵ τε ξεναγοὶ ἐκ πάσης πόλεως ξυνεφεστῶτες ἠ. ἐ. τ. ἐ. Wass. Add. Herald. I. Adversar. 5. Duck.

Οἰκοδόμημα] In Ald. Vinar. in marg. est: οἴκημα, explicatio illius vocabuli. Gottl.

Προκαλύμματα] Confer Josephum B. Jud. III. 7. 10. ubi pro γυμνουμένους Codex Busb. γεγυμνωμένους, et pro ὑψοῦν, ἐνυψοῦν. Paulo supra etiam legendum πλῆθος ἀθρόον ὀϊστῶν cum Busb. Rhed. Ruf. Wass. Huc pertinent, quæ congesserunt Lips. V. Poliorcet. 9. et Freinshem. ad Curt. IV. 2. Thucydidem prope ad verbum descripsit Arrian. II. de Exped. Alex. 18. προκαλύμματα δὲ δέῤῥεις καὶ διφθέραι αὐτοῖς ἦσαν, et cet. ubi Vir Clariss. e Mss. plerisque videtur præferre αὐταῖς, nempe μηχαναῖς, et αὐτοῖς ad longinquius retrocedere dicit. Hoc non bene capio: nam ita dicit Arrianus, πύργους ἐπάνω τοῦ χώματος—ἐπέστησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. Προκαλύμματα δὲ cet. in quibus αὐτοῖς recte referri potest ad πύργοις, quod propius est, quam μηχανάς. Duck.

Διελόντες τοῦ τείχους—] *Indem sie in der Maver eine Lücke machten, da, wo der Wall daran stiess.* Ἐσεφόρουν τὴν γῆν, h. e. ἐφόρουν τὴν γῆν ἐς τὴν πόλιν. Mox ἐν ταρσοῖς καλάμου, i. e. πλεγμοῖς, ἀπὸ καλάμου πεποιημένοις, ut Schol. expositionem probat Wesseling. ad Herod. I. 179. a quo Noster desumsisse videtur. Marg. Flor. Vin. explicat: calathis e calamo contextis. Interpres Herodoti male vertit, *alas arundinum.* v. Wessel. d. l. Reprehenderat jam versionem Reisk. Misc. Lips. V. VII. p. 623. et Abresch. Diluc. p. 257. Mox pro ἐσεφόρουν Valla legit ἐξεφόρουν, *humum egerebant.* Male, ut seq. docent. G.

Ἐσεφόρουν] Confer Josephum B. Jud. V. 6. Wass.

Ἐν ταρσοῖς—εἰς τὸ διῃρημένον τοῦ τείχους] Suidas in ἐνείλλοντες. ultimas voces de suo addidit: Mss. enim non agnoscunt. Phavorinus Suidam exscribit. Rursus Suidas in εἴλλειν pro εἰσέβαλλον, quod priore loco est, habet ἐπέβαλον. Sed ibi forte reponendum est ἐσέβαλον, quod Idem in ταρσὸς agnoscit: ubi male ἐνείλοντες et τείχους, ut supra. Vid. Etymologum in ταῤῥοί. Wass.

Ὅπως μὴ διαχεόμενον] Æmilius Portus non ad χῶμα, sed ad πηλὸν refert, ita ut sensus sit: ὅπως μὴ ὁ πηλὸς διαχ.—ἐς τ. πόλιν ὑπὸ τῶν ἔνδον φοροῖτο. Ita tamen διαχεόμενος videtur scribendum fuisse. Sensus est: *So bald es die Peloponnesier merkten, fassten sie in Körbe von Schilf Schlamm, und warfen sie vor die Lücken, damit er nicht, so wie die Erde, in die Stadt getragen werden möchte.* Ex v. χώματος igitur, ad quod retulit Noster διαχεόμενον, desumendum est πηλὸς, per Synesin. G.

τοῦτο μὲν ἐπέσχον· ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες, καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπιπολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας ἧσσον ἀνύτειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος, καὶ ἱζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες δὲ, μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι, ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς ἐς τὴν πόλιν μηνοειδὲς προσῳκοδόμουν, ὅπως, εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν. καὶ προχωροῦντας εἴσω, διπλάσιόν τε πόνον ἔχειν, καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι· μίαν μὲν, ἣ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα, ἐπὶ μέγα τε κατέσεισε, καὶ τοὺς Πλαταιεῖς ἐφόβησεν· ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς, βρόχους τε περιβάλλοντες, ἀνέκλων οἱ Πλαταιεῖς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἁλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν, ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων, καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους, ἀνελκύσαντες ἐγκαρσίως, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανὴ, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι, καὶ οὐ διὰ χειρὸς ἔχοντες. ἡ δὲ, ῥύμῃ ἐμπίπτουσα, ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

Τοῦτο μὲν ἐπέσχον] Fortasse *τούτου μὲν ἐπέσχον* scribendum rectius esset. STEPH.

Stephanus conjiciebat: *τούτου*· sed non est necessaria correctio, si cum Abreschio (Diluc. p. 256.) intelligatur *κατά*. cf. infra L. V. c. 63. Valla legit: *ἔπασχον*, l. *ἐπέσχοντο*, i. e. *ἐκαρτέρησαν*· ut notatum in marg. Flor. Vin. Valla vertit h. l. ita: *a quo exclusi Platæenses id quidem tulerunt.* Quam bene, quisque videt. Mox *ἔνθεν—καὶ ἔνθεν*, *an den beyden Enden desselben*— GOTTL.

Ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ] A Gr. abest *αὐτοῦ*, sed perperam. Herodot. IV. 71. *ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ.* WASS.

Ἐφόβησεν] *Magno terrore perculit.* Mox *ἃς*, sc. *μηχανάς.* In cod. Cass. et Aug. *βρόχους* Scholio interlineari expl. *σχοινία.* G.

Βρόχους τε περιβάλλοντες] Confer Josephum B. Jud. et Philonem de telorum constructione pag. 83. WASS. Hæc erat usitata apud veteres ratio eludendi ictus arietis. vid. Lips. V. Poliorcet. 8. Ubi etiam de trabibus et saxis in eum dejiciendis plura legi possunt: nec non apud Casaubon. ad Æneæ Poliorcet. Cap. XXXII. De structuris lunatis Lips. ibid. DUCK.

Ἀπὸ τῆς τομῆς ἑκατέρωθεν—] i. e. *an deren beyden Enden si lange eiserne Ketten befestigten, und solche über zween auswarts über die Maver herausgelehnten Baume queer über die Maver hiengen.* Iconem, præmissa explicatione, quomodo tormentorum, veluti arietum, ictus laqueis declinarint vel machinas sursum traxerint oppugnati, exhibuit Lips. in Poliorc. V. dial. 8. p. 208. G.

Ἐγκαρσίως] Marg. Cl. Al. *ἐγκαρσίας*: utroque modo Auctores; sed hoc melius. Noster VII. 99. *ἐγκάρσιον τεῖχος ἄγοντες*: Qua forma Latini *transversas* etiam *trabes* dicunt. vid. Sallust. Jug. IX. neque aliter *πλάγιον* et *πλαγιεύμενον* Hippoc. V. p. 167. W.

Ῥύμῃ] Extat et alia lectio *ῥώμῃ*, eademque

οζ'. 77. Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ τε μηχαναὶ οὐδὲν ὠφέλουν, καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο, πνεύματος γενομένου, ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην. πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴπως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη. φοροῦντες δὲ ὕλης φακέλους, παρέβαλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως. ταχὺ δὲ πλήρους γενομένου, διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισ-

scripturæ diversitas alibi etiam occurrit, et quidem non procul pag. videlicet 132. sed ῥύμη utrobique libenter retinuerim. Steph. Vid. Cap. LXXXI. Duck.

Ῥύμη—ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς] Τὸ προέχον τῆς ἐμβολῆς, *prominentia trabis, vel arietis*, "der Kopf des Sturmbalkens." Suidas: ἐμβολὴ, τὸ ἄκρον τοῦ κριοῦ τοῦ μηχανικοῦ ὀργάνου. Τῷ ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ προέχον τῆς ἐμβολῆς. Qui locus est desumtus e Nostro, ut Kusterus scite notat. Probabat hanc interpr. Dorvillius ad Charit. p. 626. Abreschius laudabat Procopium, (B. P. I. 18.) hunc Nostri locum respicientem: τὰ βέλη θώρακι ἐντυχόντα ἀπεκαυλίζετο. cf. L. II. 3. In Flor. Vinar. margine ἀπεκαύλιζε manus docta vertit: *decurtavit*. G.

Ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τ. πόλιν] i. e. διὰ τῶν π. δ.—s. per ablat. verti potest. Abresch. in Diluc. p. 257. comparabat h. l. cum forma: ἀμύνασθαι ἀπὸ τῶν οὐχ ὁμοίων ὅπλων, i. e. ἐξ. ἀνομοίων, apud Suidam (T. I. p. 299.) cf. L. V. 113. VI. 19. VIII. 87. et Duckerum. G.

Ἄνευ δαπάνης καὶ πολ.] Hic πολιορκία ponitur εἰδικῶς pro ea specie πολιορκίας, quæ mora et temporis tractu peragitur: nam et alia species est, qua per vim (adhibitis scilicet machinis et tormentis) urbs brevi expugnatur. Observanda est etiam figura ἓν διὰ δυοῖν in hisce verbis: nam ἄνευ δαπάνης καὶ πολιορκίας dicit, pro ἄνευ τῆς δαπάνης τῆς πολ. sc. sine iis sumtibus, qui necessario faciendi essent ad diuturnam obsidionem. Vid. Is. Casaub. Comment. in Polyb. p. 176. H.

Φακέλλους] Vocem hanc cum simplici λ efferendam docet Casaubonus ad Euripidis Cyclop. quo modo etiam scribunt Hesych. aliique Lexicograpi. Vide Ammonium in voce φάκελος, et Leopardi Emend. l. XI. c. 15. Huds. Hippocrates de morbis mulier. p. 182. φρυγάνων φάκελλον μαλθακῶν. Ælianus apud Suidam φάκελλον βύβλου. Cl. Gr. φακέλους scribunt. Atque ita bis Aristoteles in Metaph. sine Var. Lect. Josephus, et D. Halicarn. in Mss. Vatic. Hesychius, Phavorin. et Th. Magister ex Synesio. Ammonius, et Luciani Schol. Tom. 2. p. 13. Denique φ. ὕλης ἀργείας legit Ammonius. Herodot. IV. 62. φρυγάνων φάκελοι ita et 67. et Baroc. Wass. Suidas hæc laudans itidem φακέλλους legit. Quid in Ammonio sit ἀργείας, vel, quod pro eo habet Th. Magist. ἀγροίας, non intelligo. Sed utrumque hunc locum ante oculos habuisse apertum est. Itaque ea recte a Leopardo deleri puto. Duck.

Φοροῦντες δὲ ὕλης φακέλους] Edidi ita, pro φακέλλους, quod vitiose scriptum est. v. Intt. Thom. M. in φάκελος, citans h. l. habet: φακέλους ὕλης ἀγρίας. Oudendorp. inclinare videtur eo, ἀγρίας inserendum esse Thucydidis orationi. Ammonius p. 141. habet, ut Thomas M. sed male scriptum est ἀργείας, quod mutari volebat Valkenarius in παντοίας. Sed rectum est, ἀγρίας, quod ad Herod. IV. p. 309. probavit Valkenarius, qui et cum simplici λ h. v. scribendam censet. Apud Herod. l. c. est φρυγάνων φάκελος, Eurip. Cycl. v. 241. dixit μέγαν φάκελον ξύλων. et Herod. IV. 67. φακέλους ῥάβδων, *fasces virgarum*. v. Valken. Etiam ἀγρίη ὕλη est apud Herodot. I. 203. Gottl.

Ταχὺ—ἐδύναντο] Suidas in ἐπιπαρένησαν, quod exponit ἐσώρευσαν. vid. Hesych. in παρενήνευον, et Herodotum. Homer. Od. ά. 148. et π'. 51. Suidas in παρένησαν eadem iterat, sed pro πόλεως habet ὕλης, male. hinc ergo corrige, quod non fecit Kusterus. Πολυχειρίαν agnoscit Pollux II. 149. ut πολυκοιρανίη apud Homerum. Usus haud semel Dionys. Halic. Hesychius ex Poëta quodam promit πολυχειρία. Wass.

Ἐπιπαρένησαν] Heilmanus h. l. legit: ἐπι-

χεῖν. ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ, ἦψαν τὴν ὕλην, καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσην οὐδείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν. ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὑτὴν, ἀπὸ ταυτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε. τοῦτο δὲ μέγα τε ἦν, καὶ τοὺς Πλαταιέας, τἄλλα διαφυγόντας, ἐλαχίστου ἐδέησε διαφθεῖραι. ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι· πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, (ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι) οὐκ ἂν διέφυγον. νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα, καὶ οὕτω παυσθῆναι τὸν κίνδυνον.

οή. 78. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοῦ, τὸ δὲ λοιπὸν ἀφέντες, περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον. τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολὰς, καταλιπόντες φύλακας τοῦ ἡμίσεος τείχους (τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον) ἀνεχώρησαν τῷ στρατῷ, καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιεῖς δὲ παῖδας μὲν καὶ γυναῖκας, καὶ τοὺς πρεσβυτάτους τε, καὶ πλῆθος τὸ ἀχρεῖον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας. αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. τοσοῦτοι

παρενῆσαν ab ἐπιπαρενίημι, vertitque, *so warfen si dergleichen weiter in die Stadt hinein*; quam vim quærit in præpositione παρὰ, quæ motum ad locum indicet, ut in παρελθών. Sed nil mutandum, cum nulla urgeat necessitas, verbumque ipsum, quod infert, auctoritate destituatur. Esset quoque dicendum ἐπιπαρενῆκαν. Ἐπιπαρανέω dicitur de materia, quæ accumulatur, superstruitur, ut strues ligni existat. G.

Ἐπιπαρένησαν] Est a simplici, cujus partic. aor. 1. supra occurrit, 2. 52. extr. τοὺς νήσαντας. Mox Genit. τῆς πόλεως pendet ab ἐπιπλεῖστον. Baver.

Τριφθεῖσα ὑπ' ἀνέμων] De silvis ita inflammatis est apud Scaliger. ad Severi Ætn. v. 362. Duck.

Ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων—] Hunc locum ante oculos habuisse videtur Lucret. I. 896.

At sæpe in magnis fit montibus, inquis, ut altis
Arboribus vicina cacumina summa terantur
Inter se, validis facere id cogentibus austris,
Donec fulserunt flammæ fulgore coorto—

Gottl.

Ἀρκτούρου] De Arcturo vide Scaligerum ad Manilium. Huds.

Περὶ ἀρκτούρου ἐπιτολὰς] Mense Septembri: ursa major n. circa æquinoctium auctumnale conspiciendam se præbet. Gottl.

Γυναῖκες—σιτοποιοί.] Tangit morem Græcorum, apud quos hoc mulierum munus erat, ut fruges pinserent, panem coquerent, et alia ad victum pertinentia pararent: de quo Feith. in Antiquitatib. Homer. IV. 3. Add. Plaut. Mercat. II. 3. 62. et Terent. Adelph. V. 3. 60. De Romanis notus est locus Plinii XVIII. H. N. 11. *Pistores Romæ non fuere ad Persicum usque bellum, annis ab U. C. super DLXXX.: Ipsi panem faciebant Quirites, mulierumque id opus*

ἦσαν οἱ ξύμπαντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο· καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος οὔτε ἐλεύθερος. τοιαύτη μὲν ἡ Πλαταιέων πολιορκία κατεσκευάσθη.

οθ'. 79. Τοῦ δ' αὐτοῦ θέρους, καὶ ἅμα τῇ τῶν Πλαταιέων ἐπιστρατείᾳ, Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, καὶ Βοττιαίους, ἀκμάζοντος τοῦ σίτου. ἐστρατήγει δὲ Ξενοφῶν ὁ Εὐριπίδου, τρίτος αὐτός. ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν, τὸν σῖτον διέφθειραν. ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. προπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν μὴ ταῦτα βουλομένων, ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν. ἧς ἐπεξελθούσης ἐκ τῆς Σπαρτώλου, ἐς μάχην καθίστανται Ἀθηναῖοι ὑπ' αὐτῇ τῇ πόλει. καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων, καὶ ἐπίκουροί τινες μετ' αὐτῶν, νικῶνται ὑπὸ τῶν Ἀθηναίων, καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον· οἱ δὲ ἱππεῖς τῶν Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων ἱππέας καὶ ψιλούς. εἶχον δέ τινας οὐ

erat; sicut etiam nunc in plurimis gentium. Cui magis credo, quam Plutarcho Quæst. Rom. LXXXIV. Et rure mos vetus mansit. Ulpian. l. 12. §. 5. D. de Instruct. vel Instrum. leg. *et mulieres, quæ panem coquant.* Duck.

Præter ea, quæ ad illustrandum morem veterum collegit Duckerus, mulieres fruges pinsuisse et panem coxisse, Taylorus ad Lys. T. V. Oratt. p. 18. docet, ancillulis partes obsonandi datas esse. G.

Τῇ τῶν Πλαταιέων ἐπιστρατείᾳ] *Suscepta adversus Platæenses expeditione.* Τῇ τῶν Πελοποννησίων ἐπιστρατείᾳ πρὸς τοὺς Πλαταιεῖς, ut Fr. Portus περιφράζει. Genitivus adhibitus est, ut in illo: ψήφισμα Μεγαρέων, i. e. *adversus Megarenses.* Gottl.

Δισχιλίοις] Diodor. Sicul. L. XII. p. 311. b. scribit Duces Atheniensium missos μετὰ στρατιωτῶν χιλίων. leg. δισχιλίων. Wass.

Ἐστρατήγει, etc.] Alter ex his duobus ducibus, qui cum hoc Xenophonte copias ducebant, vocabatur Calliades, de quo Plutarchus in Nicia. *Palmer.* Verum F. Portus (nescio qua autoritate) Xenophonti jungit Hestidiorum et Phanomachum. Huds. Phanomachum nominat Diodorus Lib. XII. pag. 311. Wass.

Ξενοφῶν—τρίτος αὐτοῖς] Reliqui duo erant Colliades et Phanomachus. Diod. XII. p. 512. omittit Calliadem, quem nominat Plut. Nic. p. 348. Reisk. G.

Σπάρτωλον τὴν Βοττικὴν] Male scribitur apud Diod. XII. p. 510. εἰς Πακτωλὸν τῆς Βοττικῆς, ut agnoscit Wessel. Cel. quod debebat a Viro doctiss. in textu corrigi. Alii scribunt Σπαρτωλὸς, ut Xenoph. H. G. L. V. c. 3. p. 260. ubi male in editt. vett. Σπαρτώλη. Steph. de Urbb. 679. Σπάρτωλος, πόλις Μακεδονίας, ὡς Θουκυδίδης δευτέρᾳ, ad hunc locum respiciens. Plura dabit Duckerus. Gottl.

Ὑπό τινων ἔνδοθεν πρασσόντων] *Molitionibus clandestinis incolarum quorundam factiosorum*—v. Gloss. in πράσσω. G.

Τῶν μὴ ταῦτα] Mss. τῶν οὐ ταῦτα. An οὐ μὴ, ut alibi? Wass. Dan. non male ταυτά. Etiam præferendum puto προσπεμψάντων: nam προπέμπειν fere aliud est. Eadem varietas est Lib. I. cap. 53. Duck.

Ταῦτα] Placet lectio cod. Dan. ταυτὰ, quam etiam habet margo Flor. Vinar. G.

Σπάρτωλον] Ita hic Codd. et mox Σπαρτώλου, et Lib. V. cap. 19. Σπάρτωλος. nec aliter Steph. Vid. Suid. Harpocrat. Hesych. et Schol. Σπαρτωλίων numus Titi apud Goltzium. Wass. In Stephano, et aliis omnibus, præter Scholiasten Thucyd. est Σπαρτωλὸς, ὀξυτόνως, item in Xenoph. V. Græc. pag. 561. cujus locum adnotavit Vales. ad Harpocrat. Duck.

πολλοὺς πελταστὰς ἐκ τῆς Κρούσιδος γῆς καλουμένης. ἄρτι δὲ τῆς μάχης γεγενημένης, ἐπιβοηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς Ολύνθου. καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοὶ, ὡς εἶδον, θαρσήσαντες τοῖς τε προσγιγνομένοις, καὶ ὅτι πρότερον οὐχ ἥσσηντο, ἐπιτίθενται αὖθις, μετὰ τῶν Χαλκιδέων ἱππέων, καὶ τῶν προσβοηθησάντων, τοῖς Αθηναίοις. καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν ἐπίοιεν οἱ Αθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι δὲ ἐνέκειντο, καὶ ἐσηκόντιζον. οἵ τε ἱππεῖς τῶν Χαλκιδέων, προσιππεύοντες ᾗ δοκοῖ, ἐσέβαλλον, καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Αθηναίους, καὶ ἐπεδίωξαν ἐπὶ πολύ. καὶ οἱ μὲν Αθηναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύγουσι, καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι, ἐς τὰς Αθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ. ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι, καὶ οἱ στρατηγοὶ ἅπαντες. οἱ δὲ Χαλκιδεῖς καὶ οἱ Βοττιαῖοι τροπαῖόν τε ἔστησαν, καὶ τοὺς νεκροὺς τοὺς αὑτῶν ἀνελόμενοι, διελύθησαν κατὰ πόλεις.

π'. 80. Τοῦ δ' αὐτοῦ θέρους, οὐ πολλῷ ὕστερον τούτων, Αμπρακιῶται καὶ Χάονες, βουλόμενοι Ακαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Αθηναίων ἀποστῆσαι, πείθουσι Λακεδαιμονίους ναυτικὸν παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος, καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ακαρνανίαν· λέγοντες, ὅτι, ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης Ακαρνάνων, ῥᾳδίως ἂν Ακαρνανίαν σχόντες, καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατή-

Κρούσιδος γῆς] Ex hoc loco potest corrigi apud Herod. VII. p. 558. Κρουσαίη pro Κροσσαίη. v. Wessel. ad l. c. G.

'Αποχωροῦσι] Scholiastes videri posset legisse ὑποχωροῦσι (quod magis proprie, quam ἀποχωροῦσι, dicitur de iis, qui paulatim se subducunt, antequam fugam arripiant) nisi haberemus ἐνεδίδοσαν, quod satis apte illo exponi videtur. STEPH.

῎Ετρεψαν τοὺς 'Αθηναίους] Meminit hujus cladis Atheniensium Plut. in Nic. p. 348. περὶ Θρᾴκην ἡττήθησαν (Athen.) ὑπὸ Χαλκιδέων, Καλλιάδου τε καὶ Ξενοφῶντος στρατηγούντων. Lectionem δοκοῖ, vel δοκοίη probat Marg. Flor. Vin. G.

Ξυμβοηθεῖν] Legitur etiam βοηθεῖν: sed illud compositum ξυμβοηθεῖν in aliis quoque locis extat, et quidem pagina etiam proxime sequente, et pag. 133. et ξυμβοήθειαν leges pag. 132. STEPH.

Τῶν ἀπὸ θαλάσσης 'Ακαρνάνων] i. e. interprete Æm. Porto: τῶν παρὰ τὴν θάλασσαν οἰκούντων. G.

Κεφαλληνίας] Κεφαληνίας Gr. Homerus, Strabo, Polybius, Xenophon, Noster, Pausanias, aliique λ geminant. At Scylax, Ptolemæus et recentiores scripturam Gr. Cod. ubique servant. Inscriptiones apud Reinesium III. 85. et Fabrettum 439. c. Cedren. Anna, D. Chrysost. Libanius Orat. 216. Artemidorus apud Porphyrium de esu Animal. cum simplici λ. Aristotelis exemplaria variant. WASS. Vid. quæ adnotata sunt ad I. 27. et ad Flor. II. 9. DUCK.

σουσι, καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις ὅμοιος περὶ Πελοπόννησον. ἐλπίδα δ᾽ εἶναι καὶ Ναύπακτον λαβεῖν. οἱ δὲ Λακεδαιμόνιοι, πεισθέντες, Κνῆμον μὲν, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι· τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς τάχιστα πλεῖν ἐς Λευκάδα. ἦσαν δὲ Κορίνθιοι ξυμπροθυμούμενοι μάλιστα τοῖς Ἀμπρακιώταις, ἀποίκοις οὖσι. καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων, ἐν παρασκευῇ ἦν. τὸ δ᾽ ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρακίας πρότερον ἀφικόμενον, ἐν Λευκάδι περιέμενε. Κνῆμος δὲ καὶ οἱ μετ᾽ αὐτοῦ χίλιοι ὁπλῖται, ἐπειδὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα, ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν, αἳ περὶ Ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν. καὶ αὐτῷ παρῆσαν Ἑλλήνων μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι, καὶ, οὓς αὐτὸς ἔχων ἦλθε, χίλιοι Πελοποννησίων· βάρβαροι δὲ, Χάονες χίλιοι, ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ᾽ ἐτησίῳ προστατείᾳ [ἐκ] τοῦ ἀρχικοῦ γένους Φώτιος καὶ Νικάνωρ. ἐστρατεύοντο δὲ μετὰ Χαόνων καὶ Θεσ-

Ἐλπίδα] Quidam Mss. ἐλπίδας. Vid. lib. VIII. cap. 48. et Indic. WASS.

Ναύαρχον ἔτι ὄντα] Particula ἔτι indicat, munus navarchi apud Lacedæmonios certo temporis spatio circumscriptum fuisse. Ex Emmii Republ. Lacon. in sin. intelligi potest esse, qui ei annum præfiniant, de quo parum constare Idem dicit. Si Dodwelli rationes sequimur, Cnemus plus quam annum in hoc imperio fuit. Nam quæ supra Cap. LXVI. Cnemo navarcho gesta scribit Thucydides, confert in Maium Julianum exeuntem anni secundi hujus belli; quæ autem deinde Cap. XC.—XCIII. in Octobrem Julianum anni tertii. Et Diodor. Sicul. XII. 311. etiam post hoc tempus, quum gesta sunt ea, quæ Thucydides Cap. XCIII. et seq. exponit, Cnemum navarchum Lacedæmoniorum vocat. DUCK.

Κνῆμος] De Cnemo vid. Diodor. pag. 311. c. DUCK.

Καὶ οὓς αὐτὸς ἔχων ἦλθε] Placet collocatio codd. bonorum ἦλθεν ἔχων. Sic VIII. 33. ναῦς ἃς ἦλθεν ἔχων, quarum navium dux erat. v. Glossar. G.

Ἐπ᾽ ἐτησίῳ] Ita et in meo veteri. quid si tamen ἐπετησίῳ conjuncte Thucydidem scripsisse dicamus? STEPH.

Προστατείᾳ] Sic emendavi pro προστασίᾳ, e bonis codd. Ortum enim a προστατεύειν, quod apud Xenophontem adhibetur, ut προεστάναι τοῦ Διὸς τοῦ Ὀλυμπίου ἱεροῦ, (H. G. III. p. 132.) ut erudite monet Valkenar. ad Herod. VII. p. 555. qui, hanc emendationem faciendam esse, auctor est. cf. Ven. Morus ad locum cit. Xenophont., qui explicat προεστᾶναι ἱεροῦ, *moderari sacra Olympica et ludos sollemnes*, sive his sacris administrandis præfectum esse. Mox τοῦ ἀρχικοῦ γένους, e regnatrice familia, *aus dem regierenden Hause*. G.

Nescio, cur minus verum sit προστασία, sicut ἀποστασία, ἀκαταστασία. Ita ἀπροστασίου δίκη, quæ profecto magis ducatur a nomine προστάτου, si quis non haberet προστάτην, et tamen ab ipso verbo προστασίαν effingatur. BAVER.

Θεσπρωτοὶ ἀβασίλευτοι] Thesproti secundum Homerum (qui Odyss. ξ. v. 115. Phidonis eorum regis meminit) regio parebant dominatui. sed vel postea (ni fallitur Thucyd.) reges suos abdicaverunt, vel eorum pars fuit quondam sine rege. Verum, utrum verba Thucydidis de universa gente, an de quadam ejus parte intelligenda sint, non liquet. Palmer. in Græc. Antiq. pag. 261. HUDS.

πρωτοὶ ἀβασίλευτοι. Μολοσσοὺς δὲ ἦγε καὶ Ατιτάνας Σαβύλινθος, ἐπίτροπος ὢν Θαρύπου τοῦ βασιλέως, ἔτι παιδὸς ὄντος· καὶ Παραυαίους Οροιδος, βασιλεὺς ὤν. Ορέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Αντίοχος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Οροίδῳ, Αντιόχου ἐπιτρέψαντος. ἔπεμψε δὲ καὶ Περδίκκας, κρύφα τῶν Αθηναίων, χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον. τούτῳ τῷ στρατῷ ἐπορεύετο Κνῆμος, οὐ περιμείνας τὸ ἀπὸ Κορίνθου ναυτικόν· καὶ διὰ τῆς Αγραίας ἰόντες, Λιμναίαν, κώμην ἀτείχιστον, ἐπόρθησαν. ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ακαρνανίας, νομίζοντες, εἰ πρώτην ταύτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἄλλα προσχωρήσειν.

'Αντιτάνας] 'Ατιντάνας Cl. Gr. vid. Aristot. περὶ θαυμ. 94. 4. Polyæn. IV. 11. 4. et Stephanum, Lycoph. et Appianum, Livium XXXIX. 12. Wass. Accentus variat. Strabo VII. pag. 326. 'Ατιντᾶνες, Stephan. 'Ατιντάνες. Duck.

Θάρυπος] Θαρύπου malit Palmerius. Θάροψ quidam memoratur a Diodoro Siculo l. 3. p. 139. Huds. Palmer. II. Græc. Ant. 8. rationem emendationis suæ hanc adfert, quod omnibus aliis Rex ille Θάρυπος vocetur in recto, non Θάρυψ. Nihil peccasset, si omnes illos alios, vel certe quosdam ex iis nominasset, et quærendi labore nos levasset. Nam ego quidem nondum alium, quam Pausaniam, invenire potui, qui l. 11. Alcetan, Æacidæ, patris Pyrrhi, et Olympiadis, matris Alexandri M. avum, filium Θαρύπου fuisse scribit. Nec Xylandrum alios, quam Pausaniam, scivisse, ex eo colligo, quod ad Plutarch. Pyrrh. princ. ubi hic Θαῤῥύτας vocatur, adnotat eum Pausaniæ esse Θάῤῥυπον, nec ullum præterea memorat, qui idem tradiderit. Sed vel sic unius Pausaniæ auctoritas sufficere potest, ad emendationem Palmerii stabiliendam. Et est facilis et non infrequens in his permutatio. Sic quod in Harpocratione v. Οἴηθεν legitur, Κεφάλου μὲν θυγατέρα, Χάροπος δὲ γυναῖκα, pro eo in Editis Suidæ est Χαρίππου, in Mss. Χαρόπου, ut ad Suidam adnotat Kusterus. et in Photio apud Valesium ad Harpocrat. Χαροποῦ. Et contra, quem vulgati libri Livii XXXII. 6. vocant Charopum, is in scriptis, et Polybio, ac Plutarcho est Charops. Nec dubito, quin in Luciano Dial. mort. p. 313. de Nireo perperam edatur τὸν 'Αγλαΐας καὶ Χάροπος, pro Χαρόπου. Nam pater ei erat Χάροπος, non Χάροψ. Res certa est ex Homer. Iliad. β'. 672. Eustathio ad illum locum, et Hygin. Fab. XCVII. Itaque recte in Diodor. Sic. V. 225. Viri docti ediderunt Νιρεὺς Χαρόπου καὶ 'Αγλαΐας, pro Χάροπος, quod in scriptis erat. Quinam sint, quos paullo post Παραυαίους, vocat Thucydides, mihi non liquet. Sed cogitabam fortassis eum loquutum de Παρωραίοις, quos cum Molossis, Atintanibus, Orestis, et aliis quibusdam, aspera loca in eodem tractu colentibus, jungit Strabo VII. 326. Duck.

Θαρύπου τοῦ βασιλέως] Secutus sum Palmerium, emendantum pro Θάρυπος, Θαρύπου, quod probat Duckerus. Vocatur enim Θάρυπος apud Pausaniam, I. 11. Apud Plut. in Pyrrho, T. II. p. 717. est Θαῤῥύτου υἱὸς ἦν 'Αλκέτας. ubi cum Vulcan. legendum Θαῤῥύπου, quam emendationem hic locus Nostri adjuvat. Molossi et Atitanes Epirotæ fuerunt. vid. Strab. VII. p. 502. ubi hi populi Epirotæ dicuntur. cf. Steph. Byz. in 'Ατιντανία. p. 191. E quibus ut et optimis codd. reposui Ατιτάνας. Gottl.

'Ορέσται] Vid. Lampridium Elagab. VII. et Zonaram in Constantino Mon. Niceph. Bryen. 71, juxta Athyram ponit Anna Comnena 57. 109. Inter Epirum et Ætoliam posuit Liv. XLII. 38. Adde quæ Cellarius profert p. 701. Wass.

Διὰ τῆς 'Αργείας] Locus Thucydidis, e quo Palmerius verosimili, ut videtur, conjectura III. Græc. Ant. 6. emendat 'Αγραίας est Lib. III. cap. 106. De Agræis vid. plura apud eundem IV. Græc. Ant. 3. et de Strato III. 5. Duck.

'Αγραίας] Pro 'Αργείας correxi cum Palm. G. A. III. 6. e L. III. 6. Thucyd. G.

πα'. 81. Ἀκαρνᾶνες δὲ, αἰσθόμενοι κατά τε γῆν πολλὴν στρατιὰν ἐσβεβληκυῖαν, ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν, ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι· παρά τε Φορμίωνα ἔπεμπον, κελεύοντες ἀμύνειν. ὁ δὲ ἀδύνατος ἔφη εἶναι, ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν, Ναύπακτον ἐρήμην ἀπολιπεῖν. οἱ δὲ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, τρία τέλη ποιήσαντες σφῶν αὐτῶν, ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως, ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγῳ πείθοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους. καὶ τὸ μέσον μὲν ἔχοντες προσῄεσαν Χάονες, καὶ οἱ ἄλλοι βάρβαροι· ἐκ δεξιᾶς δ' αὐτῶν, Λευκάδιοι καὶ Ανακτόριοι, καὶ οἱ μετὰ τούτων· ἐν ἀριστερᾷ δὲ Κνῆμος, καὶ οἱ Πελοποννήσιοι, καὶ Ἀμπρακιῶται. διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων, καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῄεσαν, καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ. οἱ δὲ Χάονες, σφίσι τε αὐτοῖς πιστεύοντες, καὶ ἀξιούμενοι ὑπὸ τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι, οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν, χωρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων, ἐνόμισαν αὐτοβοεὶ

Κατὰ τε τὴν γῆν] Τὴν abest Cl. Gr. et al. non bene. Wass.

Κατά τε γῆν] Articulum, præeuntibus optimis codd., delendum censui. In hac oppositione omittitur, v. c. I. 18. ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί. VIII. 40. ἔκ τε θαλάσσης εἰργομένην (πόλιν) καὶ κατὰ γῆν πορθουμένην. Wassius notat ad h. l. non bene art. omitti in codd., sed cur, non dicit. G.

Ἔπεμπον κελεύοντες] Altera lectio ἐκέλευον πέμποντες, licet inversam orationis structuram habere videatur, minime tamen aliud, quam illarum vocum duarum ordo in ea invertitur: et magis certe est Thucydidea. Steph. Hanc scripturam fortassis habuit Cod. Stephani. Vulgata est in ceteris omnibus scriptis et editis. Et debuerat alteram illam Stephanus prolatis e Thucydide exemplis confirmare. Duck.

Stephanus malit alteram lectionem: ἐκέλευον πέμποντες, tanquam magis consentaneam Thucydidi. Sed Abresch. Diluc. p. 258. exemplis e L. I. 91. II. 85. IV. 104. vulgatam recte defendit. G.

Τέλη] Vid. Hesych. in h. v. Dionys. Hal. VIII. Ant. 65. Noster I. 48. τέλη τῶν νεῶν sine exemplo aut imitatore, opinor, dixit. Herodot. II. 64. ὀρνίθων γένεα, at fortasse rectius τέλεα cum Baroc. et Lambeth. alibi κατὰ τέλεα, *turmatim*, Idem. Contra tamen, ut videtur, Mediceus. Confer Ulpianum in Demosth. pag. 263. Wass.

Καὶ οἱ Ἀμπρακιῶται] Οἱ recte abest. Idem.

Ἀμπρακιῶται] Artic. οἱ delevi, præeuntibus optimis codd. et vett. editt. G.

Οὔτ' ἐπέσχον] Vera lectio videtur, quam habet Margo Flor. Vinar. ἐπέσχοντο, *non se retineri passi sunt*, l. *se retinuerunt*—Nisi lectio ἐπέσχον antiqua esset, ut e Scholiis apparet: (τὸ enim redundare dicitur;) recepissem eam in textum. L. VII. 33. fere ut hic; οἱ Συρακούσιοι—ἐπέσχοντο—τοῖς Ἀθηναίοις ἐπιχειρεῖν. Gottl.

Ῥύμῃ] Confusa est hæc vox etiam hic, ut supra c. 76. cum ῥώμῃ, sed ῥύμη vera est lectio. G.

Καὶ αὐτοβοεί] Emphasin hic habet copula καὶ ante αὐτοβοεὶ ex veteri libro adjecta, ut eum usum habeat, qui particulæ vel a Latinis daretur, ita hæc imterpretantibus: *Urbem se vel ipso clamore expugnaturos sperabant.* Quæ tamen particula minus locum habebit, si αὐτοβοεὶ reddatur *primo statim clamore*, ut reddere quidam malunt. Steph.

ἂν τὴν πόλιν ἑλεῖν, καὶ αὑτῶν τὸ ἔργον γενέσθαι. γνόντες δ' αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας, καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις· καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν, προσπίπτουσι. καὶ ἐς φόβον καταστάντων, διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων· καὶ οἱ ἄλλοι βάρβαροι, ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι ὑπέμειναν, ἀλλ' ἐς φυγὴν κατέστησαν. τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ᾔσθετο τῆς μάχης, διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς, καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. ἐπεὶ δὲ ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς, καὶ ξυναγαγόντες τὰ στρατόπεδα, ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν· ἐς χεῖρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων, διὰ τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων, καὶ ἐς ἀπορίαν καθιστάντων. οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες κράτιστοι εἶναι τοῦτο ποιεῖν.

πβ'. 82. Ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ Κνῆμος τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἄναπον ποταμὸν, ὃς ἀπέχει σταδίους ὀγδοήκοντα Στράτου, τούς τε νεκροὺς κομίζεται τῇ

Αὐτοβοεὶ Attici pro παραχρῆμα Mœris. Ita fere Hesychius. Suidas pro κατακράτος apud Theopompum esse dicit. Wass. Auctor Etymol. M. et alii Grammatici tradunt, Thucydidem hoc vocabulum usurpare de rebus, quæ in bello primo statim clamore, id est, primo impetu, perficiuntur. Et sic præter Thucydidem etiam alii. Itaque si qui sine respectu ad bellum αὐτοβοεὶ pro παραχρῆμα dicunt, hi non prima, sive propria significatione eo utuntur. Duck.

Αὐτοβοεὶ] In Cassel. et Aug. additus est versus Homeri Il. γ'. v. 2. et 8. Τρῶες μὲν κλαγγῇ, οἱ δ' ἄρ' ἴσαν σιγῇ. Achivi vero dicuntur profecti σιγῇ μένεα πνείοντες. Barbarorum innuit esse, minus vera virtute præditorum, clamare, et hoc clamore, tanquam impetu primo, statim vincere. Itaque est αὐτοβοεὶ, *ipso clamore*, s. *primo impetu*. Plura dabunt Intt. ad h. l. Ceterum καὶ ante αὐτοβοεὶ delevi, quo carent optimi codd. et vett. editt. G.

Alienissimus profecto ab hoc voc. versus Homeri in Codicib. a B. Gottl. allatis adscriptus ; neque is, unde notio βοῆς deduceretur. Quippe hic Græci pugnabant, non barbari ; et illi quoque, ut Romani, clamorem tollebant in congressione pugnæ ; unde et Menelaus apud Homerum dicitur βοὴν ἀγαθὸς, i. e. pugnæ aptus, fortis bellator. Baver.

Προλοχίζουσι] Diod. XII. 47. p. 511. οἱ δὲ Ἀκαρνᾶνες συστραφέντες καὶ τοὺς πολεμίους ἐνεδρεύσαντες—πολλοὺς ἀπέκτειναν—G.

Προλοχίζ. ἐνέδραις] Redundat ἐνέδραις, quum jam sit in verbo, προλοχίζουσιν· λόχος enim sign. insidias. Baver.

Δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες] Pollux I. 150. εὐδόκιμα δὲ—σφενδόνη Ἀκαρνάνων, ἀκόντιον Αἰτωλικόν. Lipsius IV. Poliorcet. 2. scribit, Pollucem Acarnanibus tribuere inventionem fundæ. Hoc non magis ex his verbis confici potest, quam quia ibidem inter εὐδόκιμα etiam recensentur θώραξ Ἀττικουργὴς, κράνος Βοιωτιουργὲς, ἀσπὶς Ἀργολικὴ, et alia, omnes illos populos earum rerum inventores fuisse, vel iis a Polluce inventionem earum adsignari. Duck.

Στράτου] Acarnaniæ dicit esse cum Nostro, et Plinio IV. 1. Stephanus ; Ætoliæ Livius XLIII. 21. Steph. supra Στράτιον πόλις Ἀκαρνανίας. ubi fortasse legendum

ὑστεραίᾳ ὑποσπόνδους· καὶ Οἰνιαδῶν ξυμπαραγενομένων κατὰ φιλίαν, ἀναχωρεῖ παρ᾽ αὐτοὺς, πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν. κἀκεῖθεν ἐπ᾽ οἴκου ἀπῆλθον ἕκαστοι. οἱ δὲ Στράτιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

πγ΄. 83. Τὸ δ᾽ ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν ἐκ τοῦ Κρισαίου κόλπου ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ακαρνᾶνες, οὐ παραγίγνεται, ἀλλ᾽ ἠναγκάσθησαν περὶ τὰς αὐτὰς ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα, καὶ τὰς εἴκοσι ναῦς τῶν Αθηναίων, αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ. ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν, ὡς οὐκ ἐπὶ ναυμαχίᾳ, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι, ἐς τὴν Ακαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Αθηναίους εἴκοσι ταῖς ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτοῦς, παρὰ γῆν σφῶν κομιζομένων, καὶ ἐκ Πατρῶν τῆς Αχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ Ακαρνανίας, κατεῖδον τοὺς Αθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐηνοῦ ποταμοῦ προσπλέοντας σφίσι, καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον

Στρατίη πόλις Ἀρκαδίας. Hanc conjecturam firmant Homerus Il. β΄. 301. Hesychius, Nonnus Dionys. XIII. p. 368. et Pausanias. Diodorus XIX. Πεισθέντων δὲ τῶν Ἀκαρνάνων, οἱ πλεῖστοι μὲν εἰς ΣΤΡΑΤΟ΄ΠΟΛΙΝ συνῴκησαν, ὀχυρωτάτην οὖσαν, καὶ μεγίστην. Repono Στράτον πόλιν. Eandem urbem *validissimam* vocat Livius. Mox Οἰνιάδων rectius, quam Οἰνιαδῶν· nam I. 111. est ἐς Οἰνιάδας. WASS. De Strato Palmer. III. Græc. Ant. 5. DUCK.

Στράτου] Πόλεως Ἀκαρνανίας. G.

Κρισαίου] Κρισσαίου Sophocles, Steph. pag. 114. Κρισαίου Herodotus. κόλπου Stephanus mallet abesse, sed agnoscunt plerique Codices. Vid. mox Cap. 86. WASS. De Κρισσαῖος et Κρισαῖος est ad I. 107. DUCK.

Κρισαίου] v. ad L. I. 107. et II. 69. G.

Οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες] Reiskius in anim. p. 22. conjicit: οἱ ἀπὸ θαλάσσης καὶ οἱ ἄνω Ἀκαρνᾶνες, *maritimi Acarnanes et in media continente habitantes.* G.

Ἐτήρει] i. e. παρετήρει, s. ἐφύλασσε, nos: *et passete, laverte ihnen auf.* G.

Ἔπλεον] Ἐπέπλεον bene quidam Mss. WASS. Eadem diversitas scripturæ, quæ hic est in his ἐπὶ ναυμαχίᾳ, etiam supra occurrit I. 48. ubi vid. Steph. DUCK.

Ὡς οὐκ ἐπὶ ναυμ.] i. e. οὐχ ὡς ἐπὶ ναυμ. B.

Ἀλλὰ στρατιωτικώτερον] Lectio cod. reg. ἀλλὰ στρατιῶται orta videtur Abreschio (Diluc. p. 260.) ab interprete, qui ita exponebat: ὡς στρατικώτερον. Idem autem est vi oppositorum: ἐπὶ πεζομαχίᾳ. GOTTL.

Ἐπειδὴ—ἑώρων αὐτοὺς] In Aug. notatur: σημείωσαι τὴν σύνταξιν· n. propter sequ.—κατεῖδον τοὺς Ἀθηναίους—G.

Ἐκ Πατρῶν] Vid. Nos in Addend. WASS.

Διαβαλλόντων—] *trajicerent.* Alias adhibetur παραβάλλειν ἐς, additur quoque ναῦς, v. c. L. III. 32. fin. ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν. G.

Εὐηνοῦ] Vid. Strabonem X. p. 310. Sophoclem Trachin. 586. Vibium Seq. p. 31. 34. WASS. Palmer. IV. Græc. Ant. 16. D.

Ὑφορμισάμενοι] Reisk. (in anim. p. 23.)

τὸν πορθμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, οἳ παρεσκευάζοντο· Κορινθίων δὲ, Μαχάων, καὶ Ἰσοκράτης, καὶ Ἀγαθαρχίδας. καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο, κύκλον τῶν νεῶν ποιήσαντες, ὡς μέγιστον οἷοί τ' ἦσαν, μὴ διδόντες διέκπλουν, τὰς πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα, ἃ ξυνέπλει, ἐντὸς ποιοῦνται, καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διαβραχέος παραγιγνόμενοι, εἴπῃ προσπίπτοιεν οἱ ἐναντίοι.

πδ'. 84. Οἱ δ' Ἀθηναῖοι, κατὰ μίαν ναῦν τεταγμένοι, περιέπλεον αὐτοὺς κύκλῳ, καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες, καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν. προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος, μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζε γὰρ, αὐτῶν οὐ μενεῖν τὴν τάξιν, ὥσπερ ἐν γῇ πεζὴν, ἀλλὰ

conjiciebat: ὑφορμισόμενοι, hoc sensu: *neque latebat Athenienses, futurum esse, si Peloponnesios non interpellarent, ut illi de nocte in Acarnaniam appellerent.* G.

Μαχάων] Ita ex optimis codd. reposui, pro Μάχων. v. ad Schol. c. 87. G.

Ποιήσαντες] Abest Cl. Gr. sed noster alibi adhibet τάττειν et περιστῆσαι. vid. Indicem. infra: εἴπη. ita passim Herodotus. Wass. Suspecta potest esse vox ποιήσαντες, ut addita ab aliquo, qui putaverit non recte dici ἐτάξαντο κύκλον. At vero ita rursus loquitur Thucyd. III. 78. quem locum etiam in Thes. adnotavit Stephanus: καὶ μετὰ ταῦτα κύκλων ταξαμένων αὐτῶν. In Cass. super πρώρας scholion scriptum est ἐτάξαντο. Λεπτὰ πλοῖα, pro μικρὰ e Lib. VIII. citat Suidas. Mox προσπίπτοιεν ideo præfert Stephan. quoniam, inquit, pag. seq. hoc ipsum verbum habes de navi, καὶ ναῦς τῇ νηὶ προσέπιπτε. Duck.

Κύκλον ποιήσαντες] p. ποιησάμενοι, *suarum* scil. navium. Baver.

Παραγιγνόμενοι] Non puto recipiendum, quod est in Gr. et Dan. παραγιγνόμεναι. Nam non respicit ad præcedens ναῦς, sed ad eos, qui in illis erant. Sic mox Cap. seq. οὐδένα χρόνον ἡσυχάσειν αὐτοὺς: quum præcedat ναῦς, et πλοῖα. Et Cap. 31. præcedente νῆες, sequitur αὐτοὺς, pro quo nonnulli libri ibi quoque perperam habent αὐτάς. Plura hujus generis adnotavit Steph. in Append. ad Script. de Dialect. pag. 131. et seqq. Duck.

Κατὰ μίαν ναῦν τεταγμένοι] *Die nur eine Linie formirten*—Mox ἐν χρῷ παραπλέοντες, indicatur, hostes in summo discrimine fuisse. Gemina huic forma est: ἐπὶ ξυροῦ ἀκμῆς ἔχεται τὰ πράγματα, Herod. VI. 11. quem locum laudat Longin. XXII. 1. p. 134. v. Valkenar. ad Herod. p. 443. Sic ξυρεῖ ἐν χρῷ ἔπη *in cute radit*—v. Sophocl. Ajac. Flag. v. 797. Abresch. in Dilucidatt. p. 260. hanc Nostri formam pluribus frequentatam, v. c. Procop. II. B. G. 7. ἐν χρῷ ἀεὶ παραπλέοντας τοὺς πολεμίους θεώμενοι—illustrat pluribus exemplis. v. Intt. ad Hesych. v. ἐν χρῷ κουρά. G.

Ἐν χρῷ] Eustath. citat ἐν χρῷ παραπλεῦσαι τὰς ναῦς, et exponit πλοῦς ἐν χρῷ ὁ γῆς ἐγγύς. p. 1450. εἴρηται δὲ, inquit Suidas v. ἐν χρῷ, ἀπὸ τῆς κουρᾶς τῆς ἄχρι τοῦ χρωτὸς γινομένης. Idem sonat ἐγκυτὶ apud Callimach. et Agathiam post Herodotum. Hoc tonsuræ genus σκάφιον alicubi vocat Schol. Aristoph. Figurate usus Sophocles Ajace 801. et Anthol. ἐν ΧΡΟῚ ΚΕΙΡΑΜΕ'ΝΑ Ἑλλάς. Synes. Epist. IV. Οὐ πρὶν, ἢ ἘΝ ΧΡΩῙ γενέσθαι τοῦ κινδύνου. Plaut. *ad cutim tonderi*, Virg. *Altius ad vivum persedit.* et *Radit iter*, huc spectantes dixerunt. Wass.

Ἐν χρῷ παραπλ.] Alienissima vero sunt et frigida plane, quæ hic cupide effunduntur de notissima alias formula, ἐν χρῷ, pro qua tamen, illo sensu, quem hic intrudit B. Gottl., ἐν ξυρῷ. Sed hic sign. in extremo, ad marginem et oram navium, quas stringerent et carperent: nil ultra; periculi notio contra omnem sensum ingeritur, obloquente ipso voc. παραπλέοντες. Etiam κατὰ μίαν ναῦν, interpretari malim, ut altera post alteram posita alteram sequeretur, una tantum a fronte esset: ut c. 90. ἐπὶ τεσσάρων. Etenim, si uno tenore in fronte stabant, quomodo κατὰ μίαν, singulæ? Baver.

Ἐν γῇ πεζὴν] Memorabilis est lectio in

ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς, καὶ τὰ πλοῖα ταραχὴν παρέξειν· εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε περιέπλει, καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς. καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐνόμιζεν εἶναι, ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε καλλίστην γίγνεσθαι. ὡς δὲ τό, τε πνεῦμα κατήει, καὶ αἱ νῆες, ἐν ὀλίγῳ ἤδη οὖσαι, ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου, τῶν τε πλοίων ἅμα προσκειμένων, ἐταράσσοντο, καὶ ναῦς τε νηῒ προσέπιπτε, καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι, καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ, οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων, οὔτε τῶν κελευστῶν· καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέ-

Marg. Flor. Vin. ἐν τῇ πεζῇ sc. *μάχῃ*. Sed Articul. vix locum hoc sensu habere videtur. Lectio πεζὴν vera est, et refertur ad τάξιν. Ita dixit Arrian. de exped. Alex. L. I. p. 59. τάξιν τὴν πεζικήν. G.

Ἐκπνεῦσαι] Manere non potest hæc scriptura: ἐκπνεῦσαι: sed vel particula ἂν huic aoristo est adjicienda, vel mutanda est in futurum ἐκπνεύσειν: (sicut et Vallam vertisse vides, *flaturum e sinu ventum*) sed simul etiam particula καὶ ante οὐδένα ponenda fuerit. Sed ecce, aliud quiddam mihi ad emendationem hujus loci in mentem venit: ut nimirum scribamus ἐκπνεῦσαν, et dicatur ἐκπνεῦσαν τὸ πνεῦμα pro eo quod dici consuevit, ἐκπνεύσαντος τοῦ ἀνέμου. utramcunque autem scripturam eligas, apte parenthesis notis verba illa includentur, ὅπερ ἀναμένων τε περιέπλει, καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω. *Steph.* Huds. Conjecturam, quam sibi in mentem venisse dicit Stephanus, multis annis ante scriptas ab eo Adnotationes in Thucydidem proposuerat Guil. Canterus Novar. Lection. VII. 15. Habeo exemplar Novarum Lectionum Canteri ex Edit. Oporini A. 1566. ab ipso Cantero, ut chirographum ejus testatur, Scaligero dono datum, in cujus oris Scaliger, cum alia multa adnotavit, tum ad hunc locum adscripsit, *mihi videtur melius* εἶτ' εἰ ἐκπνεύσαι. Duck.

Εἴ τ' ἐκπνεύσαι] Sic correxi pro vulg. εἶτ' ἐκπνεῦσαι. Scaliger emendarat: εἶτ' εἰ ἐκπνεύσαι· quod εἰ non necessarium est, modo ex εἶτ' fiat, εἴ τ'. Sic Reiskius (anim. p. 23.) quod probat Abresch. Diluc. p. 261. Cod. Dan. habet ἐκπνεῦσειν, quod possit mutari in ἐκπνεύσει. Illud tamen præstat. Canterus, et post eum Stephanus malebant: ἐκπνεῦσαν πνεῦμα, pro ἐκπνεύσαντος ἀνέμου. G.

Τῶν νεῶν] Reiskius (in Diluc. Abresch. p. 261. et anim. p. 23.) leg. τῶν ἑαυτοῦ νεῶν. Mox καλλίστην, sc. ἐπιχείρησιν, e superioribus. G.

Τῶν τε πλοίων] Reiskius (in Diluc. Abresch. p. 261. et animadv. l. c.) corrigebat: πολεμίων ante πολεμίων πλοίων, et mox ἀνθυλακῇ s. ἀντεφυλακῇ *oblatratione mutua*; sed etsi valde sibi placuisse hanc emendationem vir doctus et ingeniosus profitetur; eam tamen non urget, sed tutius esse dicit vulgatæ acquiescere. Prior correctio quoque minus necessaria est. G.

Προσέπιπτε] Rem pulchre depinxit Æschylus Agam. 659.

Ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρὶν,
Πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην·
Ναῦς γὰρ πρὸς ἀλλήλῃσι Θρήκιαι πνοαὶ
Ἤρεικον· αἱ δὲ ΚΕΡΟΤΥΠΟΥΜΕΝΑΙ βίᾳ
Χειμῶνι, τυφῷ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ
Ὤιχοντ' ἄφαντοι, ποιμένος κακοῦ ΣΤΡΟΒΩι.
Ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
Ἀνδρῶν Ἀχαιῶν, ναυτικῶν τ' ἐρειπίων.

De nautarum conviciis vid. Horat. Sat. V. Euripides Hec. Ἐν γὰρ μυρίῳ στρατεύματι Ἀκόλαστος ὄχλος, ναυτική τ' ἈΝΑΡΧΙΑ Κρείσσων πυρός. Wass.

Κελευστῶν] Κελευσταὶ sunt portisculi, hortatores, qui secundum gubernatorum præscripta jubebant remiges vel pergere vel pausare—vid. Scheff. de Milit. nav. p. 305. s. et quos laudant Intt. Scholiastes aliter. Mox τὰς κώπας ἀναφέρειν—*die Ruder bey ungestümer See aufheben.* Paullo post vocat Diodorus XII. 48. p. 511. τῶν στρατηγίδων νεῶν μίαν, parum accurate τὴν στρατηγίδα ναῦν· quem errorem Diodori e Nostro notavit Wessel. l. c. G.

Ovid. illos describit Met. 3. 618.

Qui requiemque modumque
Voce dabat remis, animorum hortator.

Baver.

Τὰς κώπας—ἀναφέρειν] Suidas in κλυδώνιον

ρειν ἄνθρωποι ἄπειροι, τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον· τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει, καὶ οἱ Ἀθηναῖοι προσπεσόντες, πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ τὰς ἄλλας, ᾗ χωρήσειαν, διέφθειρον· καὶ κατέστησαν, ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας, καὶ Δύμην τῆς Ἀχαΐας. οἱ δὲ Ἀθηναῖοι, καταδιώξαντες, καὶ ναῦς δώδεκα λαβόντες, τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι, ἐς Μολύκρειον ἀπέπλεον· καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ, καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι, ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης καὶ Πατρῶν ἐς Κυλλήνην, τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος, Κνῆμος, καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμμίξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴν Κυλλήνην.

πέ. 85. Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους ἐπὶ τὰς ναῦς, Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω κατασκευάζεσθαι,

legit κλύδωνι contra Mss. confer Diodor. p. 311. c. Verbum ὄντες abest Gr. non male. Wass. De κελευσταῖς eorumque munere in navibus Scheffner. de Milit. Nav. IV. 7. et Interpretes Polluc. I. 96. Duck.

Καὶ κατέστησαν ἐς ἀλκὴν—μηδένα τρέπεσθαι—] i. e. *eosque eo redegerunt, ut eorum nemo, ob animum conturbatum, ad fortiter pugnandum se convertere posset.* Τρέπεσθαι ἐς ἀλκὴν dicitur, ut τρέπεσθαι ἐς ἀπόγνωσιν. In φεύγειν subaud. αὐτοὺς, ut in κατέστησαν. Gottl.

Ἐς Πάτρας] Urbem Achaiæ, nobilissimam ob situm et salubritatem. v. Plin. III. 4. In cod. Aug. notatur: σημείωσαι Ἀχαΐα. Puto hoc adscriptum esse, quod esset Dyme quoque Thraciæ. G.

Δώδεκα λαβόντες] Diod. l. c. δώδεκα αὐτάνδρους, i. e. αὐτοῖς ἀνδράσι. v. Dorvill. ad Charit. p. 267. Mox τροπαῖον στήσαντες, cf. Diod. l. c. Apud Plut. de Athen. gloria (T. VII. p. 360.) vocantur τὰ ναύμαχα πρὸς Ῥίῳ Φορμίωνος τρόπαια. Mox pro Μολύκρειον Strabo habet Μολυκρίαν. (L. X. p. 706.) G.

Μολύκρειον] Euphorion Μολυκρίαν scribit: Steph. ab editis stat. vid. Nostrum p. 206. Μολυκρεία Scylax p. 14. Polybius V. 604. ἐξοδεύσας εἰς Μολυκρίαν. Molycria Plin. IV. 11. confer Ptolemæum III. 15. hos sequitur Steph. Sed Berkelius contra libros scripturam immutavit. Wass. Add. Palmer. IV. Græc. Ant. 19. de Rhio ibid. et cap. seq. de quo etiam Holsten. ad Steph. Duck.

Καὶ ναῦν ἀναθέντες] Solebant veteres post victoriam navibus partam, naves Deo, qui favisse videbatur, dicare, et Neptuno plerumque. Sic paulo infra de Peloponnesiis dicitur, quod ἥνπερ ἔλαβον ναῦν ἀνέθεσαν ἐπὶ τὸ Ῥίον. Plura hac de re vide apud Schefferum de Militia navali, l. 4. c. 2. p. 273. Huds.

Καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι] Diodor. l. c. τῷ Ποσειδῶνι περὶ τὸν ἰσθμὸν ναῦν καθιερώσαντες. Veteres Diis naves integras consecrasse, ex Herodoto jam constat; (VIII. 121. p. 676.) ubi post victoriam Salaminiam πρῶτα μὲν τοῖσι θεοῖσιν ἐξεῖλον ἀκροθίνια ἄλλα τε καὶ τριήρεας τρεῖς Φοινίσσας· τὴν μὲν ἐς ἰσθμὸν ἀναθεῖναι, quæ Herodoti exstitit ætate. Wesseling. V. Cel. hunc Nostri locum commode laudavit, et Procop., B. G. L. IV. 22. ubi Jovi Casio navis fuit consecrata. Plura qui velit, adeat Scheffer. de mil. nav. L. IV. c. 2. p. 273. Allucinatum esse Diodorum circa v. περὶ τὸν ἰσθμὸν, post Palmerium monuit Wessel. l. c. G.

Κατασκευάζεσθαι] Codd. quidam dant παρασκευάζεσθαι, ut c. 86. l. 31. etc. hoc

καὶ μὴ ὑπ᾽ ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης. ἐδόκει γὰρ αὐτοῖς, ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις, πολὺς ὁ παράλογος εἶναι· καὶ οὐ τοσούτῳ ᾤοντο σφῶν τὸ ναυτικὸν λείπεσθαι, γεγενῆσθαι δέ τινα μαλακίαν· οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι᾽ ὀλίγου μελέτης. ὀργῇ οὖν ἀπέστελλον. οἱ δὲ, ἀφικόμενοι, μετὰ Κνήμου ναῦς τε περιήγγελλον κατὰ πόλεις, καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας, καὶ περὶ τῆς ναυμαχίας, ἣν ἐνίκησαν, φράσοντας· καὶ κελεύων αὐτῷ ναῦς ὁτιπλείστας διὰ τάχους ἀποστεῖλαι, ὡς καθ᾽ ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν. οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ· τῷ δὲ κομίζοντι αὐτὰς προσεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς Γορτύνιος, πρόξενος ὢν, πείθει αὐτοὺς ἐπὶ Κυδωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτὴν, οὖσαν πολεμίαν. ἐπῆγε δὲ, Πολιχνίταις χαριζόμενος, ὁμόροις τῶν Κυδωνιατῶν. καὶ ὁ μὲν, λαβὼν τὰς ναῦς, ᾤχετο ἐς Κρήτην, καὶ μετὰ τῶν Πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν Κυδανιωτῶν· καὶ ὑπὸ ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον.

πστʹ. 86. Οἱ δ᾽ ἐν τῇ Κυλλήνῃ Πελοποννήσιοι, ἐν τούτῳ ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρήτην κατείχοντο, παρεσκευασμένοι ὡς

certe consuetius, illud tamen non corrigendum. G.

Ὁ παράλογος] Vide Stephani Append. ad Script. al. de Dial. Att. p. 157. Huds. Suidas h. v. et exempla adducit ex Procopio. Vid. I. 78. Ita Philo, Plutarchus, Diodorus, Dionys. Halic. Add. Poll II. 119. Wass.

Οὐκ ἀντιτιθέντες—τῆς σφετέρας—μελέτης] i. e. οὐ τιθέντες τὴν τ. Ἀθ. ἐκ πολλοῦ ἐμπ. ἀντὶ τῆς σφετέρας—Sic præpositio verbi jungenda genitivo. Stephanus in Thes. Gr. lingu. p. 991. v. ἀντιδίδωμι monet, ἀντιδίδωμί τινος, cum genit. personæ, pro δίδωμι ἀντί τινος, i. e. *do pro aliquo*, esse expediendum. Locus similis nostro exstat L. III. 56. δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας ἀντιθεῖναι τὴν τότε ἁμαρτίαν· ubi Schol. ἐναντίαν θεῖναι. v. Abres. Diluc. p. 262. G.

Προσεπέστειλαν] Manus docta adscripsit Marg. Flor. Vin. *ei qui deducebat etiam mandarunt.* putoque legendum προσεπέτειλαν. Sed correctio minus necessaria. Ἐπιστέλλω enim non modo de epistolis, sed etiam mandatis, v. Thom. M. in ἐπετειλάμην p. 341. Ἐπιστεῖλαι οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι, καὶ ἐπιστολὴ ὡσαύτως, n. pro ἐντολῇ. v. c. Æsch. Prom. v. 3. G.

Πρόξενος ὢν] Nos fere, ut Heilmanus vertit: *der sich in der Eigenschaft eines Residenten da aufhielt.* G.

Κυδωνιατῶν] Ptolemæus Κυδώνεις mendose. In Orpheo Κυδωνιὰς, vid. Herodot. III. 59. Cydonia olim, inquit Steph. Apollonia. Confer Apollonii Schol. IV. 1492. Sch. Theocr. Eid ζʹ. 12. nunc *Canea.* Tournefort vol. 1. p. 23. Wass. De Polichna Steph. de urb. ibique Holsten. Duck.

Περὶ τὴν Κρήτην] Articulum non agnoscunt Mss. et abesse debet. Wass. De Panormo vid. Pausan. Achaic. C. XXII. De Rhio Molycrico, quod et Antirrhion, Holsten. ad Steph. Ῥίον, et Palmer. Græc. Ant. IV. 20. Duck.

Περὶ Κρήτην] Delevi artic. τὴν, qui abest ab optimis codd. et abesse debet. G.

ἐπὶ ναυμαχίαν, παρέπλευσαν ἐς Πάνορμον τὸν Ἀχαϊκόν· οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσβεβοηθήκει. παρέπλευσε δὲ καὶ ὁ Φορμίων ἐπὶ τὸ Ῥίον τὸ Μολυκρικὸν, καὶ ὡρμίσατο ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν, αἷσπερ καὶ ἐναυμάχησεν. ἦν δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ δ᾽ ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας, τὸ ἐν τῇ Πελοποννήσῳ· διειχέτην δὲ ἀπ᾽ ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς θαλάσσης. τοῦ δὲ Κρισαίου κόλπου στόμα τοῦτό ἐστιν. ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ Πελοποννήσιοι, ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου, ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέρας ἀνθώρμουν ἀλλήλοις, μελετῶντές τε καὶ παρασκευαζόμενοι τὴν ναυμαχίαν· γνώμην ἔχοντες, οἱ μὲν, μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος· οἱ δὲ, μὴ ἐσπλεῖν ἐς τὰ στενὰ, νομίζοντες πρὸς ἐκείνων εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα ὁ Κνῆμος καὶ ὁ Βρασίδας, καὶ οἱ ἄλλοι τῶν Πελοποννησίων στρατηγοὶ, βουλόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι, πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων ἐπιβοηθῆσαι, ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶτον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προτέραν

Διειχέτην] Sic e legibus linguæ scripsi, pro διείχετον, cum Abreschio Diluc. p. 263. *distant.* v. Suid. p. 928. in ἔχετον—ἐχέτην δυϊκῶς, ἀντὶ τοῦ εἶχον· ubi vulgo legitur ἐχέτην pro εἰχέτην. v. Abresch. animadv. ad Æschyl. c. 32. p. 472. nempe auctor glossæ inciderat in locum, ubi duale verbum construebatur cum nomine plurali. v. Arnald. L. Gr. II. 8. p. 185. Gottl.

Οἱ μὲν—φοβούμενοι] Agnoscit Suidas in Ῥίᾳ. qui Ῥία, ἀκρωτήρια contra Historici mentem interpretatur. vid. Etymologum et Hesych. in Ῥίον. Expositio vera est, exemplum non quadrat. Homerus Ἥρη δ᾽ ἀΐξασα λίπεν ῬΙΌΝ Οὐλύμποιο. Wass. Fortassis defendi potest Suidas. Ῥία in universum sunt, ut recte dicit, omnia ἀκρωτήρια, ὄρους ὄρθια, καὶ τὰ ἐπὶ θάλασσαν ἐγκείμενα. Jam vero satis certum est, utrumque Ῥίον, de quo hic agit Thucydides, a veteribus Scriptoribus appellari, et fuisse ἄκραν, et ἀκρωτήριον, et locum in mare procurrentem. Vid. Palmer. l. d. Schol. Theocr. in I. 126. Τὸ Ῥίον ἀκρωτήριόν ἐστι τῆς Πελοποννήσου ἐναντίως τῷ καλουμένῳ Ἀντιῤῥίῳ τετραμμένον. In iis, quæ ibi paullo ante leguntur de Helice, ἣ ὄνομα πόλεως πρὸς τῷ ὀρίῳ τῷ Ἀχαϊκῷ, videtur idem vitium esse, quod e Pausan. Phocic. Cap. XI. sustulerunt Palmerius et Kuhnius, et pro ὀρίῳ legendum Ῥίῳ· ut et infr. in Schol. C. XC. τῶν Ῥίων cum Cass. pro τῶν ὀρίων. Vid. Casaub. Lect. Theocrit. C. II. Duck.

Οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων] Suidas, quem laudavit jam Wasseus, in Ῥία, h. l. descripsit usque ad φοβούμενοι. Suidas explicat Ῥία promontoria, quod omne promontorium dicatur Ῥίον, sed κατ᾽ ἐξοχὴν illud, quod in Achaia situm sit, in ea Peloponnesi ora, ubi Helice fuerit. vid. Ducker. ad h. l. qui bene contra Wasseum defendit Suidam; it. Valken. ad Theocr. Idyll. I. p. 33. G.

Πρὸς ἐκείνων εἶναι] Thom. Magist. Τῷ πρὸς Ἀττικοὶ εἰς τὴν σημασίαν τοῦ ὑπὲρ χρῶνται ἐνίοτε. Θουκυδ. οἱ δὲ—εἶναι. Add. Steph. ad Script. de Dialect. p. 32. Duck.

Pro illis facere, iis maxime expedire. De hac eleganti dicendi forma exponebat, ὡς ἐν παρόδῳ, L. Bosius in proleg. ad versionem Græcam τῶν ό. Duckerus laudabat Thomam M. in πρὸς, qui pro ὑπὲρ poni hanc præpositionem docet, laudato h. l. p. 745. G.

ἦσσαν φοβουμένους, καὶ οὐ προθύμους ὄντας, παρεκελεύσαντο, καὶ ἔλεξαν τοιάδε.

πζ΄. 87. "Η ΜΕΝ γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοποννήσιοι, εἴτις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν. ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι. καί πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προσεγένετο. οὐδὲ δίκαιον, τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθὲν, ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλογίαν, τῆς ξυμφορᾶς τῷ ἀποβάντι, ἀμβλύνεσθαι· νομίσαι δὲ, ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ, ἀπειρίαν, τοῦ ἀνδρείου παρόντος, προβαλλομένους, εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. ὑμῶν δὲ οὐδ' ἡ ἀπειρία τοσοῦτον λείπε-

Ἡ μὲν] Ante hæc verba in Mosqu. cód. legitur: Παρακέλευσις τῶν στρατηγῶν Κνήμου καὶ Βρασίδου καὶ τῶν ἄλλων πρὸς Πελοποννησίους. G.

Ὦ ἄνδρες Πελοποννήσιοι] *O fortes Peloponnesii!* ἄνδρες additum, ad declarandam eorum virtutem. Nos: *Manner aus Peloponnes.* Sic ἄνδρες Ἀθηναῖοι. Mox c. 89. ὦ ἄνδρες στρατιῶται. Est allocutio dignitatis plena. G.

Ἄνδρες Πελ.] Nil est, nisi simplex appellatio Peloponnesiorum: ut ἄνδρες δικασταὶ, alia. BAVER.

Τὸ ἐκφοβῆσαι] Clar. Wasse post verba Henr. Stephani, quæ in Var. Lect. leguntur, scripserat, ita habere Stobæum. Puto τοῦ, quod alibi pro τὸ legi adnotat Steph. D.

Subaud. πρὸς, ut monuit F. Portus cum Abresch. Diluc. p. 263. Interdum infinitivus sine articulo occurrit, v. c. L. IV. 37. εἴπως ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι, i. e. ἐς τὸ π. s. ὥστε—Plura exempla dedit Abreschius, l. c. Reiskius tamen putat, h. l. bene habere, et constructionem sic procedere: ἡ ναυμαχία—ἔχει τὸ ἐκφοβῆσαι (ποτὲ αὐτὴν ὑμᾶς) οὐ δικαίαν τέκμαρσιν, i. e. *superius prælium navale habet* τὸ ἐκφοβῆσαι *non justam argumentationem futuri;* n. quod superior pugna navalis vos terruerit, in eo non est satis firmum argumentum de futuro eventu male sperandi, o viri, si quis vestrum sit, qui male metuat, ex illa præterita de hac instante. (v. anim. ad h. l. p. 23.) Hæc intricatior et subtilior est interpretatio; prior simplicior. G.

Κακίαν] Ignaviam, *Feigherzigkeit.* Plato adhibet in simili loco κάκην. Menex. c. 19. εἴκοντας κάκῃ. Timæus (p. 111.) Κάκη· ἡ κακία, ὡς πλάνη καὶ ζάλη. ubi vid. Eruditiss. Ruhnk. Mox τὸ μὴ κατὰ κράτος νικηθὲν, more Thucydidis, pro τοὺς μὴ κ. κρ. νικηθέντας γνώμην, ἔχοντας δὲ ἐν αὐ. ἀντιλογίαν, *einige Gegengründe in uns selbst, uns zu rechtfertigen,* n. fortem et invictum animum ipsis inesse. Mox pro τῆς γνώμης in marg. Flor. Vin. scriptum: τὸ τῆς γνώμης. G.

Τῆς ξυμφορᾶς] Delevi γε ante ξυμφορᾶς. In marg. Flor. Vin. not. τε dele. Mox νομίσαι δὲ, i. e. ἀλλὰ δίκαιον νομίσαι, in ead. edit. G.

Καὶ μὴ] Hic, ut aliis plerisque locis, falletur, qui negativam particulam cum magis vicina voce jungendam putabit: id est, particulam μὴ cum participio προβαλλομένους jungere, non cum verbo γενέσθαι, volet. Post illam igitur interpungendum fuerit. Ad Vallæ autem interpretationem quod attinet, ea illum neque hoc animadvertisse, neque alioqui sensum hujus loci assequutum esse ostendit. STEPH.

Καὶ—εἰκότως—] Ordo est: καὶ (νομίσαι δίκαιον) μὴ εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι προβαλλομένους ἀπειρίαν, τοῦ ἀνδρείου παρόντος. v. Abresch. Diluc. p. 264. In marg. Flor. Vin. sensus Lat. ita expressus: *non esse æquum, inscitiam prætexentes, fortitudine præsente, ulla in re ignavos esse.* Idem ordo, quem cum Abreschio constituimus, est quoque in marg. Flor. Vinar. GOTTL.

Εἰκότως—γενέσθαι] Schol. supplet, δίκαιον·

ται, ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρείαν μὲν ἔχουσα, καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε· πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι, τὸ ἀπαράσκευοι τότε τυχεῖν. περιγίγνεται δὲ ὑμῖν πλῆθός τε νεῶν, καὶ πρὸς τῇ γῇ οἰκείᾳ οὔσῃ, ὁπλιτῶν παρόντων, ναυμαχεῖν· τὰ δὲ πολλὰ, τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. ὥστε οὐδὲ καθ᾽ ἓν εὑρίσκομεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρότερον, νῦν αὐτὰ ταῦτα προσγενόμενα διδασκαλίαν παρέξει. θαρσοῦντες οὖν καὶ κυβερνῆται, καὶ ναῦται, τὸ καθ᾽ ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ λείποντες, ᾗ ἂν τις προσταχθῇ. τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν, καὶ οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς."

πή. 88. Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύσαντο. ὁ δὲ Φορμίων, δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀῤῥωδίαν, καὶ αἰσθόμενος, ὅτι τὸ πλῆθος τῶν νεῶν, κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι, ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί τε, καὶ παραίνεσιν ἐν τῷ παρόντι ποιήσασθαι. πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε, καὶ προπαρεσκεύαζε τὰς γνώμας, ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ,

male, ubi adsit εἰκότως· γενέσθαι pendet a νομίσαι, quod sane a δίκαιον pendeat. B.

Φόβος γὰρ μνήμην ἐκπλήσσει] i. e. ἐκβάλλει. Insignem hanc ῥῆσιν laudat Plutarch. de virt. Alexand. Or. I. T. VII. p. 316. φόβος γὰρ οὐ μόνον μνήμην ἐκπλήττει κατὰ τὸν Θουκυδίδην· item Thomas M. in ἐκπλήσσω· ubi v. egregiam obs. Hemsterhus. ad illum p. 287. Ceterum imitatus est hanc sententiam Achil. Tat. VII. 10. p. 600. ἀληθὴς δέ ἐστιν ὁ λόγος, ὅτι μνήμην ἐκπλήσσειν πέφυκε φόβος. Alia loca indicavit Hemsterhus. G.

Ἄνευ—ὠφελεῖ] Stobæus p. 88. ex Cnici orat. (corrige *Cnemi*,) pro ἀλκῆς habet αὐτῆς. hinc emenda. Locum æmulatus est Sallustius Catil. c. 60. *timor animi auribus officit.* ἐκπλήττει habent Plutarchi Codd. Moral. 333. Wass. Ἐκπλήσσει Thom. Magist. h. v. Duck.

Τῶν πλειόνων] Ex Homero Iliad. μ΄. 412. πλεόνων δέ τοι ἔργον ἄμεινον. Victor. XXVIII. Var. Lect. 12. Duck.

Θαρσοῦντες οὖν] In cod. Aug. not. οἱ ἐπίλογοι. G.

Τιμήσονται] Pro τιμηθήσονται dictum adnotat Scholiastes. Sic. I. 142. Τῇ τῶν χρημάτων σπάνει κωλύσονται, pro κωλυθήσονται. Euripid. Hecub. 905. Σὺ μὲν ὦ πατρὶς Ἰλιὰς Τῶν ἀπορθήτων πόλις Οὐκέτι λέξῃ. Schol. οὐδαμῶς κληθήσῃ πόλις τῶν ἀπορθήτων. Vid. supr. ad I. 81. Steph. Append. ad Script. de Dialect. pag. 147. et Barnes. ad Euripid. Helen. v. 359. Duck.

Ἐν τῷ παρόντι παραίν. π.] Ne plane otio-

ὅ, τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστι. καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν, μηδένα ὄχλον Ἀθηναῖοι ὄντες Πελοποννησίων νεῶν ὑποχωρεῖν. τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας, ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν· καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους, ἔλεξε τοιάδε.

πθ΄. 89. " ΟΡΩΝ ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων, ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀῤῥωδίᾳ ἔχειν. οὗτοι γὰρ πρῶτον μὲν, διὰ τὸ προνενικῆσθαι, καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὅμοιοι ἡμῖν εἶναι, τὸ πλῆθος τῶν νεῶν, καὶ οὐκ ἀπὸ τοῦ ἴσου, παρεσκευάσαντο· ἔπειτα, ᾧ μάλιστα πιστεύοντες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν, ἢ, διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν, ταπλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ. ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι· τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι, θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν ξυμμάχων, διὰ τὴν σφετέραν δόξαν, ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον. ἐπεὶ οὐκ ἄν ποτε ἐνεχείρησαν, ἡσσηθέντες παραπολὺ, αὖθις ναυμαχεῖν. μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε· πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον, κατά τε τὸ προνενικηκέναι, καὶ ὅτι οὐκ ἂν ἡγοῦνται, μὴ μέλλοντάς τι ἄξιον τοῦ παραπολὺ πράξειν, ἀνθίστασθαι ὑμᾶς. ἀντίπαλοι

sum redundet ἐν τῷ παρ. i. e. ut res postulabat; quantum fieri res jam sineret. B.

Ἐν σφίσιν—ὑποχωρεῖν] Citat Thom. Mag. in v. ἀξιῶ. WASS.

Μηδένα ὄχλον—] Reisk. in anim. p. 23. conjicit: πρὸς μηδένα. In marg. Flor. Vin. est paullo ante: ἐν σφίσιν αὐτοῖς. G.

Οὐκ ἀξιῶν] Vid. quæ de hoc loquendi genere adnotat Steph. in Append. ad Script. de Dialect. pag. 127. DUCK.

Οὐκ ἀξιῶν τὰ μὴ δεινὰ—ἔχειν] Baverus ad h. l. notabat transpositionem negationis, pro ἀξιῶν—οὐκ ἔχειν. Sed sententia sine hac transpositione eundem edit sensum. Paullo ante v. τῶν ἐναντίων, supersc. τῶν νεῶν, in Flor. Vin. Ante orationem in Mosqu. scriptum: παραίνεσις τοῦ στρατηγοῦ Φορμίωνος πρὸς τοὺς Ἀθηναίους. G.

Οὐκ ἀξιῶν—ἔχει] Non idem profecto est ad Logicam ἀκρίβειαν, *non postulo, ut* timeatis, et, postulo, *ut non* timeatis; quod alterum huc conveniat; aut ἀξιῶν sign. dignum, æquum, congruum censens; vel οὐκ ἀξιῶν, sit, nolens. Similis metathesis est 1. 87. οὐκ ἔφη διαγινώσκειν· et 4. 28. οὐκ ἔφη αὐτὸς—στρατηγεῖν. BAVER.

Σφίσι—ποιήσειν] Reisk. (in anim. p. 23.) explicat: *idem sibi tum quoque præsto et usui fore.* G.

Προσάγουσι] Reiskius in Diluc. Abresch. p. 265. legit: προάγουσι. GOTTL.

Ἀντίπαλοι—τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ] Hujus loci meminit Gesnerus ad Lucian. T. II. p. 631. ut probaret, μᾶλλον subaudiri ante ἤ. Quod etsi verum omitti; hoc loco tamen non. Τὸ πλέον enim est μᾶλλον, cui respondet ἤ. vid. supr. c. 37. οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ, ἢ ἀπ' ἀρετῆς προτιμᾶται. G.

μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τοπλέον πίσυνοι, ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων, καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τὶ τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. ἃ λογιζόμενοι οὗτοι, τῷ οὐκ εἰκότι πλέον πεφόβηνται ἡμᾶς, ἢ τῇ κατὰ λόγον παρασκευῇ. πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι ποιήσομαι, οὐδὲ ἐσπλεύσομαι ἐς αὐτόν. ὁρῶ γὰρ, ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείρως καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν, μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι, πιεζόμενος. διέκπλοί τε οὐκ εἰσὶν, οὐδὲ ἀναστροφαὶ, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν· ἀλλ' ἀνάγκη ἂν εἴη, τὴν ναυμαχίαν, πεζομαχίαν καθίστασθαι. καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν. ὑμεῖς δὲ, εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες, τά τε παραγγελλόμενα ὀξέως δέχεσθε, ἄλλως τε, καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε·

Ἐκ πολλῷ] Multi libri ἐκ πολλῶν, sed recte Scholiastes. Wass. H. Steph. Append. ad Script. de Dialect. p. 115. de hac adnotatione Scholiastæ ita scribit: *Hæc subauditio merito censeri* περίεργος *possit, meo quidem judicio. Quod autem de hoc loco dicetur: idem et de isto dicendum videtur pag. 110.* οὐχ ὅμοιοι, ἀλλ' ὀλίγῳ χείρους κριθεῖντε. Cur hoc supplementum περίεργον esse putaverit, non scio. Deesse aliquid apertum est, quod, quomodo expleri velit, e verbis illius intelligi non potest: nec alibi de eo, quod quidem sciam, agit. Πίσυνοι Suidas in περιωπὴ inter γλωττώδη Thucydidis esse dicit. Duck.

Ἑκὼν εἶναι] De hoc Attico genere loquendi Steph. ad Script. de Dialect. pag. 26. et Thom. Magist. in ἑκὼν, ubi ex memoria hæc ita refert: οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι. Duck.

Πλεύσομαι] Ex Mss. reponendum videtur οὐδ' ἐσπλεύσομαι ἐς. ita Auctor passim. favent etiam cæteri. Wass. Et sic in margine scripserat, inducto τῷ πλεύσομαι, quod in contextu erat. Duck.

Πολεμίων] Suspicor legendum ἐναντίων loco πολεμίων. Noster IV. Μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν, ὥστε αὐτοὺς τὰ πλείω βλάπτεσθαι. Wass. Thom. Magist. in πρόσοψις sequitur lectionem vulgatam. Πρόσοψιν e Thucydide adnotat Pollux II. 58. Duck.

Περὶ πλείστου ποιεῖσθε—] Reiskius conjicit (anim. p. 23.): ἡγεῖσθαι ἔς τε τὰ πολλὰ, *maximi facere silentium et bonum ordinem, confert cum alias bello universo, tum non minimum navali.* Sed est admonitio Phormionis, quæ imperativum postulat. Pro ὥστε τὰ πολλὰ, Stephanus emendabat: ὃ ἔς τε πολλά. Abreschius in Diluc. p. 264. τὸ ὥστε separat in ὥς τε, et τὲ valere auctor est, τὲ γὰρ, sive καὶ γάρ. Sensum esse: καὶ γὰρ ξυμφέρει ὡς πολλὰ τῶν πολεμικῶν, καὶ οὐχ ἥκιστα ναυμαχίᾳ. Duplex regimen esse τοῦ ξυμφέρειν cum ὡς, i. e. εἰς, πρὸς, et cum dativo; et hanc structuræ permutationem esse valde usitatam. Sed merito dubitat Baverus, an ὡς ab initio orationis, τε junctum, pro εἰς positum reperiatur, et τε pro γάρ. Explicat igitur ὥστε pro οὕτω, et intelligit ante τὰ πολλὰ, εἰς l. κατά. Idem malit legi ναυμαχίαις. In Ald. et Bas. est ναυμαχίαι. Ita τὰ πολλὰ esset nomin. Sed vitiosa est

(ὥστε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει, καὶ ναυμαχίᾳ οὐχ ἥκιστα·) ἀμύνεσθέ τε τούσδε ἀξίως τῶν προειργασμένων. ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ, ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. ἀναμιμνήσκω δ' αὖ ὑμᾶς, ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι εἶναι."

στ'. 90. Τοιαῦτα μὲν καὶ ὁ Φορμίων παρεκελεύσατο. οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον ἐς τὸν κόλπον καὶ τὰ στενὰ, βουλόμενοι ἄκοντας ἔσω προαγαγεῖν αὐτοὺς, ἀναγόμενοι ἅμα ἕω, ἔπλεον, ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς, ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλπου, δεξιῷ κέρᾳ ἡγούμενοι, ὥσπερ καὶ ὥρμουν. ἐπὶ δ' αὐτῷ εἴκοσι ναῦς ἔταξαν τὰς ἄριστα πλεούσας, ὅπως, εἰ ἄρα, νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν, ὁ Φορμίων, καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὐταὶ αἱ νῆες περικλείσειαν. ὁ δὲ (ὅπερ ἐκεῖνοι προσεδέχοντο) φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι, ὡς ἑώρα ἀναγομένους αὐτοὺς, ἄκων καὶ κατὰ σπουδὴν ἐμβιβάσας, ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει. ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ

hæc lectio. ut contexta docent. Ceterum in marg. Flor. Vin. leg. ᾧ τά τε πολλὰ τῶν πολέμων ξυμφέρει· *quæ cum in multis rebus bellicis conferunt, tum maxime pugnæ navali.* Sic Valla. G.

Ὥστε τὰ πολλὰ] In priori etiam Editione huic voci ὥστε notam asterisci apposueram: sed mihi tandem hujus loci emendationem conjectura videor assequutus. Nam si pro ὥστε scribatur ὃ ἔς τε, belle procedet structura, sensusque manifestus erit. Quum tamen magis usitata sermonis forma hæc futura esset, ὃ ἔς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει, καὶ ἐς ναυμαχίαν οὐχ ἥκιστα, maluit, mutata (more suo) constructione, dicere καὶ ναυμαχίᾳ οὐχ ἥκιστα. STEPH.

Ὁ δὲ ἀγὼν] In cod. Aug. notatum Τινὲς ἀπὸ δὲ τοὺς ἐπιλόγους· n. sunt, qui ab his v. epilogos incipiant. Legendum arbitror, ἀφ' ὁ δὲ, n. a v. ὁ δέ—Paullo post ad v. ἀναμιμνήσκω in eodem cod. reperitur: οἱ ἐπίλογοι. GOTTL.

Nota Cod. Cassell. si emendanda fuit, non debuit corrigi, ἀφ' ὁ δέ· quis ita loquitur? sed, ἀπὸ τοῦ ὁ δέ. BAVER.

Ἡσσημένων—εἶναι] Stobæus pag. 97. qui agnoscit τούς. Aristophanes ἱππ. Ὡς ἂν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ Δειλὸν εὑρήσεις. Arellius Fuscus apud Senecam Suasor. v. "Sic fugatum creditis Xerxen, ut reverti possit? At nescio quomodo languet circa memoriam jacturæ animus. Prior enim *metus* futuri *pignus* est. *Amissa* ne audeat, amissurum monent. Omnis exest animum clades, ubi ignominia spem premit, ubi nullam meminit aciem, nisi quæ fugerat, *errat* circa *damna* sua, et, quæ male expertus est, vota deponit." Scipio apud Livium: "cum iis vobis pugnandum, quos terra marique vicistis. Erit igitur in hoc certamine is vobis illisque *animus*, qui Victoribus et Victis esse solet." Confer Thucyd. VII. 61. WASS.

Τοιαῦτα μὲν] In cod. Aug. adscripta sunt
Δ
h. v. οἱ πολλοὶ ἀγνοῦντες γράφουσι τὸν· δὲ ΣΥΝ (i. e. σύνδεσμον) μετὰ τὴν δημηγορίαν. G.

Αὗται αἱ] Recepi αὗται pro αὐταί. Reiskius (in anim. p. 23.) quoque illud prætulit. G.

κέρως παραπλέοντας, καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, (ὅπερ ἐβούλοντο μάλιστα,) ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς, μετωπηδὸν ἔπλεον, ὡς εἶχε τάχους ἕκαστος, ἐπὶ τοὺς Ἀθηναίους· καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. τῶν δὲ, ἕνδεκα μέν τινες, αἵπερ ἡγοῦντο, ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων, καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες, ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας, καὶ διέφθειραν. ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν· καὶ τῶν νεῶν τινας ἀναδούμενοι εἷλκον κενὰς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη. τὰς δέ τινας οἱ Μεσσήνιοι, παραβοηθήσαντες, καὶ ἐπεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν, καὶ ἐπιβάντες, ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο ἑλκομένας ἤδη.

στά. 91. Ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε, καὶ ἔφθειραν τὰς Ἀττικὰς ναῦς. αἱ δὲ εἴκοσι νῆες αὐτῶν, αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως, ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν Ἀθηναίων, αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· καὶ φθάνουσιν αὐτοὺς, πλὴν μιᾶς νεὼς, προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον. καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον, παρεσκευά-

Μετωπηδὸν ἔπλεον] *Adversis frontibus*— opponitur τῷ ἐπὶ κέρως, ut apparet e Lucian. T. II. p. 40. (quom. scr. hist.) ubi scriptor, quem reprehendit Lucianus, *transversum agmen* dicit *in cornu*, pro eo, quod debebat dicere, *in frontem*: ἐπὶ κέρως δὲ λέγειν τὸ ἐπὶ μέτωπον ἄγειν. Sic h. l. conversæ naves adversis frontibus ferebantur in obliquam seu transversam navium aciem. v. Gesn. ad Luc. l. c. et Dorvill. ad Charit. p. 627. G.

Ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας] *In terram s. littus naufragari coëgit*; nos: *sie jagten sie in vollem Laufe auf den Strand.* Apud Charit. p. 123. ναῦς πρὸς τὴν γῆν ἐξενεχθείσας explicat Dorvill. p. 627. ὠσθείσας, eodem modo, ut fecimus (*op Strandt jagen*). G.

Διέφθειραν] Scil. ναῦς, *richteten die Schiffe zu Grunde.* Mox ἐξένευσαν vulgo Schol. explicat duplici modo, et Abreschius dubitat (in Dilucid. p. 265.) utro sensu posuerit Noster. Sed altera pars Scholii, quam delevi, pertinet ad superius Scholion. Scholion ἐξεκολύμβησαν refertur tantummodo ad ἐξένευσαν. G.

Ἐξένευσαν] Suidas h. v. τὰς δὲ ἄλλας ναῦς. addit de suo ναῦς, et sequentia ita legit, ἐπικατ. ἐ. τ. π. τ. γῆν, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐ. ἀ. cæteris omissi perperam. Phavorin. hæc tantum habet, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐξέν. αὐτ. Wass.

Καὶ τῶν νεῶν) Thomas M. in ἀναδησάμενος laudat ita: καί τινας ἀναδούμενοι κενὰς εἷλκον, haud dubie memoriter. G.

Ἀναδούμενοι] Thom. Mag. in ἀναδησάμενος laudat ita: καί τινας ἀναδούμενοι κενὰς εἷλκον. Wass. Errorem Vallæ, hæc ita vertentis, *quasdam quas depresserant naves, inanes trahere cœperunt*, notat ad marg. secundæ suæ Edit. Stephanus. et Kuhn. ad Polluc. I. 124. Vid. ad Thucyd. I. 50. Duck.

Αἱ δὲ εἴκοσι νῆες] In cod. Aug. ad h. v. scriptum: τὸ τέταρτον τάγμα τῶν νεῶν. G.

Τὴν ἐπιστροφήν] In eodem (vet. lib.) ὑποστροφὴν legimus: sed cur hic potius ἐπιστροφὴν in ὑποστροφὴν, quam in loco, qui parvo præcedit intervallo, mutaremus? præsertim vero, quum ibi quoque ἐς τὴν εὐρυχωρίαν sequi videamus. Steph.

Ἴσχουσαι] Codd. Cassel. Aug. et Mosqu. σχοῦσαι· non male, ut alias, et cum et plerumque sine præpositione. Ἴσχειν tamen frequenter appellendi notione apud Nostrum occurrit, cum præpositione πρὸς et ἐς, item sine casu. v. Glossar. in ἔχω et ἴσχω. G.

Ἀπολλώνιον] Ita legendum censet Suidas h. v. in penult. atque ita Aristoteles in

ζοντο ἀμυνούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς ἐπιπλέωσιν. οἱ δὲ, παραγιγνόμενοι ὕστερον, ἐπαιώνιζόν τε ἅμα πλέοντες, ὡς νενικηκότες· καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων, τὴν ὑπόλοιπον, ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα καὶ περιπλεύσασα, τῇ διωκούσῃ Λευκαδίᾳ ἐμβάλλει μέσῃ, καὶ καταδύει. τοῖς μὲν οὖν Πελοποννησίοις, γενομένου τούτου τοῦ ἀπροσδοκήτου τε καὶ παραλόγου, φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες, διὰ τὸ κρατεῖν, αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας, ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι· αἱ δὲ καὶ ἐς βραχέα, χωρίων ἀπειρίᾳ, ὤκειλαν.

στβ'. 92. Τοὺς δ' Ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρσος τε ἔλαβε, καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες, ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ, διὰ τα ὑπάρχοντα ἁμαρτήματα, καὶ

Opusc. p. 108. Wass. Suidas præterea tribus aliis locis inculcat semper scribendum esse Ἀπολλώνιον, pro templo Apollinis, item Ποσειδώνιον, Διονύσιον, Δημήτριον, et alia hujus generis. Vid. eum in Ἀθήναιον, Δημήτριον, et Ποσειδώνειον, ubi tamen contra, quam in superioribus tradiderat, Ποσειδώνειον per diphthongum scribi dicit. Pluribus de his agit Eustathius in Homer. Od. ζ'. p. 1562. ubi hæc quoque leguntur: σημείωσαι δὲ, ὅτι πολλὰ περιεκτικὰ διφοροῦνται παρὰ τοῖς παλαιοῖς· ὧν καὶ τὸ ῥηθὲν Ἀπολλώνιον, διὰ τοῦ ι. κατά τινας δὲ διὰ διφθόγγου, κατὰ τὸ Ἡράκλειον. καθ' ἑτέρους δὲ, Ἀπολλωνεῖον, ὡς Ἰσεῖον. Add. Kuhn. ad Pausan. Corinth. Cap. XXVI. Duck.

Ἐπαιώνιζον] Non ἐπαιάνιζον, sed ἐπαιώνιζον, meum vetus exemplar habet, ac memini me et alibi legere: quamvis alioqui sciam, videri novum posse *lætum pæona canentes*, pro illa recepta lectione, *lætum pæana canentes*. Steph. Παιανίζειν D. Hal. passim. Noster Herodotum sequitur. Wass. Vid. supr. ad I. 50. Paullo ante Cl. Wasse, inducto παραγενόμενοι, quod in plerisque Mss. Schol. et omnibus Edd. est, in margine substituerat παραγιγνόμενοι. Duck.

Sic Noster cum Herodoto, ut jam notavit Wasseus. Probum quoque est ἐπαιάνιζον. Utrumque librarii frequenter permutarunt. vid. Wessel. ad Diod. L. XIII. p. 554. G.

Ὁλκὰς] Agnoscit Suidas h. v. Wass.

Ὁλκὰς—μετέωρος] i. e. ἐν πελάγει οὖσα. v. Schol. ad L. VII. 71. *dass eben ein Frachtschiff auf der Höhe vor Anker lag.* G.

Αἱ μὲν—περιμεῖναι] Priscian. lib. XVII. pap. 1100. ubi pro ἐπέστησαν legit ἀπέστησαν, male. Pro ἀντεξόρμησιν aliter quidam Mss. Priscian. ab editis stat. ἀντεξόρμησις servat etiam Plutarchus. Wass. Ostendit ibi Priscianus Homeri, Thucydidis, et aliorum testimoniis, sæpe diversa genera et diversos numeros jungi. Duck.

Ἐπέστησαν] Reiskius malit (in anim. p. 24.) τὸν πλοῦν, *inhibebant cursum*: quanquam rectius putat, ita accipi posse, quasi sit: ἔστησαν ἐπὶ τοῦ πλοῦ *insistebant navigationis veluti vestigio*. Conjectura itaque nihil opus erat. Præcedit καθεῖσαι τὰς κώπας, quæ forma alias variatur, ἐρετμὰ, s. κώπας σχάζειν, *inhibere remos*, quæ differt ab illa: *inhibere remis*. v. J. F. Gron. Obss. IV. 26. p. 820. Gottl.

Ἀξύμφορον δρῶντες] i. e. rem sibi *perniciosam* facientes. Sic Latinorum *inutilis* capitur, item ἀλυσιτελὴς, Polyb. III. 116. extr., nec non ἀρχεῖος. v. Clark. ad Hom. Il. β'. v. 169. Cuper. Obss. I. 14. Davis. ad Hirt. B. A. 65., Burmannus ad Ovid. Epp. ex Pont. II. 8. 59. qui laudavit hos duos. G.

Ἀξύμφορον] Ita 1. 32. ἐς τὰ ἡμέτερα ἀξύμφορον, nostræ caussæ iniquum. Ebr. 13. 17. ἀλυσιτελὲς *noxium* sign. Bauer.

Βραχέα] Βράχη, quod est in Cod. Stephani, habet etiam Pollux I. 115. et alii. Agit de hoc Brod. VI. Miscellan. 24. Duck.

Ἐς βραχέα—ὤκειλαν] i. e. πρὸς τὰ βράχη προσηνέχθησαν, ut Diodorus loquitur (L. XIII. p. 555.) vel ἐξωθοῦντο. v. Schol. ad c.

τὴν παροῦσαν ἀταξίαν, ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον, ὅθεν περ ἀνηγάγοντο. ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἕξ, καὶ τὰς ἑαυτῶν ἀφείλοντο, ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες, τοπρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν, ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς, ἣ περὶ τὴν ὁλκάδα κατέδυ, Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτὸν, καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων λιμένα. ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι, τροπαῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκράτησαν· καὶ τοὺς νεκροὺς, καὶ τὰ ναυάγια, ὅσα πρὸς τῇ ἑαυτῶν ἦν, ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον, ὡς νενικηκότες, τῆς τροπῆς, ἃς πρὸς τῇ

90. ubi ἐξέωσαν explicatur ὠκεῖλαι ἐποίησαν. Βράχη cod. Steph. habet, cujus scripturæ caussa Duckerus laudabat Polluc. I. 118. Ita legitur in aliis, ut locus Diodori paullo ante citatus docet. G.

Ἃς ἐκεῖνοι] Kuhnius ad Polluc. I. 125. hunc locum ita legit: ἃς ἐκεῖνοι τὸ πρῶτον ἀνεδήσαντο. ἄνδρας δὲ τοὺς μὲν πρὸς τῇ γῇ διαφθείραντες ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. Nam, *si ita locus legatur*, inquit, *omnia bene inter se conveniunt, quod secus est in vulgato.* Non adsequor, quænam illa sint in vulgata scriptura, quæ inter se non conveniant. Nec ulla est ratio, cur verba, πρὸς τῇ γῇ διαφθείραντες, loco moveri, et cum ἄνδρας conjungi debeant. Ipse Thucydides satis tuetur receptam lectionem iis, quæ scribit Cap. XC. τὰς δὲ ἄλλας (naves Atheniensium) ἐπικαταλαβόντες (Peloponnesii) ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας, καὶ διέφθειραν—καὶ τῶν νεῶν τινὰς ἀναδούμενοι εἷλκον κενάς. Nec pluribus verbis opus esse puto in re aperta. Duck.

Ἃς ἐκεῖνοι—τὸ πρῶτον ἀνεδήσαντο] Merito Duckerus reprehendit Kuhnium, legentem ad Polluc. I. 125. ἃς ἐκεῖνοι τοπρῶτον ἀνεδήσαντο. ἄνδρας δὲ τοὺς μὲν πρὸς τῇ γῇ διαφθείραντες ἀπέκτειναν. Διαφθείρειν ἄνδρας significat jam *interficere, trucidare homines*; cur ἀπέκτειναν addiderit Noster, non sane intelligi potest. Parum attendebat Vir eruditiss. ad superiora c. 90. et sequ., quæ docebant, τὸ διαφθείρειν referri ad naves, quod idem est ac καταδῦναι. Plura qui velit de hac voce, adeat Abresch. Diluc. p. 266. sq. Reiskius in Diluc. p. 268. malebat: ἃς ἐκεῖνοι πρὸς τῇ γῇ τοὺς ναύτας διαφθείραντες, τὸ πρῶτον ἀνεδήσαντο. *quas Lacedæmonii antea* (τοπρῶτον) *a suis navibus religarant, postquam nautas carum trucidassent.* Sed Vir Eruditissimus nimis festinanter hæc, ut et alia, scribebat, quæ non ita multo post mutabat; ut h. l. in animadv. p. 24. fatetur, nihil vitii h. l. inesse, ut e superioribus pateat. Πρὸς τῇ γῇ, n. Naupactiorum. Gottl.

Ἔσφαξεν] Pollux VI. 192. adnotat, Thucydidem dixisse ἔσφαζεν. Dubitat Jungermann. an in Polluce legendum sit ex hoc loco ἔσφαξεν. Si nusquam alibi Thucydides dixit ἔσφαζεν., non est dubitandum. Duck.

Τῆς τροπῆς, ἃς] Scholiastes ante τῆς τροπῆς subaudit ὑπέρ. Potest vero subaudiri et ἕνεκα. Nisi forte dicendum est, hunc genitivum jungi posse cum τροπαῖον. Cæterum de hoc quoque monere idem Scholiastes debuit, hæc verba, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν, non aliter esse accipienda, quam si dictum esset, τῆς τροπῆς τῶν νεῶν, ἃς πρὸς τῇ γῇ διέφθειραν. Steph. Eadem scribit Steph. in Append. ad Script. de Dialect. pag. 93. et addit, hoc structuræ orationis genus valde καινοπρεπὲς esse; sed, quo est καινοπρεπέστερον, eo magis Thucydideum videri fortasse debere. Duck.

Τῆς τροπῆς] Vel cum Scholiaste ὑπὲρ, vel cum Stephano subaudiendum est ἕνεκα· quasi scripserit Thucydides: τῆς τροπῆς τῶν νεῶν ἕνεκα, ἃς πρὸς τῇ γῇ διέφθειραν. Refertur itaque ἃς ad omissum νεῶν. Τροπὴ h. l. est μάχη cum victoria conjuncta; v. Abresch. Diluc. p. 268. Reiskius in anim. p. 24. malebat induci τῆς τροπῆς, aut præfigi μνῆμα vel σημεῖον. Cur hoc fieri necessarium videatur, nemo facile videat. Mox ἀνέθεσαν, scil. Neptuno, cui erat exstructum ibi templum. v. Strab. L. VIII. p. 517. Vocatur quoque Δρέπανον, quod hoc promontorium

γῆ ναῦς διέφθειραν· καὶ ἥνπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. μετὰ δὲ ταῦτα, φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν, ὑπὸ νύκτα ἐσέπλευσαν ἐς τὸν κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον, πάντες πλὴν Λευκαδίων. καὶ οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν, αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον· καὶ τὸ θέρος ἐτελεύτα.

στγ'. 93. Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικὸν, ὁ Κνῆμος καὶ ὁ Βρασίδας, καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων, ἀρχομένου τοῦ χειμῶνος, ἐβούλοντο, διδαξάντων τῶν Μεγαρέων, ἀποπειράσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων. ἦν δὲ ἀφύλακτος καὶ ἄκλειστος, εἰκότως, διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ. ἐδόκει δὲ, λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην, καὶ τὸ ὑπηρέσιον, καὶ τὸν τροπωτῆρα, πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν· καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα, καθελκύσαντας ἐκ Νισαίας, τοῦ νεωρίου αὐτῶν, τεσσαράκοντα ναῦς, αἳ ἔτυχον αὐτόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ. οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν, οὔτε προσδοκία οὐδεμία, μὴ ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν. ἐπεὶ οὐδ' ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν. οὐδὲ, εἰ διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς, καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς, ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥσπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον (καί τις καὶ ἄνεμος αὐτοὺς λέγεται κωλῦσαι) ἐπὶ δὲ τῆς Σα-

introrsum falcis in morem reflexum est. Gottl.

Ἀνέθεσαν] Huc spectare videtur Aristophan. Equit. 559. Wass.

Ἐς τὸν κόλπον] Cl. Gr. omittunt τόν. nec immerito. Wass.

Ἀποπειράσαι τοῦ Πειραιῶς] Ita L. VII. 43. ἀποπειράσαι τοῦ ἀποτειχίσματος. Attamen scribebat Mœris: πειράσαντες τοῦ χωρίου, ὡς Θουκυδίδης, (I. 61.) ἀποπειρασθέντες, Ἑλληνικῶς. v. Pierson. p. 319. Hic locus docet, Atticos dixisse ἀποπειράσαι. Ceterum Diodor. circa tempus, quo hoc gestum est, non satis est accuratus. (L. XII. p. 511.) Κνῆμος ἔκρινε τὸν Πειραιᾶ καταλαβέσθαι—G.

Τροπωτῆρα] Lorum, quo remus ad scalmum alligatur. Etymologus: Τροπωτῆρες, οἱ ἱμάντες ἐν τοῖς πλοίοις, ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται. Heilmanus vertit: *Ruderring*. G.

Πεζῇ] Vid. Diodor. p. 312. a. Wass.

Οὐδεμία] Οὐδὲ μία et p. 398. 6. οὐδὲ μιᾶς Ms. C. bene. Idem.

Οὐδ' ἀπὸ τοῦ προφανοῦς τολμῆσαι] Diodor. l. c. διὰ τὸ μηδαμῶς ἐλπίζειν (*putarent*) τολμῆσαι τινὰς, καταλαβέσθαι τὸν τόπον—G.

Καὶ ἄνεμος] Καὶ post τὶς sæpe abundare ex hoc et pluribus Thucydidis aliorumque locis

λαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· (καὶ φρούριον ἐπ' αὐτοῦ ἦν, καὶ νεῶν τριῶν φυλακὴ, τοῦ μὴ ἐσπλεῖν Μεγαρεῦσι μηδ' ἐκπλεῖν μηδὲν) τῷ τε φρουρίῳ προσέβαλον, καὶ τὰς τριήρεις ἀφείλκυσαν κενάς· τήν τε ἄλλην Σαλαμῖνα, ἀπροσδοκήτοις ἐπιπεσόντες, ἐπόρθουν.

στδ'. 94. Ες δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι, καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. οἱ μὲν γὰρ ἐν τῷ ἄστει, ἐς τὸν Πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐσπεπλευκέναι ἤδη· οἱ δ' ἐν τῷ Πειραιεῖ, τήν τε τῶν Σαλαμινίων πόλιν ᾑρῆσθαι, καὶ παρὰ σφᾶς ὅσονοὺκ ἐσπλεῖν αὐτούς. ὅπερ ἂν, εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο, καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε· βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ, ναῦς τε καθεῖλκον, καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ, ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. οἱ δὲ Πελοποννήσιοι, ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ, καὶ ἀνθρώπους καὶ λείαν λαβόντες, καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου, κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον. ἔστι γὰρ ὅτε καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι, καὶ οὐδὲν στέγουσαι, ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα, πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζοί. οἱ δ' Ἀθηναῖοι, οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι, ἀπέπλευσαν καὶ αὐτοί. καὶ μετὰ τοῦτο φυλακὴν ἤδη τοῦ Πειραιῶς μᾶλλον τολοιπὸν ἐποιοῦντο, λιμένων τε κλείσει, καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

docet Stephanus ad Script. de Dialect. pag. 34. De φρυκτοῖς, de quibus in princ. Cap. seq. Lips. V. de Milit. Rom. 9. German. et Cerd. ad Virgil. II. Æneid. 256. D.

Φρυκτοὶ ἤροντο] *Auf dem Wege nach Athen hatte man Lermfever gemacht.* Αἴρειν φρυκτὸν idem est hac πυρσεύειν. Ita Diod. XII. p. 512. Τῶν δὲ Σαλαμινίων πυρσευσάντων τοῖς κατὰ τὴν Ἀττικήν· item φρυκτωρεῖν. v. Schwebel. ad Onos. 25. p. 90. in primis rem p. 36. explicat. Φρυκτοὶ dicuntur quoque πυρακτούμενα cf. Lips. de Re mil. R. L. V. 9. Gottl.

Ὅσονοὺκ ἐσπλεῖν] Non absimile vero est, Thucydidem μέλλειν ἐσπλεῖν scripsisse : pro quo μέλλειν mendose apud Scholiastem scribi existimo μέλλουσιν. Sed hic tamen non tanquam hoc μέλλειν legerit, sed tanquam subaudiri debeat, ejus mentionem facit. S.

Βουδόρου] Steph. Ethnic. βούδωρον scribit, uti et Strabo, et Epitom. Βούδαρον φρούριον apud Ephorum invenit Steph. Βουδόρου fluminis meminit Ptolemæus. Diodorus XII. 312. Βουδόριον. Βουδόρας etiam scribi observat Eustath. p. 280. Denique Mss. et Schol. bis, et Noster etiam infra cum ο exhibent. Vid. etiam Hesych. in βουδόρῳ, et Suidam v. βουδόρῳ νόμῳ. Wass.

Ἐκ τοῦ βουδόρου] Diod. l. c. vocat Βουδόριον. Plura dabit Wasseus. Mox pro ἔστι γὰρ ὅτε conjicit Abresch. in Diluc. pag. 269. ἔστι γὰρ ὅ, τε, l. ὅ, τι. Mox διὰ χρόνου, *longo temporis intervallo.* G.

Μετὰ τοῦτο φυλακὴν—τοῦ Πειραιῶς] Diodorus l. c. p. 512. Τὸν δὲ Πειραιᾶ κλείθροις καὶ φυλακαῖς ἱκαναῖς διαλαβόντες (custodiis op-

στέ. 95. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος τούτου ἀρχομένου, Σιτάλκης ὁ Τήρεω Ὀδρύσης, Θρᾳκῶν βασιλεὺς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης· διὰ δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. ὅ, τε γὰρ Περδίκκας, αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ πολέμιον ὄντα μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν. ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον ἐποιεῖτο, καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν

portunis locis collocatis) ὠχύρωσαν. Hesych. in Ζέα· ἔχει δὲ ὁ Πειραιεὺς λιμένας τρεῖς κλειστούς. v. Wessel. ad h. l. G.

Ὑπὸ δὲ τοὺς] In Aug. notatur: ἐντεῦθεν τὰ Θρακικά· et paullo post: Σιτάλκου ἐπιστρατεία. De Thracia Herodoti et Thucyd. accurate exposuit ad h. l. illustris Gatterer, in commentatt. reg. scient. soc. Gœtting. T. V. p. 87. G.

Σιτάλκης] Diodor. 312. b. Supra, pro κλείσει Gr. Cl. κλήσει. At aliter passim Noster. Wass.

Σιτάλκης ὁ Τήρεω] v. h. libri c. 29. De ejus virtute et prudentia in administranda republica v. Diod. XII. p. 512. Herod. L. IV. 80. non obscure innuit, Sitalcis imperium usque ad Istrum pertinuisse; nam belli inter hunc et Octamasaden, Scytharum, tunc divisorum Istro a Thracia, regem, exorti mentionem faciens, de his regibus ita loquitur, ut, eorum regna sibi contermina fuisse appareat. cf. Gattererum p. 90. G.

Ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου] Hic Perdiccas est secundus, et a Perdicca primo, regni Macedonici conditore, rex octavus. Dicitur enim infra c. 100. Archelaus, filius Perdiccæ, habuisse octo priores reges, quod et confirmat unus e veteribus auctor haud spernendus, Herodotus, L. VIII. c. 137. ubi Perdiccas, conditor regni, Alexandro, Perdiccæ II. de quo h. l. est sermo, ἕβδομος γενέτωρ fuit; quem consensum utriusque scriptoris scite notabat Præstantiss. Valkenarius ad L. VIII. 139. Herod. p. 686. Hujus Perdiccæ II. frater fuit Philippus, quem paullo post vocat Noster, ut et L. I. 57. 59. qui genuit Amyntam, quod confirmat Diodor. XII. 50. ad quem loc. v. Wessel. Fuit igitur Amyntas, nepos Alexandri, ex filio Philippo. Si fides est Platoni, (in Gorg. p. 471. Steph.) hic Perdiccas, præter Philippum, habuit alium fratrem, Alcetam, cujus ancilla fuit mater Archelai, et ita spurius filius Perdiccæ, cujus legitimum filium, puerum septennem, in puteum præcipitem egit et suffocavit; quem locum prætermisit Spanhemius, disserens de regibus Macedon. Diss. VII. de Usu et Pr. num. p. 372. nec eum laudavit Valken. ad Herod. l. c. obscura quædam in hac historiæ parte erudite expediens. Ceterum in cod. Cassel. series regum, qui post Cyrum et Amyntam I. regnarunt in Macedonia, scripta est: Γένος Τημενίδων (v. cap. 99.)

Ἀλέξανδρος
Περδίκκαν — Φίλιππον
Ἀρχέλαον — Ἀμύνταν
Φίλιππον
Ἀλέξανδρον τὸν μέγαν, ὃς τὴν Περσῶν δυναστείαν κατέλυσε.

Sed omissi sunt quidam reges. Priores reges, a Perdicca inde, recensuit Herod. VIII. p. 686. Gottl.

Τὴν μὲν βουλόμενος—] *Deren eines er erzwingen*—ἀποδοῦναι sc. Ἀθηναίοις, ut Margo Aldin. Vinar. supplet. Mox αὐτῷ ὑποσχόμενος—in margine Flor. ad h. v. notatur: *videtur aliquid deesse.* N. quid Perdiccas promiserit, Thucydides non dixit, vel quod ipse nesciret, non potuit: itaque vertendum: *certas quasdam promissiones fecerat.* Sequitur, ἃ ὑπεδέξατο. G.

Τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν] Diod. l. c. Σιτάλκης—ὡμολόγησεν αὐτοῖς, (Atheniensibus) τὸν ἐπὶ Θρᾴκης πόλεμον· διόπερ βουλόμενος τοὺς Χαλκιδεῖς σὺν τοῖς Ἀθηναίοις καταπολεμῆσαι—G.

Τὸν Φιλίππου υἱὸν Ἀμύνταν] Diodorus l. c. ἔκρινε (Sitalces) κατάγειν ἐπὶ τὴν Μακεδονικὴν βασιλείαν Ἀμύνταν τὸν Φιλίππου—Philippum,

ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε, καὶ τῶν Ἀθηναίων πρέσβεις, οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἅγνωνα. ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι.

στστ΄. 96. Ἀνίστησιν οὖν, ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος, πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας, ὅσων ἦρχε μέχρι θαλάσσης τῆς ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον· ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας, καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκητο. εἰσὶ δ᾽ οἱ Γέται, καὶ οἱ ταύτῃ, ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται. παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων, καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες. καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ᾽ ἐθελονταὶ ξυνηκολούθουν. ἀνίστη δὲ καὶ Ἀγριᾶνας, καὶ Λαιαίους, καὶ ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν

Perdiccæ fratrem, in parte quadam Macedoniæ regnasse, suspicatur Spanhem. Dissert. VI. de usu et præst. num. p. 374. Hoc dejecto a Perdicca, Sitalces filium Amyntam restituere adnixus est. cf. Wessel. ad Diod. l. c. G.

Αἵμου] Αἷμος Steph. et Callimachus. at Cl. Gr. Αἵμος, quomodo Geographi antiqui, Herodotus IV. 49. Theocritus Id. VII. 76. Diodorus, Eustathius et Apollodorus. Wass.

Alii codd. habent Αἵμου, ut Geographi antiqui. Est autem Æmus ὄρος Θράκης. v. Schol. Theocr. VII. 76. Effertur quoque in neutro. v. Stephan. B. p. 64. et Berkelius. Cellarius G. A. p. 1296. præfert Αἷμος, quod ante se præpositionis litteram tenuem adspirat. Theocr. Id. VII. 76. μακρὸν ὑφ᾽ Αἷμον. Utraque scriptura occurrit, altera tamen usitatior. Ceterum desunt in Mosq. verba ἀνίστησι—usque ad Θρᾷκας. G.

Τοὺς ὑπερβάντι Αἷμον Γέτας] Stephanus præter ea, quæ ex illius adnotatione excerpsit Hudsonus, scribit, vix mentione dignam videri alteram lectionem τοὺς ὑπερβάντας Αἷμον Γέτας. Participium, quod deesse putat, potest esse ὄντας, aut aliud hujusmodi. Duck.

Hoc participium potuisset abesse, quod magis ornatus quam necessitatis caussa positum videtur. Sic supra c. 49. τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ᾽ ὑπέρυθρον—ubi quidam libri ἁπτόμενον—ubi vid. Abresch. p. 225. Altera lectio ὑπερβάντας est ab imperito librario. Ceterum ex h. l. patet, Thraciam Istro a Scythia, boream versus, disjunctam fuisse. v. Illustr. Gatterer. p. 95. qui docet Nostrum consentire cum Herod. IV. c. 48. 49. 51—58. qui flumina Scythica commemorat. Gottl.

Ὅμοροι—ὁμόσκευοι] Laudat Pollux X. 14. ubi similem locum adnotant e Lib. III. cap. 95. Ἱπποτοξότας esse constat et ex Ovidio. v. III. Trist. 10. 54. V. 7. 14. et alibi. Duck.

Ἱπποτοξόται] v. præter scriptores a Duckero laudatos, Synes. in Dion. p. 25. ubi Petav. in not. p. 13. hujus loci non est oblitus. Mox τῶν ὀρεινῶν Θρᾳκῶν—hos montanos Thraces libertate usos esse, confirmat Herod. VII. p. 535. ubi Satræ, gens Thraciæ, dicuntur ἐόντες ἐλεύθεροι μοῦνοι. Δῖοι, quos Plinius vocat Diobessos, (i. e. gentem ex Diis et Bessis mixtam) L. IV. jam Ortelius fuerat suspicatus, ut notat Valken. ad Herod. l. c. G.

Μαχαιροφόρων] Idem de Sarmatis et Getis, vicinis Tomitanæ regioni, scribit Ovid. V. Tr. 7. 19. *Dextera non segnis fixo dare vulnera cultro, Quem vinctum lateri barbarus omnis habet.* Duck.

Λεαίους] Stephano Λαῖνοι. hinc emenda. Wass. Si Stephani Ethnica secundum seriem elementorum, quod Docti putant, composita sunt, non potest locus ille emendari e

ἦρχε. καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν, μέχρι Γραιαίων καὶ Λαιαίων Παιόνων, καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκομίου ὄρους διὰ Γραιαίων καὶ Λαιαίων ῥεῖ· οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη. τὰ δὲ πρὸς Τριβαλλοὺς, καὶ τούτους αὐτονόμους, Τρῆρες ὥριζον, καὶ Τιλαταῖοι. οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ Σκομίου ὄρους, καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ Οσκίου ποταμοῦ. ῥεῖ δ' οὗτος ἐκ του ὄρους ὅθενπερ καὶ ὁ Νέστος καὶ ὁ Εβρος. ἔστι δὲ ἔρημον τὸ ὄρος καὶ μέγα ἐχόμενον τῆς Ροδόπης.

στζ΄. 97. Εγένετο δὲ ἡ ἀρχὴ ἡ Οδρυσῶν, μέγεθος, ἐπὶ μὲν θάλασσαν καθήκουσα, ἀπὸ Αβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον, τὸν μέχρι Ιστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ

vulgata lectione Thucydidis: nam non debet vox, cujus primæ literæ sunt Λε, inter eas poni, quarum principium est Λα. Ordini literarum, qui est in Stephano, melius conveniret scriptura plerorumque Mss. Thucydidis Λαιαῖοι. Duck.

Λαιαίους] Præeuntibus codd. bonis correxi pro Λεαίους, quod melius convenit Steph. Λαῖνοι, ἔθνος Παιονικόν. Θουκυδίδης δευτέρᾳ. G.

Σκομίου] Al. Σκόμβρου. hinc Σκόμβροι Θρᾴκιον ἔθνος Hesych. Scopius Plinio. Cedrenus p. 705. Σκοπίων πόλις. Wass.

Τρῆρες] Sic Codices, et Callimachus; Theopompus Τρᾶρας vocat. Cum Nostro faciunt Strabo et Ethnicogr. Supra p. 400. circa fin. 'Αγριᾶνας ex Theopompo eosdem esse cum Sintis Aristotelis probare conatur Holstenius: Noster autem, et Livius XLII. 51. distinguit. Agrianus fluvius recepto Contadesdo inter Hæmum et Adrianopolim, antea Orestam, Hebrum influit. vid. Herodotum IV. 90. V. 16. Sintice cis Strymonem. v. Dionem Cassium pag. 462. et Apollonii Schol. ά. 608. Duck.

Τοῦ Σκομίου ὄρους] Palmerius notat apud Abresch. Diluc. p. 269., hunc montem Aristot. Meteor. l. 13. esse Scombrum, et Plin. L. IV. 10. Scopium. Gottl.

Νέστος] Sic scribunt Herodotus, Scylax, Pausan. Mela, ubi v. Vossium p. 132. Aristot. VI. Hist. An. p. 985. et Meteorol. 291. 1. fontes ejus ἐκ τοῦ Σκόμβρου deducit. Steph. contra Nestum fluv. Illyrici facit. Livius Nesson vocat, et Theophrastus, ὁ Νέσσος ἐν τῇ 'Αβδηρίτιδι. Ita et Strabonis Epit. Schol. Hesiod. p. 261. et adstipulante Phavorino etiam Hesychius. Ptolem. Νέσος. Ms. Coislin. Ναῖσσον. De qua lectione, vid. Ammianum. In Mss. Plin. Solini, Martiani fere Mestum, Mesius, Mese. Nos scripturam ab antiquissimis firmatam amplectimur. Wass. Hebrum e Rhodope nasci scribunt Diocles apud Scholiast. Theocr. VII. 112. Serv. et Philargyr. ad Virgil. IV. Georg. 523. Adnotavit Meziriac. ad Ovid. Heroid. Tom. I. pag. 130. Quia contigui sunt Oscius et Rhodope, nec Oscius valde celebris est, facile fontes Hebri in Rhodope locari potuerunt. D.

Strabo L. VII. p. 498. Νέσον vocat. Sed ut Noster, ita Herodot. VII. 109. Cum libris vett. quatuor et Thucydide corrigendum est apud Strabon. Νέστου, ut vidit Casaub. v. ad Schol. Dicitur hic fluvius Pangæi montis quoque Mestus. v. Harduin. ad Plin. IV. c. p. 18. 86. Lips. G.

'Η ἀρχὴ ἡ 'Οδρυσῶν] Aliter quidam Mss. minus bene. De Abderis vid. Addenda. W.

'Απὸ 'Αβδήρων—'Ιστρου ποταμοῦ] Diod. XII. p. 512. ἡ μὲν παραθαλάττιος αὐτῆς ἀπὸ τῆς 'Αβδηριτῶν χώρας τὴν ἀρχὴν ἔχουσα, διέτεινε μέχρι τοῦ Ἴστρου ποταμοῦ. G.

Αὕτη περίπλους ἐστὶν ἡ γῆ] Nisi Scholiastem hanc agnoscere lectionem videremus, dum περίπλους exponit δυνατὴ περιπλευσθῆναι, suspectum locum haberemus, quasi potius scriptum a Thucydide esset, ταύτῃ περίπλους ἐστὶ τῇ γῇ. Steph. Cur paullo post Interpres Latinus, Vallam sequutus, ναῦν στρογγύλην voluerit vertere navem *rotundam*, non scio. Græci quidem multis navibus nomen imposuerunt a forma, de quo Salmas. Observat. ad Jus Attic. et Rom. pag. 658. Sed non credo, Scriptores Latinos eas, quas Græci στρογγύλας vocant, *rotundas* dicere. Est autem in ea re sequendus usus Veterum, qui has *onerarias* appel-

ταξυντομώτατα, ἢν αἰεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηῒ στρογγύλῃ, τεσσάρων ἡμερῶν, καὶ ἴσων νυκτῶν. ὁδῷ δὲ ταξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ. τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν. ἐς ἤπειρον δὲ, ἀπὸ Βυζαντίου ἐς Λαιαίους, καὶ ἐπὶ τὸν Στρυμόνα (ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης ἄνω) ἐγίγνετο ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προσῆξαν ἐπὶ Σεύθου, (ὃς, ὕστερον Σιτάλκου βασιλεύσας, πλεῖστον δὴ ἐποίησε,) τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη· καὶ δῶρα οὐκ ἐλάσσω τούτων χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο· χωρὶς δὲ, ὅσα ὑφαντά τε καὶ λεῖα, καὶ ἡ ἄλλη κατασκευή· καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις Ὀδρυσῶν. κατεστήσαντο γὰρ τοὐναντίον τῆς [τῶν] Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξὶ, λαμβάνειν μᾶλλον ἢ διδόναι. καὶ αἴσχιον ἦν, αἰτηθέντα μὴ δοῦναι, ἢ αἰτήσαντα μὴ τυχεῖν. ὅμως δὲ, κατὰ τὸ δύνασθαι, ἐπιπλέον αὐτῷ ἐχρήσαντο. οὐ

lare maluerunt. Ἐμπορικὴν hic recte exponit Schol. et Schol. Aristoph. Equit. v. 1363. φορτηγόν. Vid. Scheff. IV. de Re Nav. I. D.

Adjective positum περίπλους notat Abres. Diluc. p. 269. ut ἔφορμος, L. III. 79. νῆες ἔφορμοι οὖσαι. Ita ὑετὸς, unde ἄνεμοι ὑετώτατοι apud Herod. II. 52. G.

Νηῒ στρογγύλῃ] *Navi oneraria.* Male interp. *rotunda.* G.

Εὔζωνος] Sic locutus Herodotus I. et alibi. Sic πλοῦς ἡμέρας, et τεσσάρων ἡμ. καὶ νυκτῶν, et στάδια ρπ΄. πεζῇ, et πλοῦς προαριστίδιος apud Scylacem, quæ formulæ Scriptoris istius novitatem facile demonstrant; semper fere *stadia, Thucydideo* more numquam locutus est. Post Olymp. 114. Per. Jul. 4396. stadia adhibet Dicæarchus, et locorum intervalla per dierum et noctium iter designat. Hinc ad Oropum ὁδὸν ἐλευθέρῳ βαδίζοντι σχεδὸν ἡμέρας. Haud ita Scymnus Chius circa A. M. 3938. Verum, qui antiquos, maxime Homerum, imitatur, Dionysium excipiamus, Perieg. V. 985. Τόσσον ἄνευθεν ἰὼν, ὅσον ἕβδομον ἦμαρ ὁδεύσας Ἴφθιμος καὶ κραιπνὸς ἀνὴρ ἀνύσειεν ὁδίτης. Exiguum temporis intervallum ita effert Hippocrates §. IV. p. 5. ἐπισχέτω ὅσον δέκα στάδια διελθεῖν. Wass. De Scylacis ratione dimetiendi intervalla navigationum, quam hic tangit Cl. Wass. add. Dodwell. in Dissertat. de Peripli Scylacis ætate §. 13. Quod ibid. §. 17. observat Dodwellus. πλοῦν Scylaci esse spatium navigationis inter urbes in ora maritima sitas, ὁδὸν autem spatium inter easdem terra euntibus, in eo potuit Scylax sequutus esse auctorem Thucydidem h. l. Duck.

Ἐς ἤπειρον—] Diodor. l. c. ἀπὸ δὲ θαλάττης εἰς τὸ μεσόγειον πορευομένῳ τοσοῦτον εἶχε διάστημα, ὥστε πεζὸν εὔζωνον ὁδοιπορῆσαι ἡμέρας τρεισκαίδεκα—G.

Ὅσον προσῆξαν] Hoc loco utebatur Valken. in adnot. ad Xenoph. Memor. p. 249. ad defendendam v. συνῆξας, quanquam præferebat συνῆχας. G.

Τετρακοσίων] Diodor πλείω χιλίων p. 312. c. qui corrigendus. Wass.

Τετρακοσίων ταλάντων] Diod. l. c. haud dubie ex alio scriptore: ἐλάμβανε προσόδους, καθ᾽ ἕκαστον ἐνιαυτὸν πλείω χιλίων ταλάντων. Itaque h. l. non corrigendus est e Thucydide, ut putat Wasseus, cum non constet, eum e Thucydide tantummodo hausisse. v. Wessel. l. c. G.

Λεῖα] Suidas h. v. hinc sua mutuatus est. vid. Pollucem VII. 51. Wass.

γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. ὥστε ἐπὶ μέγα ἡ βασιλεία ἦλθεν ἰσχύος. τῶν γὰρ ἐν τῇ Εὐρώπῃ ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου, μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ· ἰσχύϊ δὲ μάχης, καὶ στρατοῦ πλήθει, πολὺ δευτέρα μετὰ τὴν Σκυθῶν. ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ, τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται.

στή. 98. Σιτάλκης μὲν οὖν, χώρας τοσαύτης βασιλεύων, παρεσκευάζετο τὸν στρατόν. καὶ ἐπειδὴ αὐτῷ ἕτοιμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ τὴν Μακεδονίαν, πρῶτον μὲν διὰ τῆς αὑτοῦ ἀρχῆς, ἔπειτα διὰ Κερκίνης, ἐρήμου ὄρους, ὅ ἐστι μεθόριον Σίντων καὶ Παιόνων. ἐπορεύετο δὲ δι' αὐτοῦ τῇ ὁδῷ, ἣν πρότερον αὐτὸς ἐποιήσατο, τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ Παίονας ἐστράτευσε. τὸ δὲ ὄρος ἐξ Ὀδρυσῶν διϊόντες, ἐν δεξιᾷ μὲν εἶχον Παίονας, ἐν ἀριστερᾷ δὲ Σίντους καὶ Μαίδους. διελθόντες δὲ αὐτὸ, ἀφίκοντο ἐς Δόβηρον τὴν Παιονικήν. πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ, εἰ μή τι νόσῳ· προσεγίγνετο δέ. πολλοὶ γὰρ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν. ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι. καὶ τούτου τὸ μὲν

Μεγίστη ἐγένετο—] Herod. V. 3. p. 373. Thraces vocat ἔθνος μέγιστον, μετά γε Ἰνδοὺς πάντων ἀνθρώπων, si unius imperio regerentur. Cui sententiæ suam opponit Thucydides, Scythas esse, quibus ὁμογνωμονοῦσι nulla gens resistat, ut sagacissimus Valkenarius ad l. c. Herodoti observat. cf. Pausan. I. 9. Attingit hanc multitudinem Scytharum Xenoph. Cyrop. I. 1. Ill. Gatterer (p. 91.) Herodotum de Thracibus tam præclare sentire, quod de universis loquatur, Thucydidem vero de Odrysis tantum judicare. Gottl.

Οὐ μὴν οὐδ' ἐς τὴν—] *Veruntamen Scythæ non item sunt similes aliis nationibus sapientia, sed multo inferiores hac quidem in parte.* vid. Reisk. anim. p. 24. G.

Ἄρας] Sc. τὸ στράτευμα, ut suppletur in cod. Cass. In ἕτοιμα ἦν, subaud. πάντα, quod subinde omittitur. G.

Δόβηρον] Vid. Berkelium ad Steph. Veram loci scripturam firmat Epigr. ined. apud Holsten. et Zosimus p. 39. 109. Apud Suidam male scribitur Δόβειρα. Wass.

Τῶν αὐτονόμων—ἠκολούθουν] Citat Suidas et ἀπαράκλητοι expl. αὐτόματοι. Confer de numero copiarum Diodor. p. 312. c. Wass.

Ἀπαράκλητοι] i. e. αὐτόματοι, sic Suidas, qui h. l. laudat. Abreschius in Diluc. p. 269. putabat, Hesychium sub h. v. huc respexisse: ἀπαράκλητος, ἀσύγκλητος et αὐτόματος, ut pro vulg. ἀπαράβλητος—et ἀνόμοιος legit. G.

Τὸ πᾶν πλῆθος—πεντεκαίδεκα μυριάδων] Diodorus l. c. ἤθροισεν—πεζοὺς μὲν πλείους τῶν δυοκαίδεκα μυριάδων, ἱππεῖς δὲ πεντάκις μυρίους· quem dissensum etiam notavit Wessel. ad l. c. Diodori. G.

πλέον πεζὸν ἦν· τριτημόριον δὲ μάλιστα, ἱππικόν. τοῦ δ' ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο, καὶ μετ' αὐτοὺς Γέται. τοῦ δὲ πεζοῦ, οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν, οἱ ἐκ τῆς Ροδόπης αὐτόνομοι καταβάντες· ὁ δὲ ἄλλος ὅμιλος, ξύμμικτος, πλήθει φοβερώτατος ἠκολούθει.

στϑ'. 99. Ξυνηθροίζοντο οὖν ἐν τῇ Δοβήρῳ καὶ παρεσκευάζοντο, ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω Μακεδονίαν, ἧς ὁ Περδίκκας ἦρχε. τῶν γὰρ Μακεδόνων εἰσὶ καὶ Λυγκησταὶ, καὶ Ἐλειμιῶται, καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὑτά. τὴν δὲ περὶ θάλασσαν νῦν Μακεδονίαν Ἀλέξανδρος ὁ Περδίκκου πατὴρ, καὶ οἱ πρόγονοι αὐτοῦ Τημενίδαι, τοαρχαῖον ὄντες ἐξ Ἄργους, πρῶτοι ἐκτήσαντο, καὶ ἐβασίλευσαν, ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας (οἳ ὕστερον ὑπὸ τὸ

Τριτημόριον] Pollux IX. 66. τριτημόριον ὅταν μέντοι Θουκυδίδης εἴποι, τριτημόριον δὲ μάλιστα ἱππικὸν, τὴν τρίτην μοῖραν εἴρηκε. D.

Τὴν κάτω Μακεδ.] Thucydidi ἡ κάτω Μακεδονία dicitur, quæ ad littus maris Ægæi extendebatur, oppositione facta ad montanas Macedoniæ regiones, ut liquido patet ex libro 2. ubi de expeditione Sitalcis in Macedonas agit. Vide Palmerii Græc. antiq. p. 79. et 80. Huds.

Ἐς τὴν κάτω Μακεδονίαν] Quæ ad littus maris Ægæi extendebatur. v. Palmer. ant. Gr. p. 79. De divisione Macedoniæ in maritimam et mediterraneam exposuit Spanhem. de usu et Pr. num. Diss. VII. p. 371. G.

Λυγκησταὶ] Ita scribendum. Latini quoque habent Lyncestes. v. Duck. ad h. l. G.

Ἐλειμιῶται] Arrianus Ἐλυμιῶτιν scribit. Wass. Ita vocat regionem I. de Expedit. Alex. c. 7. vid. Holsten. ad Steph. in Ἐλίμεια, et Cellar. II. Geogr. Ant. 13. Qui hic et alibi in Thucydide et aliis Λυγκησταὶ, Straboni et Stephano Λυγκισταὶ sunt, Diodoro Sic. XVII. p. 592. Λυγκεσταὶ, ut scribit Hardvin. ad Plin. IV. 10. quamquam ibi in Ed. Rhodon. est Λυγκιστῶν per ι. Holsten. probat Λυγκησταί. Recte, opinor: nam ι e pronunciatione τοῦ η ortum esse, ex eo probabile est, quod Latini fere ubique in secunda syllaba *e* habent; ut Amyntas Lyncestes, Alexander Lyncestes apud Curtium semper; Lyncestius amnis Ovid. XV. Metam. 329. Lyncestis aqua Plin. II. H. N. 103. et alii. In Justin. XI. 2. scriptura variat. Ceterum, Stephanum Lyncum et Lyncestas perperam in Epiro ponere, adnotant ad eum Interpretes v. Λύγκος. Duck.

Scriptura hujus populi, ut et urbis Ἐλιμίας, infra Apolloniam sitæ, varia est. Hæc certe vitiosa est, quæ Elemiam scribit, ut reperitur apud Xenophontem L. V. Hist. Gr. c. 2. p. 257. ut scite judicat Vener. Morus, qui pro ea malit Ἐλυμία, s. Ἐλειμία. Steph. de Urbb. p. 340. habet Ἐλίμεια et Ἐλιμειώτης, quod videtur probandum. Livius enim L. XXXI. 40. vocat *Elimeam.* Ita L. XLII. 53. XLIII. 21. v. Drakenb. ad L. XLII. 53. G.

Ἀλέξανδρος] Amyntæ filius, septimus Macedoniæ rex, qui Xerxis bello a Medorum partibus stetit, semper tamen cum Græcis (unde φιλέλληνος cognomen tulit) occulte amicitiam fovens. Huds. De serie et successione Regum Macedoniæ, deque divisione Macedoniæ in maritimam et mediterraneam, legi debent, quæ scripsit Magnus Spanhemius, Dissert. VII. p. 371. et seqq. Ed. ult. de Præst. et usu Numism. quibus egregie inlustrantur, quæ de regno Macedonum variis locis scribit Thucydides. Duck.

Πρόγονοι αὐτοῦ Τημενίδαι] Macedoniæ reges Herodoto (l. 7. c. 173.) dicuntur ἀπόγονοι Τημενοῦ, qui sub reditum Heraclidarum Argos obtinuit. Vide etiam Herod. l. 9. c. 44. et l. 5. c. 22. Huds.

Οἱ πρόγονοι αὐτοῦ Τημενίδαι] Temenidas, Alexandri majores, potitos esse Macedonia maritima, pluribus narrat Herod. VIII. 137. Gottl.

Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα, καὶ ἄλλα χωρία· καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ) ἐκ δὲ τῆς Βοττίας καλουμένης, Βοττιαίους, οἳ νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσι· τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιον ποταμὸν, στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο. καὶ πέραν Ἀξίου, μέχρι Στρυμόνος, τὴν Μυγδονίαν καλουμένην, Ἠδῶνας ἐξελάσαντες, νέμονται. ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Εορδίας καλουμένης Εόρδους. (ὧν οἱ μὲν πολλοὶ διεφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται) καὶ ἐξ Ἀλμωπίας, Ἀλμῶπας. ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι, ἃ καὶ νῦν [ἔτι] ἔχουσι, τόν τε Ἀνθεμοῦντα καὶ Κρηστωνίαν καὶ Βισαλτίαν, καὶ Μακεδόνων αὐτῶν πολλήν. τὸ δὲ ξύμπαν, Μακεδονία καλεῖται, καὶ Περδίκκας Ἀλεξάνδρου, βασιλεὺς αὐτῶν ἦν, ὅτε Σιτάλκης ἐπῄει.

Φάγρητα] Vide Herodot. p. 418. Strabonis Epitom. et Leopard. Emend. l. 8. c. 2. Huds. Vid. Herodot. VII. 112. Φάγρη corrupte Scylax p. 27. cum Nostro Strabonis Epit. 108. Φάγρος piscis genus Strabo p. 1179. vid. Athenæum p. 295. 312. apud Hesych. lege φαγρόριος. Confer Clem. Alexand. p. 34. et Pollucem, Plutarch. Mor. 353. Est et Φάγρος Apollinis filius apud Nicand. in Ἑτεροιουμ. Wass. Est in Antonin. Liberal. Cap. XIII. Urbs, de qua hic Thucydides, etiam apud Stephanum Φάγρης est, h. v. et in Κύρης. Duck.

Hujus urbis Thraciæ meminit Stephanus h. v. p. 731. hoc loco Thucyd. laudato. G.

Ἄξιον] Vid. Homerum Il. β'. 849. et Strabonis Epit. 509. Βαρδάριον vocat Cedrenus p. 705. In Codice Cantacuzeni Ms. invenitur etiam Βριστρίτζα, apud Annam Comnenam Βαρδάρης audit. Consule Fulcher. Carnotens. I. 3. Wilhelm. Tyrium II. 13. Tzetzes videtur distinguere Chil. X. 188. Wass. Ἀξιοῦ in Homer. Il. β'. 849. 850. edidit Barnes. quod in aliis Edd. est Ἀξίου, et Eustath. ac parvus Scholiast. ibi habent Ἄξιος, Ἀξίου, Ἄξιον. Herodot. quoque VII. 123. Ἄξιος. Duck.

Ἐόρδους] Ita hodie in barbarie Scythica *Hords*. Hesych. duplicem adfert lectionem Ἔορτος, ἢ Ἔορδος. Herodotus VII. 185. Ἐορδοί. Wass.

Steph. de urbb. p. 346. Ὀξύνεται τὸ Ἐορδὸς, ὡς Ἡρωδιανὸς ἔκτη. Sic Herodotus quoque VII. 185. G.

Ἀλμωπίας] Ita Mss. et Steph. Constantinus Porph. II. de Them. Ἀλμοπία. et sic Ptolemæus, at Mss. Pall. rectius, Ἄλμωπες. ἀπὸ Ἄλμωπος Neptuni, et Helles Athamantis filiæ. Steph. Vix alibi invenies. vid. tamen Plinium I. 433. Ptolem. pag. 92. 26. Ἀλβωτῶν, lege Ἀλμωπῶν. Wass.

Ἀνθεμοῦντα] Oppidum, et inter regiones nomen gentis. Vid. Herodot. V. 94. Harpocrat. v. Ἀνθεμοῦς, Aristid. II. 224. Libanius Declam. XIII. Ἀνθεμοῦντα ὅλον dixit. Est et fluvii nomen Geographis ignotum, ut et Hesychio et Apollodoro constat. Vid. et Plin. IV. 10. Æschin. de Fals. legat. p. 250. Wass.

Γρηστωνίαν] Ita Mss. hic et alibi. Gr. cum ο male. Stephanus, Theopompus apud Athenæum, Herodotus, Aristoteles de Mirabil. Ausc. p. 112. Lycophron bis, receptam lectionem tuentur. Stephanus mendose uno in loco Γαστρωνίαν. Theopompus apud Athen. III. p. 77. Γραιστωνία. Herodot. VII. 124. Κρηστωνικὴ ex Ionismo, κ pro γ. Ibi Ms. Flor. Κρηστωνένς, pro Κρηστωναίης. Tzetzes, Κρηστώνη, ἀπὸ τῆς Ἄρεος καὶ Κυρήνης θυγατρός. Sic Κρηστώνης ἔχις apud Lycophron. v. 499. ubi Ms. Seld. Κρηστόνης, et τὸν Κρηστώνης θεὸν, v. 937. Pro Κραστωνίᾳ apud Aristotel. legendum Κρηστωνίᾳ, auctore Sylburgio. Wass. Confer quæ ad Stephanum in Γαστρωνία, Γρηστωνία, et Κρήστων adnotant Interpretes. Duck.

Κρηστωνίαν καὶ Βισαλτίαν] Accuratior Scriptura esse videtur Κρηστωνίαν, quam tex-

ρ΄. 100. Καὶ οἱ μὲν Μακεδόνες οὗτοι, ἐπιόντος πολλοῦ στρατοῦ ἀδύνατοι ὄντες ἀμύνεσθαι, ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη, ὅσα ἦν ἐν τῇ χώρᾳ, ἐσεκομίσθησαν. ἦν δὲ οὐ πολλά· ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς, βασιλεὺς γενόμενος, τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε, καὶ ὁδοὺς εὐθείας ἔτεμε, καὶ τἄλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις, καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι, ἢ ξύμπαντες οἱ ἄλλοι βασιλεῖς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι. ὁ δὲ στρατὸς τῶν Θρᾳκῶν ἐκ τῆς Δοβήρου ἐσέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχὴν, καὶ εἷλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυνίαν δὲ, καὶ Ἀταλάντην, καὶ ἄλλα ἄττα χωρία, ὁμολογίᾳ, διὰ τὴν Ἀμύντου φιλίαν προσχωροῦντα, τοῦ Φιλίππου υἱέος παρόντος. Εὔρωπον δὲ ἐπολιόρκησαν μὲν, ἑλεῖν δὲ οὐκ ἠδύναντο. ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προὐχώρει τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύῤῥου. ἔσω δὲ

tui inserui pro Γρηστωνίαν· quanquam Wasseus Ionicam dialectum putat, quæ κ pro γ amat. Sed oblitus est Wasseus loci L. IV. c. 109. ubi τὸ Βισαλτικὸν καὶ Κρηστωνικὸν occurrit. Herodotus habet Κρηστωναίους L. V. 3. p. 373. et Κρηστῶνα πόλιν, (L. I. c. 57.) Natio Crestonica fuit in Thraciæ finibus, et urbs Creston Thucydidis ætate fuit pæne barbara et δίγλωσσος, cujus meminit Herod. VII. 124. VIII. 116. ubi γῆ Κρηστωνική. v. Wessel. ad Herod. p. 26. et 373. Stephanus Byzant. commemorat Κρηστώνην· (p. 479.) Κρήστων, πόλις Θρᾴκης. Ἔοικε δὲ εἶναι ἡ Κρηστώνη, παρ' Ἡροδότῳ. Sed nusquam reperitur urbs hujus nominis in Herod. G.

Ὁδοὺς ἔτεμε] Ita loquitur Herodot. Lib. IV. Wass.

Ὁδοὺς εὐθείας ἔτεμε] Dictio est Herodotea, quæ huc et in alios scriptores fluxit. Herod. IV. c. 136. p. 340. οὐ τετμημένων τῶν ὁδῶν. De viarum munitione adhibet Philo τέμνειν et ἀνατέμνειν. v. c. de mund. opif. p. 14. B. et creat. princ. p. 723. ut notavit Wesseling. ad l. c. Herod. h. l. *er liess die Landstrassen gerade durchbrechen.* Forma loquendi occurrit h. l. c. 56. ter. G.

Ἵπποις καὶ ὅπλ.] Ex hoc loco rationem reddi posse existimat Bergerus, cur Archelai numismata Equum in aversa exhibent. Huds.

Βασιλεῖς ὀκτὼ, etc.] Ab Herodoto (l. 8. c. 139.) septem priores Macedoniæ reges recensentur. I. Perdiccas, conditor regni. II. Aræus (alias Argeus). III. Philippus. IV. Æropus. V. Alcetas. VI. Amyntas. VII. Alexander. Huic successit Perdiccas pater Archelai. Huds.

Εἰδομένην] Vide Vossium ad Catullum, p. 210. Huds. Εἰδομένην Mss. et Steph. cum Edd. Cl. in Marg. Ὀδομένην. Vid. omnino Holstenium. In Schol. Lexicis Vett. et Auctoribus nulla hujus oppidi mentio. Tumuli ejusdem nominis inter Ambraciam et Acarnaniam siti: forte ad Idomenen Pheretis filiam respiciunt. Apollod. p. 42. W.

Ἄλλα] pro ἄλλα etc. Gr. τ' ἄλλα ἄττα χ. sed Xenophon et Lucianus articulum non adhibent: valet enim ἅτινα et ὅσα. Sed nec in Phædone Plato. et καί τε non dicitur. Xenophon semel ἄσσα, verum ἄττα hic legisse videtur T. Magister. Cum ταῦτα conjungit Aristoph. Νεφ. et per ττ effert. Herodot. I. 197. παραινέουσι ἍΣΣΑ αὐτὸς ποιήσας ἐξέφυγε. Sic et Barocc. Eum sequitur Aretæus 82. Wass. De hac particula post Grammaticos veteres egerunt Budæus in Commentar. Ling. Gr. p. 967. Steph. Append. ad Script. de Dial. p. 82. Maussac. ad Harpocrat. et Vales. ad Notas Maussaci. Duck.

Ἄλλα ἄττα] i. e. ἄλλα τινὰ, non, ut Wasseus ad h. l., ὅσα l. ἅτινα, quod est ἅττα. Præter eos, quos laudat Wasseus et Duckerus, vid. Fisch. V. Cel. ad Plat. Phædon. c. 3. et nostras animadv. in Phæd. p. 9. G.

Κύῤῥου] Κύρου, quod hic habet Cod. Reg. etiam in Mss. Stephani est, v. Μανδαραὶ, ubi id emendant e Thucydide. Duck.

τούτων ἐς τὴν Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τήν τε Μυγδονίαν καὶ Κρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδῄουν. οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων, ὅπη δοκοῖ, ὀλίγοι πρὸς πολλοὺς ἐσέβαλλον ἐς τὸ στράτευμα τῶν Θρᾳκῶν. καὶ ᾗ μὲν προσπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους· ὑπὸ δὲ πλήθους περικλειόμενοι, αὐτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν. ὥστε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν.

ρα΄. 101. Ὁ δὲ Σιτάλκης πρός τε τὸν Περδίκκαν λόγους ἐποιεῖτο, ὧν ἕνεκα ἐστράτευσε, καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσὶν, ἀπιστοῦντες, αὐτὸν μὴ ἥξειν, δῶρά τε καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τὶ τοῦ στρατοῦ πέμπει. καὶ τειχήρεις ποιήσας, ἐδῄου τὴν γῆν. καθημένου δ᾽ αὐτοῦ περὶ τοὺς χώρους τούτους, οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες, καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν, καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν, μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι, καὶ Ὀδόμαντοι, καὶ Δρῶοι, καὶ Δερσαῖοι· αὐτόνομοι δ᾽ εἰσὶ πάντες, παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς

Ὑπὸ δὲ πλήθους περικλειόμενοι—] E Schol. interpretatione patet, eum non legisse αὐτοὺς, sed αὑτούς. Abresch. in Diluc. p. 230. inclinat eo, ut magis probet hanc Scholiastæ rationem, constituendo hoc ordine: περικλ. (οἱ Θρᾷκες) ὑπὸ τοῦ πλήθους (i. e. διὰ τὸ πλῆθος) καθίστασαν αὐτοὺς (Macedonas) ἐς κίνδυνον τῷ πολλαπλασίῳ (αὐτῶν) ὁμίλῳ· ut πολλαπλ. ὁμ. sint casus sexti. Sed difficilior est et contortior explicatio, quod sensit Abreschius, quod sequentia verba ad Macedonas subito referantur. Sed, ne gravemus bonum scriptorem justo pluribus loquendi modis paullo insolentioribus; simplicior est illa, quæ cuique locum legenti in mentem venit: *Macedones a multitudine Thracum circumventi, semet in discrimen conjiciebant examini Thracum, ipsis longe numerosiori.* G.

Ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν] Sic I. 10. ubi Schol. adnotat, μὴ post ἀπιστεῖν Ἀττικῶς abundare. Lucian. Rhetor. præcept. p. 321. ei duas negationes adponit: οὐχ ἕξουσιν ὅπως ἀπιστήσουσι μὴ οὐχὶ πάνδεινόν τινα ἐν τοῖς λόγοις ἀγωνιστὴν εἶναί σε. Eumdem pleonasmum post ἀπαγορεύω, κωλύω, ἀρνοῦμαι, et εἴργω observat Stephanus ad Corinth. artic. VIII. et XLIII. Simile est supr. II. 49. ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν. Add. infr. ad III. 1. Duck.

Μάγνητες] Magnesia post Strabonis tempora Thessaliæ adjecta est. vid. Plin. IV. 9. Ptolemæus aliis adscribit. Μαγνητικὴ Æschylus Pers. 492. Μαγνησίαν Dioscorides memorat p. 193. *Ad civitatem intelligit ad Mæandrum sitam, de qua Tournefort. II. 370. Wass.

Ὀδόμαντοι] Vide Aristoph. Acharnenses, ejusque Scholiasten, p. 378. apud quem Ὀδόμαντες appellantur. Huds. Ὀδόμαντοι Mss. hic et p. 294. uti et Steph. v. Herodot. V. 16. Liv. XLV. 4. Confer Dissertat. Morini de Odomantis, et Suidam v. ἀποτεθρίακεν, et quem ibi citat Aristoph. Wass.

Λόγον παρέσχεν] *Loquendi materiam præbuit, rumorem excitavit.* Exempla hujus

τῶν Ἀθηναίων πολεμίους Ἕλληνας, μὴ οἱ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν, καὶ ἐπὶ σφᾶς χωρήσωσιν. ὁ δὲ, τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων, ἔφθειρε. καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐσέβαλε, καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ, καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαραδόκου, ἀδελφιδοῦ ὄντος, καὶ μέγιστον μετ' αὐτὸν δυναμένου, ὥστ' ἐν τάχει ἀπελθεῖν. τὸν δὲ Σεύθην κρύφα Περδίκκας, ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν, καὶ χρήματα ἐπ' αὐτῇ, προσποιεῖται. καὶ ὁ μὲν, πεισθεὶς, καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἴκου. Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ ὑπέσχετο. τὰ μὲν οὖν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

ρβ'. 102. Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι, τοῦ αὐτοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου, ἐστράτευσαν παραπλεύσαντες ἐπ' Ἀστακοῦ. καὶ ἀποβάντες ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας, τετρακοσίοις μὲν ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίων, καὶ ἔκ τε Στράτου, καὶ Κορόντων, καὶ ἄλλων χωρίων, ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν, καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες, ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς. ἐς γὰρ Οἰνιάδας, ἀεί ποτε πολεμίους ὄντας μόνους Ἀκαρνάνων, οὐκ ἐδόκει δυνατὸν εἶναι, χειμῶνος ὄντος, στρατεύειν. ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ

usus v. apud Abresch. in Diluc. p. 271. et in gloss. G.

Μὴ ὑπ' αὐτῶν ἀγόμενοι] Magis placeret scribi, μὴ οἱ ὑπ' αὐτῶν ἀγόμ. sequendo non Vallæ interpretationem (quæ procul ab ea, quam habemus hic, lectione recedit) sed eam, quæ margini adscripta est. Steph. In marg. adscripsit hanc interpretationem: periculum esse, *ne, qui ab illis ducebantur, prætextu societatis, vel* juris socialis, *ipsos quoque adorirentur.* Duck.

Μὴ οἱ ὑπ' αὐτῶν ἀγόμενοι] Addidi articulum, qui necessarius videtur, et ob sequens ο in ὑπὸ extrusus fuit, ut Stephanus jam vidit. Probat rem Abreschius Diluc. p. 271. G.

Οἱ δὲ—'Αθηναῖοι] In Aug. est ad marginem a rec. manu: μετάβασις. Transit enim ad alia Noster. Gottl.

Καὶ ἔκ τε Στράτου—] Reisk. (anim. p. 24.) abesse vult τὸ καὶ, consentientibus codd. quibusdam. G.

Κύνητα τὸν Θεολύτου—] Hic Theolytus fuit Acarnan, ut Amphilytus ariolus apud Herod. I. 62. ubi v. Valken. qui plures Χρησμολόγους profert. G.

Κόροντα] Mss. et Steph. sic legunt: De oppido altum apud veteres silentium. Wass.

'Ο γὰρ 'Αχελ. Vide Demetrium Phaler. de Eloc. p. 120. et 123. Ed. Oxon. Huds.

'Ο γὰρ 'Αχελῷος—στρατεύειν] Demet. Phaler. Μεγαλοπρεπὲς, καὶ τὸ ἐκ περιαγωγῆς τῇ συνθέσει λέγειν etc. §. 45. et 46. Statius Theb. II. 730. "Flavo *tollens*, ubi vertice pontum Turbidus objectas Achelous Echi-

Δολοπίας, καὶ Αγραιῶν καὶ Αμφιλόχων, καὶ διὰ τοῦ Ακαρνανικοῦ πεδίου, ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν διεξιεὶς παρ' Οἰνιάδας, καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν Εχινάδων αἱ πολλαὶ καταντικρὺ Οἰνιάδων, τοῦ Αχελώου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι. ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ, καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται· ἐλπὶς δὲ, καὶ πάσας οὐκ ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν. τό, τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολὺ καὶ θολερὸν, αἵ τε νῆσοι, πυκναὶ, καὶ ἀλλήλαις τῆς προσχώσεως, τῷ μὴ σκεδάννυσθαι, σύνδεσμοι γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἔρημοι δ' εἰσὶ, καὶ οὐ μεγάλαι. λέγεται δὲ καὶ Αλκμαίωνι τῷ Αμφιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς

nadas exit." Ibi Ms. Arundel. melius *adtollens*. WASS.

Ὁ γὰρ Ἀχελῷος—στρατεύειν] Hic locus laudatur a Demetrio de eloc. XLV., tanquam μεγαλοπρεπὴς ex circumductu, ubi est Ἀγριανῶν. Item CCII. ubi est ἐπὶ θάλασσαν, et διέξεισιν (p. 81. Schneid.) Hoc altero loco docet rhetor, περιαγωγὰς non in longitudinem esse porrigendas: requiescendum esse auditori: planius esse: ὁ γὰρ Ἀχελῷος ῥεῖ μὲν ἐκ Πίνδου ὄρους, ἔξεισι δὲ εἰς θάλασσαν. G.

Τῶν Ἐχινάδων] Callimach. H. in Del. v. 155. de his insulis: λιπαρὸν νήεσσιν Ἐχινάδες ὅρμον ἔχουσαι. Cur his desertis et limo fere obrutis insulis tam egregium poëta epitheton addiderit, quærit Arnald. anim. crit. p. 37. cf. Ernest. Refragatur antiquitas, Echinadum portum navibus recipiendis opportunum fuisse. G.

Τῶν νήσων αἳ ἠπείρ.] Cum Thucydide consentit Strabo, l. 10. at libro 1. dicit: μία τῶν Ἐχινάδων ἤπειρος γέγονε. Plinius autem (l. 2. c. 85.) invectu Acheloi non continenti annexas Echinadas, sed natas scribit. HUDS. Sed exitu caruit vaticinatio Thucydidis et Strab. Vid. Pausan. Arcadic. XXIV. D.

Τῷ μὴ] Reiskius l. c. non improbat τὸ μὴ, i. e. ὥστε μή. In marg. Flor. Vin. notatur: τὸ τῆς etc., ut sit: τῷ τὸ τῆς προσχώσεως μὴ— Certe vulgata est durior: articulus τὸ emollit structuram. G.

Τῷ μὴ σκεδάνν.] Aut τῷ retinendum, aut τὸ scribendum, solum utrumlibet; juncta quidem impediunt structuram, et ipso sono offendunt. Τῆς προσχώσεως pendet a σύνδεσμοι, et τῷ, vel τὸ, est πρὸς τό. BAVER.

Παραλλὰξ—κείμεναι] *Situ alternante positæ*, "die schräge gegen einander, und nicht in gerarder Linie liegen." G.

Εὐθείας διόδους] Stephanus ad ea, quæ in Var. Lect. habet Huds. addit, se hic vix assentiri posse illi veteri libro. DUCK.

Λέγεται δὲ καὶ Ἀλκ.] Vide Schol. ad Lucianum, tom. 2. Philostratum L. 7. et Basilium in epist. ad Gregorium Theol. et Hyginum, Fab. 73. HUDS. Confer Pausan. VIII. 24. p. 646. Schol. Luciani p. 52. Strabonem X. p. 710. WASS. Lucian. de Saltat. p. 804. inter argumenta saltationis, quæ Ætolia suppeditare possit, memorat Ἐχινάδων ἀνάδυσιν, καὶ μετὰ τὴν μανίαν Ἀλκμαίωνος οἴκησιν. Add. Apollodor. III. 7. 5. Sed is I. 9. 21. non recte easdem facit Echinadas et Strophadas. Quod autem Thucydides Echinadas ἐρήμους esse dicit, id de plerisque et minoribus intelligendum esse, quia Dulichium quoque inter eas ponit Strabo, putat Cellar. II. Geogr. Ant. 14. Et εὐλιμένας fuisse ex hoc Callimachi Hymn. in Del. v. 155. λιπαρὸν νήεσσιν Ἐχινάδες ὅρμον ἔχουσαι, observat ibi Spanhemius. DUCK.

Ὅτε δὴ ἀλᾶσθαι αὐτὸν] Unde pendere hunc Infinitivum dicemus? Aliter quidem certe Infinitivus χρῆσαι pendet ab illo verbo λέγεται: sed hic quoque ab eo pendere, non video quomodo dici possit; præsertim quum hæc velut per parenthesin interjiciantur, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρός. Quid si igitur verbum συνέβη vel a

μητρὸς, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν· ὑπειπόντα, οὐκ εἶναι λύσιν τῶν δειμάτων, πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται, ἥτις, ὅτε ἔκτεινε τὴν μητέρα, μήπω ὑπὸ ἡλίου ἑωρᾶτο, μηδὲ γῆ ἦν· ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ δ' ἀπορῶν, ὥς φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ Ἀχελῴου. καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι, ἀφ' οὗπερ κτείνας τὴν μητέρα, οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους, ἐδυνάστευσέ τε, καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ, τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. τὰ μὲν οὖν περὶ Ἀλκμαίωνα, τοιαῦτα λεγόμενα παρελάβομεν.

ργ'. 103. Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων, ἄραντες ἐκ τῆς Ἀκαρνανίας, καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον, ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας. τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ τὰς ναῦς, ἃς εἷλον. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

librario omissum, vel ab ipso Auctore relictum esse subaudiendum dicamus? Steph. Add. quæ de hoc loco scribit in Append. ad Script. de Dial. pag. 138. et Bud. Commentar. p. 1044. Duck.

Ὅτε δὴ] Legebat Abresch. in Spicilegio ὅτ' ἔδει· et ita quoque docta manus in Flor. Vin. margine adscripsit. Sed retractat Abresch. in Diluc. p. 272. et in auctar. p. 300. sententiam, et e Philostrato, (Her. XIX. § 11.) profert: ὅτε δὴ καὶ δεῖσθαι τοῦ Ἀχιλλέως ἐραστήν τε μεῖναι. In talibus φασὶν aut λέγεται supplendum. Mox, post μητρὸς, Reiskius (in anim. l. c.) deesse putat, ξυνέβη, quod Stephanus putabat; saltem subaudiendum esse h. v. Fr. Portus corrigebat: ὅτε δὴ ἠλᾶτο. Vix credibile est, librarium faciliorem lectionem mutasse in difficiliorem. Equidem puto, Thucydidem scripsisse: ὅτ' ἔδει, vel ὅτε ἔδει, quod non minus Thucydideum est, quum Noster minime fugiat concursionem vocalium. Reiskio ceterum non displicet ratio Abreschii. Gottl.

Ὅτε δὴ ἀλᾶσθαι αὐτὸν] Hic certe subintelligi nequit, φασὶν, sed plane est pro, ὅτε δὴ ἠλᾶτο. datum illud cœptæ structuræ reliquæ; ut apud Liv. 4. 15. "*etsi* nullos honores—ad regnum *pandere* viam: verum tamen—sustulisse animos:" pro, etsi *pandant*; et 5. 35. "id parum certum est, *solamne* an—*adjutam*;" pro, *solane* an—*adjuta* venerit. v. et ad 3. 46. Bauer.

Ἂν κεχῶσθαι] Quum hic particula ἂν habere locum non videatur, suspicor, sicut supra ex ἂν ἐπείσθημεν faciendum esse ἀνεπείσθημεν ostendi, et quidem vetere libro assentiente; ita etiam hic ex ἂν κεχῶσθαι fieri a nobis debere ἀνακεχῶσθαι. Fateor tamen non, ut illic, ita et hic libri veteris assensum nos habere. Cur ulterius in his Annotationibus non sim progressus, ratio in fine Epistolæ ad Lectorem reddita tibi fuit. Steph.

Ἂν κεχῶσθαι] Stephanus conjicit: ἀνακεχῶσθαι, bene. Gottl.

Δίαιτα] Non solum τρόπον τοῦ βίου, sed etiam τόπον significat. Hinc Plutarch. famulorum cubicula διαίτας appellat; et Æschylo στρατόπεδα dicuntur ἐνδιαίτημα τοῦ στρατοῦ. Vide Plinii Epist. l. 1. ep. 17. Huds.

Λεγόμενα] Alii λέγομεν ἃ παρελάβομεν. Sed receptam lectionem tuetur Herodotus. Vid. Schol. Wass.

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΤΡΙΤΟΝ.

EPITOME LIBRI III.

QUARTO anno belli Peloponnesiaci, cum iterum Atticam Peloponnesii cum exercitu invasissent, Lesbus omnis ab Atheniensibus, præter Methymnam, defecit. Cap. II. Qua de causa Athenienses, classe eo copiisque missis, Mitylenen caput insulæ obsidione cinxerunt. VI. Interea cum obsessi hactenus Platæenses fame premerentur, ducenti ex eis et duodecim insignis audaciæ viri, noctu Peloponnesiorum munitiones scalis transgressi, incolumes omnes Athenas profugerunt. XXII. Peloponnesii Atticam ingressi, magna eam clade evastarunt. XXVI. Naves eorumdem subsidio Lesbiis missæ, tum primum Ioniam attigerunt. XXVI. Mitylenæi fame coacti deditionem fecerunt. XXVIII. De eorum supplicio magna contentione actum est, vicit tamen Diodoti lenior sententia. XLIX. Dispar Platæensium eventus fuit: qui cum eodem tempore fame subacti Lacedæmoniorum se arbitrio dedidissent, ab eis sunt interemti. LXIX. Sævissima item apud Corcyræos seditio describitur: qua optimates a plebe sua superati partim occisi sunt, partim profugerunt. LXX. LXXXV. Peloponnesios Atticam ingressuros terræ motus averterunt. LXXXIX. Messanam in Sicilia Athenienses occuparunt. XC. Heracleam in Trachine coloniam Lacedæmonii deduxerunt. XCII. Demosthenes Atheniensis dux, cum Ætolis bellum intulisset, victus ab eis multos eximios cives amisit. XCVIII. Delum Athenienses lustrarunt. CIV. Acarnanes Ambraciotis, memorabili clade, Demosthene duce, victis, pacem dederunt. CXIII.

ΘΟΥΚΥΔΙΔΟΥ ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΤΡΙΤΟΝ.

ΤΟΥ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, ἅμα τῷ σίτῳ ἀκμάζοντι, ἐστράτευσαν ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς· καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαὶ, ὥσπερ εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων, ὅπῃ παρείκοι· καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον, τὸ μὴ προεξιόντας τῶν ὅπλων, τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία, ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις.

β'. 2. Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων, εὐθὺς Λέσβος, πλὴν Μηθύμνης, ἀπέστη ἀπ' Ἀθηναίων· βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου, (ἀλλ' οἱ Λακεδαιμόνιοι οὐ προσεδέ-

Ἐστράτευσαν ἐς τὴν Ἀττικήν·] male expl. Schol. κατὰ τῆς Ἀττικῆς· immo simpliciter est "*in Atticam* fecerunt expeditionem, invaserunt Atticam." Baver.

Καὶ τὸν πλεῖστον—κακουργεῖν] Corinthus de Dial. Att. in his statuit ellipsin præpositionis διὰ, quasi sententia esset, διὰ τὸ μὴ κακουργεῖν. Scholiastes quoque ellipsin τοῦ διὰ esse dicit, sed aliter ac Corinthus: nam non conjungit διὰ τὸ μὴ ἀδικεῖν, sed διὰ τὸ μὴ προεξιόντας. Refellit eos Stephanus ad Corinth. artic. VIII. et Append. ad Script. de Dial. p. 178. et ostendit, tam articulum, quam negationem, ante verba ἀπαγορευτικὰ, et quæ ἀπαγορεύσεως significationem inclusam habent, abundare. Nam sic Thucyd. I. 62. ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν. Et apud alios quoque sæpe hujusmodi verba cum solo Infinitivo ponuntur. Add. quæ adnotantur ad II. 101. et Schol. infr. ad Cap. VI. Sententiam horum verborum aliter expressam habes supr. II. 22. D.

Εἶργον τὸ μὴ] Stephanus videtur Schol. et Corinthi mentem non cepisse, ut notat Abresch. p. 273. hoc volunt, τῷ εἴργειν subjici debuisse gen. τοῦ, non τὸ, et hunc accusat. pendere a præp. διά. Abresch. tamen malit subint. εἰς aut ὥστε. ita L. II. 87. ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. Gottl.

Προεξιόντας τῶν ὅπλων] i. e. a ceteris copiis, e castris, e præsidio, longius progressos. B.

Μηθύμνης] Ita numus apud Holsten. Herodotus, Philostratus Vit. Apoll. IV. 13. at IV. 16. corrupte Μεθύμναν. Cantacuzenus Μεθίμνης p. 290. et Alciphron Μεθυμναίῳ μειρακίῳ 275. Callimachus Epig. XVI. Στήλη, καὶ Μήθυμνα τεὴ πόλις. Ita Geogr. vett. et Isocrates Epist. Julianus Imp. p. 111. Schol. Homer. Il. ί. 130. Unus opinor Scylax cum ε scribit. Ælianus Anim. IV. 20. Μηθύμνης τῆς Κρητικῆς meminit. Verum ibi legerim Ῥιθύμνης nunc *Retimo*, vid. Tournefort. I. 28. Wass.

Ἀπ' Ἀθ.] Vide Var. Lect. et Stephani Animadvers. in lib. de Dialectis. p. 61. Huds. Adnotat ibi Stephanus, easdem vocales modo elidi, modo integras manere in locis plane similibus. Duck.

Ἀλλ' οἱ Λακεδ. οὐ προσεδ.] In parenthesi hæc verba sunt accipienda. Baver.

ξαντο,) ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον, ἢ διενοοῦντο, ποιήσασθαι. τῶν τε γὰρ λιμένων τὴν χῶσιν, καὶ τειχῶν οἰκοδόμησιν, καὶ νεῶν ποίησιν, ἐπέμενον, τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε, καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. Τενέδιοι γὰρ, ὄντες αὐτοῖς διάφοροι, καὶ Μηθυμναῖοι, καὶ αὐτῶν Μιτυληναίων ἰδίᾳ ἄνδρες, κατὰ στάσιν πρόξενοι Ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις, ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μιτυλήνην βίᾳ, καὶ τὴν παρασκευὴν ἅπασαν, μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυγγενῶν ὄντων, ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐτοὺς Λέσβου.

γʹ. 3. Οἱ δ' Ἀθηναῖοι (ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς νόσου, καὶ τοῦ πολέμου ἄρτι καθισταμένου, καὶ ἀκμάζοντος,) μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προσπολεμώσασθαι, ναυτικὸν ἔχουσαν, καὶ δύναμιν ἀκέραιον· καὶ οὐκ ἀπεδέχοντο τοπρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μιτυληναίους τήν τε ξυνοίκησιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες, προκαταλαβεῖν ἐβούλοντο. καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς, αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν. Κλεϊππίδης δὲ ὁ Δεινίου, τρίτος αὐτὸς, ἐστρατήγει. ἐσηγγέλθη γὰρ αὐτοῖς, ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτὴ, ἐν ᾗ πανδημεὶ Μιτυληναῖοι ἑορτάζουσι, καὶ ἐλπίδα εἶναι, ἐπειχθέντας

Καὶ ταύτην τὴν ἀπόστ.] Non, ut alia hæc defectio fuerit; immo eadem erat prius tentatæ et oblatæ, sed non acceptæ, nunc repetitæ. Ita fere Schol. recte. IDEM.

Καὶ αὐτῶν Μιτ.] De belli hujus origine vide Aristot. Politic. l. 5. c. 4. HUDS. Causam ejus narrat Aristoteles Polit. Εʹ. IV. Confer Diodorum XII. 314. et Aristotelem Polit. V. 135. WASS.

Μηνυταὶ—] Scholiastes vult referri μην. γιγ. ad τὸ κατὰ στάσιν, quod fieri non potest citra trajectionem insignem. Dicuntur indices isti fuisse hospites Athen. redditi κατὰ στάσιν. Adeoque στάσεως fit mentio, quatenus ea fuerat causa exilii atque hospitii, quod hi homines obtinuerant. Ita Grammius p. 636. Judice Abreschio, Schrammius recte junxit κατὰ στάσιν verbis: ἰδίᾳ ἀνδ. πρόξ. Ἀθην. Sed se non satis intelligere, quæ notet Grammius. Diluc. p. 274. GOTTL.

Μηνυταὶ γίγν.] i. e. μηνύουσι. Sed varietas notanda: primo ὅτι cum verbo finito, deinde oblique στερήσεσθαι, quod Attice dictum pro στερηθῆσ. BAUER.

Καὶ εἰ μή τις] Abest Gr. τις. ineleganter. WASS.

Τὰς κατηγ.—τῷ μὴ βούλ. ἀληθῆ εἶναι] In ἀληθῆ subint. τὰ κατηγορημένα, vel κατηγορήματα, e voc. κατηγορίας, idem notante. B.

Κλεϊππίδης] Κλεινιππίδης Diodor. 314. c. vix alibi memoratur. WASS.

ἐπιπεσεῖν ἄφνω· καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα·—εἰ δὲ μὴ, Μιτυληναίοις εἰπεῖν, ναῦς τε παραδοῦναι, καὶ τείχη καθελεῖν· μὴ πειθομένων δὲ, πολεμεῖν. καὶ αἱ μὲν νῆες ᾤχοντο. τὰς δὲ τῶν Μιτυληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι, καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. τοῖς δὲ Μιτυληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν, διαβὰς ἐς Εὔβοιαν, καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν, ὁλκάδος ἀναγομένης ἐπιτυχὼν, πλῷ χρησάμενος, καὶ τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μιτυλήνην ἀφικόμενος, ἀγγέλλει τὸν ἐπίπλουν. οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον.

δ'. 4. Καὶ οἱ Ἀθηναῖοι, οὐ πολλῷ ὕστερον καταπλεύσαντες,

Καὶ ἢν μὲν ξυμβ.] Ut plena sit oratio, post ἡ πεῖρα suppleri debet καλῶς ἂν εἴη, ut monet Corinthus de Dialectis. Vide Schol. in Aristophanis Πλοῦτον, V. 468. et Steph. Animadv. in Lib. de Dial. p. 23. Huds. Καὶ ἢν—πολεμεῖν] Corinthus in Hort. Adonidis Ald. 1496. Καὶ εἰ μὲν συμβῇ male, et μὴ πειθομένοις legit. Gr. ἐλπίδας, ut 155. 16. Sed aliter passim Thucyd. Wass. Συμβῇ, non ξυμβῇ, ut Huds. in Var. Lectionib. habet Schol. Aristoph. Ἐλπίδα et ἐλπίδας in Mss. commutari supra plus semel adnotatum est in Var. Lect. Duck.

Ἢν μὲν ξυμβῇ ἡ πεῖρα,] Duo notanda sunt h. l. Primo, ξυμβαίνειν, succedere, feliciter evenire; deinde anacoluthon; deest enim consequens τοῦ, ἢν μὲν ξυμβῇ· supple καλῶς ἔχειν: ut Luc. 13. 9. κἂν μὲν ποιήσῃ καρπόν· subjicitur: εἰ δὲ μή. ergo in illo supple, καλῶς ἕξει, vel, ἔασον αὐτήν. B. Gottl. adscripserat: h. l. citat Gregor. de Dial. p. 20. B.

Τὰς δὲ Μιτυλην.—Ἀθην.] Cod. reg. περὶ σφᾶς male, frequenti permutatione τοῦ παρὰ in περί. v. Abr. 276. Dil. De usu h. præp. v. Gloss. Gottl.

Ἔτυχον—παροῦσαι] i. e. ἔτυχον παραγενόμεναι σφίσιν, et παρὰ σφᾶς, aut παρεγένοντο σφίσι, vel: παρὰ σφίσι. Gottl.

Παρὰ σφᾶς—παροῦσαι] Pro σφίσιν, quia παρὰ hic est, apud. Et alterum παρὰ redundat. B. Gottl. adscripserat: vid. Valk. ad Herodot. VIII. p. 687. Bauer.

Γεραιστὸν] Γεραστὸς quidem Etymologus, et Libanius Orat. p. 243. Neuter satis emendate. Schol. et Geographi, Suidas, Aristides, I. 39. Homer. Herodot. Plutarch. Camill. 138. alii, Γεραιστὸν scribunt. Procopius B. G. IV. 629. ἐν Γερεστῷ corrupte. Martianus VI. 213. Gerasto et Caphareo. At Solinus, quem ibi exscribit, Geræsto, post Melam et Plinium, exhibet. In Martiano non variant tres Mss. neque in Solino Petrensis. Confer Schol. Aristoph. Ἱππ. 558. Wass. Γεραιτὸς etiam Lucian. In Trag. p. 141. Liv. 31. 45. Geræstum nobilem Eubœæ portum. Duck.

Πλῷ χρησάμενος] Suidas in πλῷ χρησ. absque auctore. Wass.

Πλῷ χρησάμ.] Scil. secundo, felici cursu. Emphasis hæc est vera in voc. πλοῦ; ut cum Latine dicimus, in *tempore* adesse, scil. legitimo, apto, opportuno; vel, beneficium *loco* collocare, nempe justo, digno, salubri. Bauer.

Περὶ τὰ ἡμιτέλ. φραξ.] Abresch. p. 278. putat vel per tmesin esse scriptum, pro φραξάμενοι, l. hoc ordine φραξ. τ. ἀ. τ. τ. κ. λ. τὰ ἡμ. ἐφ. περὶ sc. αὐτά. quod durissimum. G.

Ἄλλα τ. τειχ. καὶ τ. λιμέν. περὶ τὰ ἡμιτ. —ἐφύλασσον.] Legi possit πέρι, retracto accentu, ut sit, περὶ τ. τειχ. καὶ λιμ. qua muros et portus. Sed vix est, quin ita redundet; nec sane Accusativo ita subjicitur, sed Genitivo magis. Quare simplicius est, cum φυλάσσειν (v. Ind.) sæpius simpliciter ponatur pro ποιεῖσθαι φυλακὴν, sic ordinare et vertere: φραξάμ. ἄλλα τ. τειχ. κ. τ. λιμ. ἐφύλασσον περὶ τὰ ἡμιτέλ. i. e. cum obsepsissent et firmassent alias partes murorum et portuum, custodiam agebant, præsidia disposita habebant circa opera, munimenta inchoata, nondum perfecta. Ita nil impediti aut obscuri relinquatur. Bauer.

Οἱ Ἀθηναῖοι—οἱ στρατ.] Abr. Dil. 278.

ὡς ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων δὲ τῶν Μιτυληναίων, ἐς πόλεμον καθίσταντο. ἀπαράσκευοι δὲ οἱ Μιτυληναῖοι, καὶ ἐξαίφνης ἀναγκασθέντες πολεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ, ὀλίγον πρὸ τοῦ λιμένος· ἔπειτα, καταδιωχθέντες ὑπὸ τῶν Ἀττικῶν νεῶν, λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τοπαραυτίκα, εἰ δύναιντο, ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι. καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο, καὶ αὐτοὶ φοβούμενοι, μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ πάσῃ πολεμεῖν. καὶ ἀνακωχὴν ποιησάμενοι, πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μιτυληναῖοι, τῶν τε διαβαλλόντων ἕνα, ᾧ μετέμελεν ἤδη, καὶ ἄλλους, εἴπως πείσειαν τὰς ναῦς ἀπελθεῖν, ὡς σφῶν οὐδὲν νεωτεριούντων. ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικὸν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ, πρὸς βορέαν τῆς πόλεως. οὐ γὰρ ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. καὶ οἱ μὲν, ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες, αὐτοῖς ἔπρασσον ὅπως τὶς βοήθεια ἥξει.

έ. 5. Οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις, ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μιτυληναῖοι, καὶ ἡ ἄλλη

non sequitur Corinthi et Schol. rationem, enallagen hic statuentium, sed art. in στρατ. vim declarandi dicit habere: Athenienses, —nempe duces.—Gottl.

Οἱ Ἀθην.—ὡς ἑώρων, ἀπήγγ. οἱ στρατ.] Ne duo Nominativi turbent, sic processerit: ὡς οἱ Ἀθ. ἑώρων, οἱ στρατ. ἀπήγγ. Hoc simplicius fuerit Abreschiana ratione, minime tamen spernenda. Baver.

Διαβαλλ.] Reisk.—βαλόντων. Gottl.

Μετέμελεν] Huc fortassis respexit Auct. Lexici in Montfauc. Biblioth. Coislin. p. 483. Μεταμελεῖν, ἀντὶ τοῦ μετανοεῖν. Θουκ. γ'. Duck.

Πείσειαν τὰς ναῦς ἀπελθεῖν] Metonymice dictum, pro: πείσ. τοὺς Ἀθηναίους ἀπαγαγεῖν τ. ναῦς, v. Philol. Th. P. et Ind. v. Metonymia Consequ. Baver.

Ἐν τῇ Μαλέᾳ] Sic etiam Xenophon I. Græc. pag. 446. τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μιτυλήνης. Strabo XIII. p. 616. Μαλίαν vocat: ἀπὸ Μηθύμνης εἰς Μαλίαν τὸ νοτιώτατον ἄκρον ἐν δεξιᾷ ἔχοντι τὴν νῆσον—ubi Casaub. quoque adnotat in Ptolemæo non recte legi Μανίαν. Idem error est in Schol. Aristoph. Ran. v. 33. ἡ δὲ Ἀργίνουσα πόλις τῆς Αἰολίδος, ἄντικρυς δὲ Λέσβου κειμένη καὶ Μανίας καλουμένης ἄκρας. Ubi pro Ἀργίνουσα, quam ;uam ita etiam habet Suid., fortassis rectius legatur Ἀργινοῦσα, ut apud alios. Duck.

Τοῖς ἀπὸ τ. Ἀθ.] Duritiem hanc Thucyd. ita mollit Abr. Dil. 279. τοῖς sc. πρέσβεσι e proximo πρέσβεις cap. sq. *succedere*: οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις. Reisk. an. p. 25. subint. προσδοκωμένοις, l. ἐλπιζομένοις, spem, a se in Ath. positam, bonum successum non habituram. Gottl.

Οὐ γὰρ ἐπίστ. τοῖς ἀπὸ τ. Ἀθ. προχωρ.] Dupliciter expediri potest: vel simpliciori modo: non credebant, non sperabant, iis, quæ ab Atheniensibus pararentur, successurum, eventum prosperum fore; vel arguti-ori modo, sed Thucydidei ingenii, suppleto ὥστε: non ita satis fidebant iis, quæ ab Atheniensibus ostenderentur, ut confiderent, iis successurum. Baver.

Λέσβος, πλὴν Μηθύμνης. οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ Ἴμβριοι, καὶ Λήμνιοι, καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων. καὶ ἔξοδον μέν τινα πανδημεὶ ἐποιήσαντο οἱ Μιτυληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον· καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μιτυληναῖοι, οὔτε ἐπηυλίσαντο, οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου, καὶ μετ' ἄλλης παρασκευῆς, βουλόμενοι, εἰ προσγένοιτό τι, κινδυνεύειν. καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται, καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν, κρύφα μετὰ τὴν μάχην ὕστερον ἐσπλέουσι τριήρει. καὶ παρῄνουν πέμπειν τριήρη ἄλλην, καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν.

στ'. 6. Οἱ δὲ Ἀθηναῖοι, πολὺ ἐπιῤῥωσθέντες διὰ τὴν τῶν Μιτυληναίων ἡσυχίαν, ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν, ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων· καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως, ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. καὶ τῆς μὲν θαλάσσης εἷργον μὴ χρῆσθαι τοὺς Μιτυληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μιτυληναῖοι, καὶ οἱ ἄλλοι Λέσβιοι, προσβεβοηθηκότες ἤδη. τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. καὶ τὰ μὲν περὶ Μιτυλήνην οὕτως ἐπολεμεῖτο.

Λέσβος, πλὴν Μηθύμνης. οὗτοι δὲ] Scil. οἱ Μηθυμναῖοι, quod per synesin latet et repetendum est ex voc. Μηθύμνης. B. Gottl. adscripserat: vid. Obss. Misc. T. III. p. 246. Ita C. 2. ἡ Λέσβος ἀπέστη· βουληθέντες, nempe οἱ Λέσβιοι. BAVER.

Ἐκ Πελοπ. καὶ μετ' ἄλλης παρ. βουλόμ. εἰ προσγέν. τι, κινδυν.] Vix expediatur, nisi ita ordinatum: βουλόμ. κινδυν. εἴ τι προσγέν. ἐκ Πελοπ. καὶ μετ' ἄλλης παρασκ. Durius sane, ob insertum, καὶ μετ' ἄλλ. παρ. Sed enim nisi sic struxeris, relinquatur multo ineptius, ἐκ Πελοποννήσου κινδυνεύειν· quod nihili sit. BAVER.

Πέμπειν] Ἐκπέμπειν. Cl. at statim sequitur ἐκπέμπουσιν. WASS.

Πολὺ θᾶσσον παρῆσ.] Πολὺ pro πολλῷ, ut sæpe, suppleto κατὰ, vel εἰς. Sed comparativus quo pertinet? Aut. intell. τῆς προσδοκίας, quam exspectassent; aut πολὺ est, tanto magis, quod videbant, ὁρῶντες, i. e. ὅτι ἑώρων. BAVER.

Ἐτείχισαν στρατόπεδα δύο] Lib. I. cap. 116. ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν. Vid. Casaubon. ad Polyb. I. 24. DUCK.

Τοὺς ἐφόρμους—ἐποιοῦντο] Suidas h. v. et τὰς ἐφορμίσεις interpretatur. Ἐφόρμῳ, νεόλκῳ Hesych. Strabo III. νησίδια ·ἘΦΟΡΜΟΥΣ ἔχοντα μετρίους. Noster ἔφορμοι νῆες in statione; ad formam vocis Homericæ πάνορμος, quam proxime accedit noster. Vid. T. Magistrum. WASS.

Ναύσταθμον—Μαλέα] T. Magister, ubi legendum πλοίων, non πλείων. IDEM. Thomas et ὁ ναύσταθμος et τὸ ναύσταθμον Attica esse dicit: sed Stephanus Append. ad Script. de Dial. pag. 157. putat, Atticos potius dixisse τὸ ναύσταθμον. Et adfert e

ζʹ. 7. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, τοῦ θέρους τούτου, Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα, καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγόν· κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ, ἄρχοντα. καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ᾽ οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ᾽ ἔχων δώδεκα, ἀφικνεῖται ἐς Ναύπακτον· καὶ ὕστερον, Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ, στρατεύει ἐπ᾽ Οἰνιάδας. καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῶον ἔπλευσε, καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν. ὡς δ᾽ οὐ προσεχώρουν, τὴν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δὲ, πλεύσας ἐς Λευκάδα, καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος, ἀναχωρῶν διαφθείρεται, αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος, ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων, καὶ φρουρῶν τινων ὀλίγων. καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.

ηʹ. 8. Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μιτυληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν. ἦν δὲ Ὀλυμπιὰς, ᾗ Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα. καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε.

θʹ. 9. "ΤΟ μὲν καθεστὼς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι, καὶ ξύμμαχοι, ἴσμεν. τοὺς γὰρ ἀφισταμένους

Plutarcho ναύσταθμα πειρατικά: quod est in vita Pompeii. Eustath. quoque in Homer. Il. ε΄. p. 582. ἀπὸ τοῦ (σταθμὸς scil.) ἁπλῶς δηλοῦντος τόπον στάσεως, τὸ ναύσταθμον εἴρηται. Et Strabo XIII. 598. aliquoties τὸ ναύσταθμον Iliensium dicit. Sed ex his non pro certo adfirmari potest, Atticos quoque non dixisse ναύσταθμος. Nam hæc etiam apud alios permutantur. Ita Strabo in descriptione Cyrenaicæ XVII. p. 838. memorat, τὸ Ναύσταθμον, qui Scylaci p. 109. Ed. Gron. et Ptolemæo p. 101. est Ναύσταθμος λιμὴν, Melæ I. 8. *Naustathmus*. non *Naustathmum*. Sic apud Plin. III. 8. portus Naustathmus in Sicilia: et in Strabone d. l. XIII. libri scripti uno loco habent αὐτὸν τὸν ναύσταθμον. Duck.

Νήρικον] Qui Cod. Græv. tractavit, poterat continere manus ab emendatione. Strabo X. 454. ὁ μέντοι ἀντὶ Νηρίτου (quod est in Ithaca) γράφων Νήρικον, ἢ ἀνάπαλιν, παραπαίει τελέως. Unde tamen intelligi potest, non novum esse hunc errorem. D.

Δωριεὺς Ῥόδ.] Diagoræ filius, cujus meminit Xenoph. Ἑλλην. I. Vide Aristot. Rhet. l. 1. et Petr. Victorium in eandem, p. 60. Huds. In ἀναγραφῇ Olympiadum Dorieus Rhodius primum pancratio vicisse dicitur Olymp. LXXXVII. secundum Olymp. LXXXVIII. tertium Olymp. LXXXIX. Duck.

Ὦ ἄνδρες] Ἄνδρες omittunt quidam Codices. Eadem varietas est II. 72. et 89. ubi Stephanus putat, adjectione illius magis Græcum effici sermonem. Et tamen sæpissime abest. Vid. I. 32. 68. 80. et 140. Duck.

Τοὺς γὰρ—ἡγοῦνται] Corinthus, qui habet ἐν πολεμίοις, et ἀπολιπόντας, et τε εἶναι. χεί-

ἐν τοῖς πολέμοις, καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας, οἱ δεξάμενοι, καθ᾿ ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι· νομίζοντες δὲ εἶναι προδότας τῶν πρότου φίλων, χείρους ἡγοῦνται. καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστάμενοι, καὶ ἀφ᾿ ὧν διακρίνοιντο, ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν τε καὶ Ἀθηναίοις οὐκ ἦν. μηδέ τῳ χείρους δόξωμεν εἶναι, εἰ, ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ᾿ αὐτῶν, ἐν τοῖς δεινοῖς ἀφιστάμεθα.

ί. 10. "Περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι, τοὺς λόγους ποιησόμεθα· εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην, οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδὲν, εἰ μὴ μετ᾿ ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο, καὶ τἄλλα ὁμοιότροποι εἶεν. ἐν γὰρ τῷ διαλλάσσοντι

ρους ille *κακοὺς* interpretatur. Wass. Non probante Stephano, qui Animadvers. in Lib. de Dialect. p. 37. ita scribit: Thucydidis Scholiastem sequitur in expositione hujus loci Corinthus. Et, quibusdam interjectis, nihil obstat, quin comparativus ille vim suam hic quoque obtineat: ut videlicet intelligamus, *pejores eos existimant, quam existimabant*, vel, *quam existimaturi fuissent*. Seu, *pejorem de iis opinionem concipiunt, quam concepturi fuissent*. Fateor alioqui legisse me alicubi, *οὐ χεῖρον δὲ*, vel *οὐδὲν δὲ χεῖρον*, sequente infinitivo, pro *εὖ κακόν ἐστι*. Adsentior Stephano, etsi alioqui non novum est, comparativos pro positivis poni, quod Idem l. d. multis exemplis ostendit. Add. Gataker. de Stilo Nov. Instrum. Cap. XV. Phrasis *οὐ χεῖρον*, pro *καλὸν*, vel *οὐ κακὸν* ubivis obvia est. Vid. de ea Leopard. X. Emendat. 21. Et sic recte accipi potest apud Aristophan. Equit. v. 37. quanquam Suidas exponit *βέλτιον*. Τε *εἶναι* in qua Editione Corinthi legatur, ignoro. In tribus, quas inspexi est *δὲ εἶναι*. Cetera in Corintho e Thucydide emendanda censet Stephanus. Duck.

Χείρους ἡγοῦνται] i. e. *κακούς*· comparativus pro Positivo: ut, *οὐ γὰρ ἄμεινον*, i. e. *οὐκ ἀγαθόν*. Ita L. I. 102. extr. *οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι*, p. *ἀγαθῷ*. Ita hic recte Schol. negat, *χείρους* poni *συγκριτικῶς*. Possis tamen intelligere, minus bonos, nempe iis, de quibus antea dictum esset. Ceterum in eodem Scholio, ad *χείρους ἡγοῦνται* ante verba, *θεραπεύουσι διὰ τούτων*, inserere ausus sum *δὲ* ante *θεραπ.* quia jam alia Scholiastæ verba præmissa essent. B.

Αὕτη ἡ ἀξίωσις] Nescio, cur Thomas Magist. *ἀξίωσιν* hoc loco interpretetur *παράκλησιν*. Debuerat potius ad aliam significationem referre, qua *ἀξίωσιν* etiam pro eo, *ὅπερ ἀξιοῖ τις*, poni dicit. Recte hic Scholiastes, cujus expositionem veriorem esse indicat præcedens *ἡγοῦνται*. Duck.

Ἴσοι μὲν—δυνάμει] Thom. Mag. in *ἀντίπαλον*, ubi est *καὶ τῇ εὐνοίᾳ*. Wass. Ἀντίπαλοι hic Thomæ sunt *ἐναντίοι*. Præfero cum Interprete expositionem Scholiastæ, quam etiam confirmant ea, quæ leguntur in fine Cap. XII. Duck.

Μηδεμία] Alii *μὴ δὲ μία*. Sic fere solent Attici. Wass.

Δικαίου] i. e. juste nos deficere, non citra instituta et morem majorem. v. c. 9. init. *ἀρετὴν* nimis arcte sumit Schol. pro *ἁπλότητι*, ut et notat Abr. Dil. p. 390. videtur honestum significare, *die Ehre, oder Grundsatze der Ehre*. docent hoc sequ. proxime. G.

Δοκούσης] Reisk. *δικούσης*, i. e. quæ ad utramque partem pertineat. Sed non opus. idem est ac: *εἰ μὴ μετὰ δοκήσεως (τινὸς) τῆς ἀρετῆς*. Nisi cum opinione virtutis quadam s. *δόξης*, ut vult Baver. Diss. 29. quam inter se habeant (quisque de se et reliq.), fiat. G.

Ἐς ἀλλήλους] Referri licet ad *φιλίαι γίγνονται*· ubi *ἐς ἀλλ.* sit pro, *μετ᾿ ἀλλήλων*: aut etiam ad *δοκούσης*· ubi sit pro *κατὰ*, vel *περὶ ἀλλήλων*. Baver.

Διαλλάσσοντι] i. e. *διαλλαγῇ*, part. pr. nom. Gottl.

τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον, ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν. ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι, διὰ πολυψηφίαν, ἀμύνασθαι οἱ ξύμμαχοι, ἐδουλώθησαν, πλὴν ἡμῶν καὶ Χίων. ἡμεῖς δὲ, αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι, ξυνεστρατεύσαμεν. καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι. οὐ γὰρ εἰκὸς ἦν, αὐτοὺς, οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο, καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο.

ιά. 11. "Καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν, καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον, τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου· ἄλλως τε, καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὐτῶν ἐγίγνοντο, καὶ ἡμεῖς ἐρημότεροι. τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν. ὁ γὰρ παραβαίνειν τὶ βουλόμενος, τὸ μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν εὐπρε-

Οὐκ ἐπὶ καταδουλ.] Vide Corinthium de Dialect. et Stephani Animadvers. p. 29. HUDS. Ξύμμαχοι—Ἑλλήνων] Corinthus p. 151. WASS. Vid. ad I. 137. DUCK.

Βεβαιότεροι] i. e. *βεβαιότερον ἦν, αὐτοὺς,* (Athen.) *μηδὲν νεωτερίζειν.* Baver. p. 95. hæc hypallage non infrequens Thuc. aut: (ut ipse Baver.) si referatur ad socios: si firmiores et tranquilliores fuissent, quoniam viderent, Ath. nil novaturos. Sed præstat prior ratio. GOTTL.

Αὐτοὶ αὐτῶν] i. e. quo major, *quam antea*, eorum potestas incrementa capit. G.

Τὸ *μὴ προέχων*] Codd. habent quidam, *τῷ*, quos sequendo legendum foret *βουλόμενος τῷ*, ut referatur ad *ἐπελθεῖν μὴ προέχων*, nisi viribus præstet. vid. Abr. 280. Sed nihil opus, *τὸ* hic pro *τοῦ*, propter, *ἀποτρέπεσθαι* ut vult Heilm. p. 321. sed supplendum *διά*. Reisk. legit: *τῷ ἐπελθεῖν·* absterretur a proposito eo, quod alterum invasurus sit. GOTTL.

Ἢ *ὅσον αὐτοῖς*] i. e. Nobis libertas nulla alia de causa concessa, quam imperii quod amplificatione causa quadam speciosa utendum putarent, illudque (imperium) magis consilio quam robore tuendum esse. (*ἔφοδον γνώμης.* expl. Schol. *μέθοδον*, rationem consilii. Sed sensus tamen obscurus.) Itaque videri ipsos dolo quoque libertate privatum iri. G.

Ἢ *ὅσον αὐτοῖς—καταληπτὰ*] *Καταληπτὰ* non sign. *tuendum* imperium, ut vult Gottl. sed occupandum, nempe deinceps et sensim. Nec *γνώμης ἐφόδῳ* quidquam obscuri habet; sign. aggressione, petitione, quasi occulta impugnatione prudentiæ et calliditatis. Sen-

πείρα τε λόγου, καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος, τὰ πράγματα ἐφαίνετο καταληπτά. ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο, μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπῄεσαν, ξυστρατεύειν. ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον, καὶ τὰ τελευταῖα λιπόντες, τοῦ ἄλλου περιῃρημένου, ἀσθενέστερα ἔμελλον ἕξειν. εἰ δὲ ἀφ᾽ ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων, αὐτῶν τε ἰσχὺν, καὶ πρὸς ὅ, τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο. τό, τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον, μή ποτε, καθ᾽ ἓν γενόμενον, ἢ ὑμῖν, ἢ ἄλλῳ τῳ προσθέμενον, κίνδυνον σφίσι παράσχῃ· τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγιγνόμεθα. οὐ μέντοι ἐπιπολύ γ᾽ ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὅδε καθέστη, παραδείγμασι χρώμενοι τοῖς ἐς τοὺς ἄλλους.

sus est: Athenienses commodius judicabant, consilio et arte, quam vi, rerum potiri: eo liberos relinquebant tantisper Mitylenæos, donec suo tempore premerent. In Schol. ad Ἐς τὴν ἀρχὴν verba ἡμᾶς ὡς παράδειγμα, profecto sunt insititia; nam et sensum impediunt, et structuram; referri possint ad init. Scholii: κατέλιπον ἡμᾶς; Idem Schol. legisse videri possit ἐφοδίῳ pro ἐφόδῳ, quia ponit, ἐφόδιον τῆς γνώμης, i. e. qs. viaticum, præmium, prædam sui consilii et roboris. Baver.

Μαρτυρίῳ ἐχρῶντο] Schol. prior τὸ ἐχρῶντο refert ad Athenienses recte, ut nexus sermonis clamat: atque explicanda verba μὴ ἂν—ἄκοντας ἐπῄεσαν per: οὐκ ἂν ἐπῄεσαν ἑκόντες. alter ad socios refert, et hanc seriem constituit: ἅμ. μ. γὰρ (οἱ λοιποὶ ξύμμ.) μαρτ. ἐχ., τούς γε ἰσοψήφους (i. e. ἡμ. ὑποψ.) μὴ ἂν ἄκοντας ξυστρατεύειν [τοῖς Ἀθ. καθ᾽ αὐτῶν] εἰ μή τι (οἱ Ἀθ.) ἠδίκουν, (αὐτοὺς, n. Socios) οἷς ἐπῄεσαν. Clarum est, μὴ ἂν s. οὐκ ἂν ἄκοντας, poni, pro οὐχ ἑκόντας, aut pro ἄκοντας. vid. Abr. Dil. 281. Sensus ita est: cum habeant (socii) idem jus suffragii ferendi, non lubentes eos bellum suscepturos fuisse, nisi ii, quibus bellum intulissent, injuriam fecissent aliis. G.

Οὐκ ἂν ἄκοντας] Hoc quî esse possit pro diverso οὐκ ἂν ἑκόντας, non assequor. Aut legendum est ἑκόντας, aut ita interpretandum: socios non fuisse moturos quicquam nolentes, i. e. quia nollent, quia bellum horrerent, nisi injuria coactos illata ab iis, quos (deinde, ad illam arcendam) oppugnatum issent. Baver.

Ξυστρατεύειν] Reisk.—σειν. Gottl.

Ἐν τῷ αὐτῷ] i. e. διὰ τὸ αὐτὸ, ut c. 13. p. 428. 9. (Abr. p. 282.) Gottl.

Ἐν τῷ αὐτῷ] Vertere malim, *simul*. B.

Τὰ κράτ.—ἀσθενέστερα] Neutra pro masc. Gottl.

Λιπόντες] Reisk. ἐπιόντες, *et tandem invadentes*. G.

Πάντων] i. e. ξυμμάχων. αὐτῶν sc. ἡμῶν, Abr. l. c. Baver. ipsorum vires, i. e. easdem, pares atque ipsi Athenienses. p. 32. Diss. πρὸς ὅ, τι (i. e. οὕστινας) χρὴ, i. e. ἐδυνάμεθα. G.

Πρὸς ὅ, τι χρὴ στῆναι] Differunt interpretes, quid sit πρὸς ὅ, τι χρὴ στῆναι. Priorem sequitur Abresch. p. 283. qui τὸ ἵστασθαι πρός τινα pro ἀντιτάξασθαι, ἀνθίστασθαι, aut ἀντιπολεμεῖν sumit. G.

Αὐτῶν τε ἰσχὺν] Durius quidem, sed plane e contexto oppositi, καὶ πρὸς ὅ, τι χρὴ στῆναι, interpreteris αὐτῶν, κατ᾽ αὐτῶν, πρὸς αὐτούς: valebant Athenienses viribus et adversus illos, (socios,) quibus illos vincerent, et contra quoslibet hostes alios. Cur χρὴ explicet Gottl. ἐδυνάμεθα, non video; nam neque ad Mitylenæos refertur, verum ad ad Athenienses: nec χρὴ significare possit, valere, posse, sed, opus esse; et quid tandem sit: habebant vires contra omnes, contra quos pugnare possemus? Quis hoc intelligit? Aut quis non habet *vires* contra eos, quicum pugnare *possit?* Baver.

Καθ᾽ ἓν γενόμενον, ἢ ὑμῖν, ἢ ἄλλῳ] Dubitabam nonnihil, an distinctio post γενόμενον tollenda esset. Si retinetur, videbatur deesse καὶ, quod supplevit Interpres. Sed neque mutatio distinctionis, neque supplementum Interpretis omnino necessarium est. Duck.

ιβ΄. 12. "Τίς οὖν αὕτη ἡ φιλία ἐγίγνετο, ἢ ἐλευθερία πιστὴ, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα; καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ, τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε τοπλέον ἢ φιλίᾳ κατεχόμενοι, ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θράσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον; ὥς τε, εἴ τῳ δοκοῦμεν ἀδικεῖν, προαποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι, εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι καὶ ἀντεπιμελῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ᾽ ἐκείνοις εἶναι; ἐπ᾽ ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν, καὶ ἐφ᾽ ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι.

ιγ΄. 13. "Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι, καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι, καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι· βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων, κωλυθέντας· νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ

Τίς οὖν αὕτη] Hujusmodi formulis utuntur Gr. in contemtu, indignatione, ut h. l. int. in admiratione. Lat. Quis iste? Ter. Andr. 1. 3. 11. quæ ista pravitas? v. Abr. Dil. 285. Gottl.

Ὅ, τε τοῖς ἄλλοις μάλιστα ἡ εὔνοια πίστιν βεβαιοῖ] Recte dicitur πίστιν βεβαιοῦν. Sed est admodum implicita structura, quam Interpres ita explicare conatus est, quasi scriptum esset, ὅ, τε τοῖς ἄλλοις μάλιστα πίστιν βεβαιοῖ, εὔνοια δηλονότι. Veniebat in mentem, εὔνοια πιστὸν βεβαιοῖ, id est, βεβαίως πιστὸν παρέχει, ut ὅ, τε πιστὸν, et τοῦτο ἐχυρὸν inter se respondeant. Sed quia Thucydidis oratio ubique aspera et confragosa est, et omnes scripti editam lectionem tuentur, fortassis præstat nihil tentare. Duck.

Ὅ, τε—εὔνοια] Baver. in Diss. p. 62. εὐνοίᾳ conjicit. Sed propter duritiem Thuc. nil tentandum. Ita loquitur II. 40. ὃ τοῖς ἄλλοις ἀμαθίᾳ μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. v. Abr. 284. Duck. volebat: εὔνοια πιστὸν βεβαιοῖ. i. e. βεβαίως πιστὸν παρέχει, ut ὅ, τε πιστὸν et τοῦτο ἐχυρὸν sibi respondeant. Sed nil tribuit conjecturæ. Reisk. olim putabat τὸ ὃ Thuc. ponere subinde pro οὗ, ubi; vel reponi posse: ὅτε τε; quando enim aliis benevolentia maxime fidem certam procurat, præstat id nobis fidum et certum metus. Sed postea mutavit sententiam in an. p. 25. si mente concipiamus locum sic: καὶ ὃ τοῖς ἄλλοις μάλιστα ἡ εὔνοια βεβαιοῖ, δηλονότι τὴν πίστιν, τοῦτο ὁ φόβος ἡμῖν παρεῖχεν ἐχυρόν. Sed facio cum Abresch. G.

τε] Reisk. γε. G.

Δεινῶν] Κινδύνων alii ex interpretatione. Wass.

Ἀντεπιμελῆσαι] Henr. Stephanus verbum ἀντεπιμέλλω in Indicem Thesauri sui contulit: unde adparet, eum probasse ἀντιμελλῆσαι, quod et melius cum iis, quæ præcedunt et sequuntur, convenit, quam ἀντεπιμελῆσαι. Scholiastes hic quidem agnoscit ἀντεπιμελῆσαι, sed in expositione v. antep. habet ἀντεπιμελλῆσαι, et convenienter sententiæ interpretatur. Nec in Cass. legitur scholion, quod hic in Scholiaste edito est. D.

ἀντεπιμελῆσαι] Reisk. ἀντεπιμελλῆσαι. G.

Ἀσφάλειάν τινα] Τινα abest Gr. minus eleganter. Wass.

Βουλομένους] Olim Reisk. βουλόμενοι, et κωλυθέντες, sed omisit hanc conjecturam in

προὐκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν· καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων, μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν· ἀπό τε Ἀθηναίων, μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ προποιῆσαι. ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται, καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς, διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ, καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. καιρὸς δὲ, ὡς οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ· νῆές τε αὐτοῖς, αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται. ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἢν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τοδεύτερον. ἀλλ' ἢ ἡμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον κίνδυνον ἕξειν. ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν παρέξει. οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται. οὔτε γὰρ ἀποστήσεται ἄλλος, τά τε ἡμέτερα προσγενήσεται· πάθοιμέν τ' ἂν δεινότερα, ἢ οἱ πρὶν δουλεύοντες. βοηθησάντων δὲ ὑμῶν προθύμως, πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, (οὗπερ ὑμῖν μάλιστα προσδεῖ) καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους. θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται. τήν τε αἰτίαν ἀπο-

anim. ad h. l. hi accus. pendent ab ἐκφοβῆσαι. Gottl.

Διπλῆν ἀπόστασιν] Præter pleonasmum puerilem et frigidum lusum hic admisisse videtur Bavero in diss. p. 36. Duplex defectio est, quam aliquis a duabus partibus facit, a Græcis et Ath. nempe Mityl. ab Ath. deficiebant, ut nollent cum iis vexare reliquos Gr., deinde ut nollent ab iisdem quoque everti. Hæc sententia utcunque ex verbis eruenda. Idem.

Ἀπό τε τῶν Ἑλλ.] Ἀπὸ i. e. περὶ, κατὰ— Baver ib. Idem.

—Χρὴ—δεξαμένους—βοήθ. ἀποστέλλειν] Nescio, cur Schol. dicat, δεξαμένους esse pro δέξασθαι, cum aperte pendeat ab ἀποστέλλειν. Baver.

Ἡμᾶς] Scripti ὑμᾶς, et Interpres. Sed nihil muto. Wass. Ὑμᾶς legunt etiam Valla, et Stephanus, quamquam in sec. hujus Edit. est ἡμᾶς. Nam vertit: *sed aut vos classe invadentes ab illis non propulsabimini.* Nec intelligo, cur lectio Mss. retineri non possit. Duck.

Ἐν τῇ Ἀττικῇ] i. e. ut Reisk. vult: ἐπὶ τῇ Ἀττικῇ, l. ὑπὲρ τῆς Ἀττικῆς. Sed nil in animadv. Gottl.

Δι' ἣν] Breviter dictum pro ἐν ταύτῃ, δι' ἥν. In ea regione geretur bellum, unde Attica suppetias habet. Reisk. in anim. p. 25. Idem.

Καθαιρήσετε] Suidas καθαιρήσεται interpretatur καθελεῖται. apud Hesych. καθαιρεθήσονται, καταστραφήσονται. Wass.

φεύξεσθε, ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βεβαιότερον ἕξετε.

ιδ'. 14. "Αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας, καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμὲν, ἐπαμύνατε, Μιτυληναίοις ξύμμαχοι γενόμενοι· καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφέλειαν ἅπασι διδόντας· ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ, μὴ πεισθέντων ὑμῶν, σφαλησόμεθα. γίγνεσθε δὲ ἄνδρες, οἵουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι, καὶ τὸ ἡμέτερον δέος βούλεται."

ιέ. 15. Τοιαῦτα μὲν οἱ Μιτυληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι, ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς λόγους, ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο, καὶ [τὴν] ἐς τὴν Ἀττικὴν ἐσβολήν. τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν, ὡς ποιησόμενοι. καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ, ὡς ὑπεροίσοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ ἄλλοι ξύμμαχοι βραδέως

Μὴ πρόησθε etc.] Nolite repudiare— Abresch. Dil. p. 287. non capit, cur Wasseus velit h. l. intell. εἰς l. κατὰ, παραβαλλ. est idem ac εἰσφέροντας, v. L. II. 44. et Abresch., et idem quod mox διδόντας. Sed tamen, ut locus docet Xen. Cyr. p. 53. subaudiri potest εἰς. Videtur Thuc. Hom. imitatus: Od. β'. v. 237. ubi σφὰς παρθέμενοι κεφαλὰς, et Virg. Æn. 2. 751. *caput objectare periclis.* Schol. expl. ἐνέχυρον θέμενοι et Barn. παραβάλλοντες. v. Ern. ad locum Hom. Gottl.

Παραβαλλομένους] Homer. Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν. Aristides π. μέσην τοῖς τοῦ πολέμου κινδύνοις τὴν πόλιν. Joseph. III. 7. 7. B. Jud. πιστεύων τῷ Θεῷ τὴν σωτηρίαν παραβάλλεται: Salutis discrimen adit. D. Halic. Ant. XI. 31. παραβάλλεσθαι πράγμασι καλοῖς χαλεπόν. Sed hoc loco subaudiendum εἰς, vel κατά. Frustra enallagen, Grammaticorum θεὸν ἀπὸ μηχανῆς, inducit Portus. vid. Diodor. 118. c. Wass. Xenophon II. Cyrip. p. 53. Wech. παραβαλλόμενοι δὲ οὐκ ἴσα εἰς τὸν κίνδυνον ἴσμεν. ubi tamen vet. lib. ἴμεν habebat, probante Camerario. Duck.

Ὠφέλειαν διδόντας, ἔτι δὲ κοινοτ. τ. βλάβην] Dilogia est in voc. διδόντας· ad ὠφέλειαν sign. *offerentes*, ad βλάβην *effecturos*, illaturos. Quo tolerabilior sit hæc figura, c. 15. ἐποιήσαντο ξυμμάχους, καὶ τὴν ἐσβολήν· ubi vid. Gottl. Ubi tamen, si τε absit post ξυμμάχους, ἐσβολὴν pendere possit a προσεδέξαντο. Bauer.

Καὶ [τὴν]] Reisk. servari vult τὴν, sed punctum delendum esse, ut et v. 6. hunc ordinem facit: καὶ τοῖς τε παρ. ξυμμ. ἔφραζον ἰέναι τ. ταχ. εἰς τ. ἰσθμὸν, (ὃ ἐποίουν) ὡς ποιησόμενοι τὴν ἔξοδον, καὶ αὐτοὶ παρῆσαν πρῶτοι. Interpunctionem vitiosam esse, vidit et Heilm. p. 327. et tolli vult puncta post ἐσβ. et ποιησ. itaque vult verba conjungi: καὶ ποιησόμ. τ. ἐσβ. ἐς τ. Ἀττ. τοῖς τε ξ. π.—μέρεσιν καὶ αὐτοὶ πρῶτ. ἀφ. Vel posse τὸ ποιησόμενοι (pro ποιησομένους) referri ad ξυμμ. et ἰέναι· placet prior ratio. Vulgata interp. hoc incommodi habet, ut ἐποιήσαντο v. 5. duplici ratione adhibeatur, συμμαχ. ποιεῖσθαι et ποιεῖσθαι ἐσβολήν. Sed durities Thuc. hoc ferret. Sed melius videtur τὸ ποιησόμενοι conjungi cum ἐσβολ. v. ad 14. 1. Gottl.

τε ξυνελέγοντο, καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν, καὶ ἀῤῥωστίᾳ τοῦ στρατεύειν.

ιστ΄. 16. Αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι, διὰ κατάγνωσιν ἀσθενείας σφῶν, παρασκευαζομένους, δηλῶσαι βουλόμενοι, ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τε εἰσὶ, μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν, καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν, ἐσβάντες αὐτοί τε, πλὴν ἱππέων, καὶ πεντακοσιομεδίμνων, καὶ οἱ μέτοικοι. καὶ περὶ τὸν ἰσθμὸν ἀναγαγόντες, ἐπίδειξίν τε ἐποιοῦντο, καὶ ἀποβάσεις τῆς Πελοποννήσου ᾗ δοκοῖ αὐτοῖς· οἱ δὲ Λακεδαιμόνιοι, ὁρῶντες πολὺν τὸν παράλογον, τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ, καὶ ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν, καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου. ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον, ὅ, τι πέμψουσιν ἐς τὴν Λέσβον· καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος· καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσὶν, ἐπειδὴ καὶ ἐκείνους εἶδον.

ιζ΄. 17. Καὶ κατὰ τὸν χρόνον τοῦτον, ὃν αἱ νῆες ἔπλεον,

Ξυγκομιδῇ] Etymologus ἐν συγκ. κ. η. Glossæ. *collectus*. D. Halicarn. Ant. IV. 56. ΣΥΓΚΟΜΙΔΗ͂Σ ὥραν ἔχουσαι· ubi pro πάλλων ex Vat. repone, μήκωνος τῷ σκήπωνι ΠΑΙ΄ΩΝ τὴν κεφαλὴν, ἀπήραττε. Isocrat. Areop. Εὐκαίρως πρὸς τὴν ΣΥΓΚΟΜΙΔΗ͂Ν τῶν καρπῶν. Diodor. p. 10. συγκ. οἴνου. Usus est etiam de cadavere componendo Sophocl. Aj. 1070. eleganter, quomodo sacri Scriptores 2 Sam. XXI. 13. Reg. II. 22. 20. Job. V. 26. ἐλεύσῃ ἐν τάφῳ ὥσπερ ΣΙ͂ΤΟΣ ὥριμος κατὰ καιρὸν θεριζόμενος. LXX. Συγκομισθεῖσα. כעתו כעלות גריש. Confer Schol. Æschyli in Sept. ad v. 1032. W.

Ἀῤῥωστίᾳ] Isocrates Panathen. Τὴν δὲ φύσιν εἰδὼς πρὸς μὲν τὰς πράξεις ἈῤῬΩΣΤΟΤΈΡΑΝ, καὶ μαλακωτέραν οὖσαν τοῦ δέοντος. Glossæ vertunt *ægrimonium*, languitatem. Th. Magister: οὐ μόνον ἡ νόσος, ἀλλὰ καὶ ἡ ἁπλῶς ἀδυναμία· ἐπειδὴ καὶ ὁ νοσῶν ἀδυνάτως ἔχει χρῆσθαι ἑαυτοῦ. Ita LXX. תולה vertunt: ἀτονίαν τῆς ψυχῆς vocat Chrysippus. Thomas legit, ἐν ΚΑΡΠΩ͂Ν ξυγκομιδῇ. Sed Suidas in συγκομιδή· συγκομ. καρποῦ. Wass. Suidas h. v. ἀῤῥωστία τοῦ στρατεύειν, ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδ. Duck.

Διὰ κατάγν.] Abresch. 288. per contemtum suæ imbecillitatis l. ut Acac. vertit: despectu infirmitatis suæ, *aus Geringschätzung ihrer vermeynten Schwäche.*. Gottl.

Ἱππέων καὶ Πενταχ.] Solon Athenienses in quatuor classes divisit: et appellavit Pentacosiomedimnos, Equites, Zeugitas, Thetes. Ac primos quidem ita dixerunt, quod quingentas mensuras aridorum et liquidorum reddere possint: Equites, quod equum alere illi valerent, et trecentas mensuras possiderent: Zeugitas, quod utriusque generis ducentas: Thetes vero erant capite censi et proletarii. Vide Plutarchi Solonem. Sigonium de Rep. Athenien. Meursii Attic. Lect. l. 5. c. 20. Ejusdem Solonem, cap. 14. Rutgersii Var. Lect. p. 316. et Marshami Chronic. p. 603. Huds. Vid. Pollucem, Æschylum Agam. 1626. Wass.

Ἀναγαγ.] Reisk. ἀνταναγαγόντες. Gottl.

Τῶν Λεσβίων] Gr. τοῦ Λεσβίου. Wass.

ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον, καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν· χωρὶς δὲ, αἱ περὶ Ποτίδαιαν, καὶ ἐν τοῖς ἄλλοις χωρίοις. ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν· (αὑτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας) τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν· ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον. νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τοπρῶτον, καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν.

ιή. 18. Μιτυληναῖοι δὲ, κατὰ τὸν αὐτὸν χρόνον, ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν, ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν, αὐτοί τε καὶ οἱ ἐπίκουροι. καὶ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προὐχώρει ᾗ προσεδέχοντο, ἀπῆλθον ἐπ' Ἀντίσσης, καὶ Πύρας, καὶ Ἐρέσου· καὶ καταστη-

Ἐν τοῖς] Inter plura exempla articuli pro pronomine positi hoc quoque adfert Stephanus, Append. ad Script. de Dial. p. 184. Duck.

Durus est hic articulus, et quo referatur? Abresch. 288. eum putat idem ac ἐκείνοις, l. τούτοις, probatque Gramm. expl. Sed putem, Thuc. sui oblitum, scripsisse ἐν τοῖς pro ἐν τῷ, pro ἐν τούτῳ, quod crederet scripsisse, κατὰ τοὺς χρόνους, ut solet. v. c. II. 68. 95. et Heilm. adeundus est super h. l. qui præfert lect. αὐτοῖς, quæ opinio non spernenda. Sed lectio hæc orta videtur ex altera. Reisk. f. ἔπλεον, αὐτοῖς πλεῖσται δ. ν. ἁμ. κάλλει, ἐνεργοί. olim ἔπλεον ἐκείνοις, et pro κάλλει, μᾶλλον. Gottl.

Probabilis sane B. Gottl. ratio, per enallagen numeri confirmanda. Quid tamen, si legeris, ταῖς ἐν ταῖς, sc. ναυσι? Baver.

Ὑπανάλωσε] Τὸ ὑπὸ in h. verbo notat: sensim. Gottl.

Ὑπανάλωσε, ὑπανηλώθη] Non video, cur notio *sensim* inferciatur; quam ne afferat quidem ὑπὸ, sed magis, *furtim*, occulte. Immo simpliciter est pro ἀναλίσκειν. Baver.

Δίδραχμοι ὁπλῖται] Ita ex h. l. Viri docti recte restituerunt apud Pollucem IV. 165. accedentibus etiam Libris scriptis Pollucis. De stipendiis eorum, qui terra militabant, et classiariorum apud Athenienses, vid. Meurs. II. Atticar. Lection. 8. quem locum designat in Var. Lect. Hudsonus, Lips. V. de Milit. Rom. 16. et Petit. ad Leg. Attic. p. 554. qui hoc extraordinarium fuisse existimant. Nam alioqui illos quaternos, hos ternos in diem obolos accepisse. Cur Portus τήν τε γὰρ Ποτίδαιαν ἐφρούρουν, verterit, *qui Potidæam obsidebant*, ipse viderit. De his, qui in præsidio Potidææ erant post deditionem urbis, de qua est II. 70. accipiunt Valla, Budæus V. de Asse, p. 175. Ed. Vasc. Lipsius, et Petitus. Hoc tamen ex verbis Thucydidis, quamquam satis obscuris, videtur colligi, eos, qui urbem obsederant, idem stipendium accepisse. Duck.

Meursius μισθὸν hic inserit; sed non opus, cum sequatur illico sub fin. cap. Abres. 289. Gottl.

Ἀντίσσης] Vid. Harpocrat. Aristot. Pol. 134. 2. olim insula. Ovid. M. XV. *Fluctibus ambitæ fuerant Antissa Pharosque.* Fatum ejus enarrant Liv. XLV. 31. Plin. V. 31. Mox voces καὶ τείχη usque ad καὶ ἐκβ. omittit Cl. Scribæ festinantis errore. Wass.

Ἐρέσου] Vid. VIII. 100. et 103. Ἐρεσσοῦ καὶ Μηθίμνης Cantacuzenus 290. 292. Wass. Varie scribitur Ἐρεσσὸς, Ἐρεσὸς, Ἔρεσος, et Latinis *Eressus*, *Eresus*. Vid. Cellar. III. Geograph. Ant. 2. qui hic quoque, ut infr.

σάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα, καὶ τείχη κρατύναντες, διὰ τάχους ἀπῆλθον ἐπ' οἴκου. ἐστράτευσαν δὲ καὶ οἱ Μηθυμναῖοι, ἀναχωρησάντων αὐτῶν, ἐπ' Ἄντισσαν· καὶ ἐκβοηθείας τινὸς γενομένης, πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων, ἀπέθανόν τε πολλοὶ, καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος. οἱ δὲ Ἀθηναῖοι, πυνθανόμενοι ταῦτα, τούς τε Μιτυληναίους τῆς γῆς κρατοῦντας, καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι, περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον, Πάχητα τὸν Ἐπικούρου στρατηγὸν, καὶ χιλίους ὁπλίτας ἑαυτῶν. οἱ δὲ, αὐτερέται πλεύσαντες τῶν νεῶν, ἀφικνοῦνται, καὶ περιτειχίζουσι Μιτυλήνην ἐν κύκλῳ ἁπλῷ τείχει. φρούρια δὲ ἔστιν οἷ ἐπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται. καὶ ἡ μὲν Μιτυλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ ἐκ γῆς ταὶ ἐκ θαλάσσης εἴργετο, καὶ ὁ χειμὼν ἤρχετο γίγνεσθαι.

ιθ'. 19. Προσδεόμενοι δὲ οἱ Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν, καὶ αὐτοὶ ἐσενεγκόντες, τότε πρῶτον εἰσφορὰν διακόσια τάλαντα ἐξέπεμψαν, καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα, καὶ Λυσικλέα, πέμπτον αὐτὸν στρατηγόν. ὁ δὲ ἄλλα τε ἠργυρολόγει, καὶ περιέπλει, καὶ τῆς Καρίας ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίου μέχρι τοῦ Σανδίου λόφου, ἐπιθεμένων τῶν Καρῶν καὶ Αναιϊτῶν, αὐτός τε διαφθείρεται, καὶ τῆς ἄλλης στρατιᾶς πολλοί.

κ'. 20. Τοῦ δ' αὐτοῦ χειμῶνος, οἱ Πλαταιῆς (ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ τῶν Βοιωτῶν) ἐπειδὴ

C. XXXV. et apud alios, Πύῤῥας scribendum recte censet. add. Harpocrat. h. v. Hinc *Pyrrhiades puellæ* Ovid. Epist. Sapp. v. 15. Duck.

Εἴργετο] Nota copiam Thuc. antea περιτειχίζειν, περιέχειν et περιφρουρεῖν. Abr. 289. Gottl.

Καὶ αὐτοὶ ἐσενεγκόντες, τότε] Puto hæc melius ita distingui in Cass. et Vascos. καὶ αὐτοὶ ἐσενέγκόντες τότε πρῶτον εἰσφορὰν διακόσια τάλαντα, ἐξέπεμψαν κ. ἐ. τ. ξυμμάχους ἀ. ν. Aristoph. Lysistr. 655. Εἶτ' ἀναλώσαντες οὐκ ἀντεισφέρετε τὰς εἰσφοράς. Rectius etiam alii Mss. et Edd. ἐσενεγκόντες, quam ἐνεγκόντες Reg. Est enim usitatissimum, et quasi proprium de talibus εἰσφέρειν. Sunt autem εἰσφοραὶ civium, φόροι sociorum et provincialium. Ammon. et Perizon. ad Ælian. II. V. H. 10. Ἀργυρολόγους ναῦς memorat etiam Aristoph. Equit. 1068. ubi Schol. adnotat: ἐλέγοντο δὲ Πάραλοι καὶ Σαλαμίνιοι, de quo amplius quærendum arbitror. Duck.

Ἄλλα] Reisk. malit, ἅμα. Gottl.

Ἀναιϊτῶν] Mss. Gr. et Clar. nihil movent. De civitate Ἀναία vid. Eustath. ad Dionys. 828. ab hac diversa est *Anaitica* Armeniæ, a nomine Deæ Ἀναΐτιδος, de qua Strabo XI. XII. et XV. Scylax p. 37. Ἄννα (Ἀναία) Πανιώνιον, Ἐρασίστρατος. De Sandio non memini me legisse: Sandionis cujusdam meminit Pausan. 103. Wass. Infra c. 32. h. lib. Σαμίων τῶν ἐξ Ἀναίων. IV. 75. τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ, et VIII 19. ἔπλευσαν ἐς Ἀναίαν, ubi vid. Var. lect. Duck.

τῷ τε σίτῳ ἐπιλιπόντι ἐπιέζοντο, καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἦν ἐλπὶς τιμωρίας, οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι, πρῶτον μὲν πάντες ἐξελθεῖν, καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένων τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τιμίδου, ἀνδρὸς μάντεως, καὶ Εὐπολπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει. ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως, τὸν κίνδυνον μέγαν ἡγησάμενοι· ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ, τρόπῳ τοιῷδε. κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων. ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων, ᾗ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος αὐτῶν. ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς· καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες, καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ ἐβούλοντο τοῦ τείχους. τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον.

κά. 21. Τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ οἰκοδομήσει· εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλαταιῶν, καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι. διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων. τὸ οὖν μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο· καὶ ἦν ξυνεχῆ, ὥς τε ἓν φαίνεσθαι τεῖχος παχὺ, ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν

Οὐδεμία ἦν ἐλπὶς] In quibusdam οὐδὲ μία ἐλπὶς ἦν, positura gratiore. Wass. Thom. Magist. in τιμωρῶ hic τιμωρίαν rectius interpretatur βοήθειαν, quam Scholiastes ἐκδίκησιν. Diod. Sic. XIII. p. 315. de hac re: τῶν Ἀθηναίων μηδεμίαν ἐξαποστελλόντων βοήθειαν. Id. Thom. ἀπὸ Ἀθηνῶν omisso articulo. D.

Ἐπιβουλεύουσιν—ἐξελθεῖν] T. Magister in βουλεύομαι om. τε, male. et diserte legit ἐξελθεῖν. Confer Diodor. p. 315. b. Wass. Τε est in Thomæ Ed. Colin. et Franeq. Duck.

Ἐσηγησαμένων] Virg. dux fœmina facti. Ælian. V. H. III. 8. πιστεύσαντες, ὅτι τῶν πολεμικῶν ἔργων ἡγήσεται καλῶς, καὶ εἰς δέον. Noster alibi ἡγεῖτο τῆς ἐσβολῆς. Wass.

Εἰσηγησαμ.] i. e. αἴτιοι τῆς πείρας, auctores, ut sequitur c. 22. v. 2. Gottl.

Ἐξαληλιμμένον] Mœris hoc e Thucydide laudans itidem, ut Scholiastes, κεχρισμένον interpretatur. Est inter propria hujus rei verba. Pollux VII. 124. τιτάνῳ δὲ χρίειν, εἶτα ἀλείφειν, ἐπαλείφειν; καταλείφειν, ἐξαλείφειν. Duck.

Τὰς ἐπιβολὰς] Locum ad verbum pæne descripsit Proc. B. G. I. 22. Gottl.

Τῇ οἰκοδομήσει] Pro οἰκοδομία agnoscit Pollux VII 117. Vid. Thom. Mag. et Phrynichum in οἰκοδομή. Wass.

Δύο τοὺς περιβόλους] Ut solebant, quum ab hoste exteriore metus erat. Aliter de circumvallatione Mitylenarum Cap. XVIII. περιτειχίζουσι Μιτυλήνην ἐν κύκλῳ ἁπλῷ τείχει. Vid. Lips. II. Poliorcetic. 1. et Casaubon. ad Polyb. pag. 181. apud quos multa sunt, quibus Thucydidea Platæarum circumvallationis descriptio pulchre inlustratur. D.

μεγάλοι, καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ, καὶ οἱ αὐτοὶ καὶ ἐς τὸ ἔξω· ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῄεσαν. τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερὸς, τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων, ὄντων δι' ὀλίγου καὶ ἄνωθεν στεγανῶν, τὴν φυλακὴν ἐποιοῦντο. τὸ μὲν οὖν τεῖχος, ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς, τοιοῦτον ἦν.

κβʹ. 22. Οἱ δ', ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ, καὶ ἅμα ἀσέληνον, ἐξῄεσαν. ἡγοῦντο δὲ, οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν αὐτοὺς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων, λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν, οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ, τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς, ἀντιπαταγοῦντος τοῦ ἀνέμου, οὐ κατακουσάντων. ἅμα δὲ καὶ διέχοντες πολὺ ᾖεσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει, καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι, ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες, ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον· ὧν ἡγεῖτο Αμμέας ὁ Κοροίβου, καὶ πρῶτος ἀνέβη. μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἓξ

Πλαταιῆς] Alii Πλαταιεῖς, corrupte. W.

'Ασέληνον] Omnes noctis commoditates ad furta belli enarrat. ὕδατι, hoc est, *nivibus*. vid. Polyænum VI. 19. Wass.

Ψόφῳ] Ordo est: οὐ κατ. δὲ αὐτοὺς, τοῦ ἀνέμου ἀντιπ. (τῷ) ψόφῳ, τῷ ἐκ τοῦ προσιέναι (ἀποτελεσθέντι). v. Abr. 291. Gottl.

Τῷ ψόφῳ, rel.) Recte ordinem ex Abresc. instituit B. Gottl. sed pro quæsito illo verbo ἀποτελεσθέντι, simplicius supple, γιγνομένῳ, orto. Bauer.

Τὸν ἀριστερὸν πόδα μόνον] In quibusdam μόνον πόδα. non male. Virg. *Vestigia nuda sinistri Instituere pedis, crudus tegit altera pero.* Mox pro τὸν πηλὸν Dausquius πόλεμον. Sed nihil mutandum. non enim de peronibus, sed sandaliis loquitur. lapsum nempe cavebant in loco humido. Pero rusticis in usu. Pers. V. 102. *Navim si poscat sibi peronatus arator.* Dausquium hic, ut alias passim, falli, planissime docet ὑποδεδεμένοι. Wass. Dausqueii conjectura est in Commentario ad Silium Lib. VIII. v. 421. pag. 353. In prœliis multæ gentes alterum pedem tectum habebant, de qua re vid. quæ adnotant Lips. 111. de Mil. Rom. 7. Cerd. ad Virgil. VII. Æneid. 689. et Dausq. l. d. sed de iis hic non agitur. Quæri tamen potest, cur ἀσφαλείας πρὸς τὸν πηλὸν ἕνεκα potius sinistro, quam dextro, pede calceati fuerint: quum dextri pedis tegmen non minus ἀσφάλειαν illam præstare posset, quam sinistri? Scholiastes dicit, eos dextrum pedem nudum habuisse διὰ κουφότητα. Eamdem causam, cur Ætoli sinistrum pedem ὑποδεδεμένοι fuerint, dextrum autem ἀνυπόδετον habuerint, reddit Aristoteles apud Macrob. V. Saturn. 18. Nam inquit, oportet pedem, qui præcedit, et incessum inchoat, τὸν ἡγούμενον πόδα, levem ac celerem habere, non eum, qui subsequitur ac tardior est. Add. Brodæum III. Miscellan. 8. Dausqueio tamen hæc ratio non visa fuit idonea. Itaque ad emendationem maluit confugere: sed sine causa, ut opinor. Duck.

ἐφ᾽ ἑκάτερον τῶν πύργων ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν. οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν, ὁπότε πρὸς τοῖς πολεμίοις εἴησαν. ὡς δὲ ἄνω πλείους ἐγένοντο, ᾔσθοντο οἱ ἐκ τῶν πύργων φύλακες. κατέβαλε γάρ τις τῶν Πλαταιέων, ἀντιλαμβανόμενος, ἀπὸ τῶν ἐπάλξεων κεραμίδα· ἣ πεσοῦσα ψόφον ἐποίησε, καὶ αὐτίκα βοὴ ἦν. τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ᾔδει, ὅ, τι ἦν τὸ δεινὸν, σκοτεινῆς νυκτὸς, καὶ χειμῶνος ὄντος. καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιέων ὑπολελειμμένοι, ἐξελθόντες προσέβαλλον τῷ τείχει τῶν Πελοποννησίων, ἐκ τοὔμπαλιν ᾗ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς· ἀλλ᾽ ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν, εἴτι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν. φρυκτοί τε ᾔροντο ἐς τὰς Θήβας πολέμιοι· παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς, πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ, καὶ μὴ βοηθοῖεν· ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι, ἢ τὸ ὂν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν, καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.

κγ΄. 23. Οἱ δ᾽ ὑπερβαίνοντες τῶν Πλαταιέων ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν, καὶ τοῦ πύργου ἑκατέρου, τοὺς φύλακας διαφθείραντες, ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων αὐτοὶ ἐνστάντες ἐφύλασσον, μηδένα δι᾽ αὐτῶν ἐπιβοηθεῖν· καὶ κλίμακας προσθέντες ἀπὸ του τείχους τοῖς πύργοις, καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων

Οἱ ἐκ τῶν πύργων φύλακες] Exquisitius est quam οἱ ἐν τοῖς πύργοις φύλ. Gottl.

Ἤσθ. οἱ ἐκ. τ. πύργ. φύλ.] Nil exquisiti inest huic permutationi; brevitas tamen arguta, Nostro solemnis, pro longiori: οἱ ἐν τοῖς πύργοις (ὄντες) φύλακες ᾔσθοντο ἐξ αὐτῶν. V. Ind. in ἐκ. Baver.

Κεραμίδα] Κεραμίδα et κέραμον de tegulis usurpasse nostrum Pollux VII. 162. testatur. vid. infra III. 74. vid. Aristoph. Athen. Etymol. Wass. Add. Poll. X. 182. D.

Παρανίσχον] Agnoscit Suidas in πρόσισχε. Supra, φρυκτοὶ II. 94. Morem scite depinxit Æschylus Agam. v. 289.

Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
Φρυκτὸς δὲ φρυκτὸν δεῦρ᾽ ἀπ᾽ ἀγγέλου πυρὸς
Ἔπεμπεν. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ φανὸν ἐκ νήσου τρίτον
Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο,
Ὑπερ Ἕλης τε πόντον, ὥστε νωτίσαι
Ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
Πεύκη, τὸ χρυσοφεγγὲς, ὥς τις ἥλιος.

et quæ sequuntur. Confer Themistium Or. XXIII. pag. 283. Wass.

τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλοντες· οἱ δ' ἐν τούτῳ, οἱ πλείους, πολλὰς προσθέντες κλίμακας ἅμα, καὶ τὰς ἐπάλξεις ἀπώσαντες, διὰ τοῦ μεταπυργίου ὑπερέβαινον. ὁ δὲ διακομιζόμενος ἀεὶ, ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴτις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. ἐπεὶ δὲ πάντες διεπεπεραίωντο οἱ ἀπὸ τῶν πύργων, χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον· καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο, λαμπάδας ἔχοντες. οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκότους, ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά· αὐτοὶ δὲ, ἐν τῷ ἀφανεῖ ὄντες, ἧσσον διὰ τὰς λαμπάδας καθεωρῶντο. ὥστε φθάνουσι τῶν Πλαταιέων καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως. κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ, ὥστ' ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου, ἢ βορέου, ὑδατώδης μᾶλλον· καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονιφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. ἐγένετο δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

κδ'. 24. Ορμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς, ἐχώρουν ἀθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδὸν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ανδροκράτους ἡρῷον· νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς

Μεταπυργίου] Vid. Huds. in Var. Lect. Ita fere Harpocrat. ubi nostrum et Lysiam citat. idem valet v. μεσοτείχια Pollux I. 170. Vide Diodorum p. 574. 575. Wass.

Κωλυτὴς γίγνοιτο τῆς διαβάσεως] Pro κωλύοι τὴν διάβασιν. Hoc est, quod Dionys. Halic. Tom. II. pag. 133. et 134. dicit, Thucydidem τὸ ῥηματικὸν ὀνομαστικῶς ἐκφέρειν, et σχηματίζειν. Et sic ex imitatione Thucydidis etiam Dionys. II. Antiquit. 41. κωλυταὶ τοῦ εἰς τέλος ἀνάνδρου ἐγίνοντο: et VIII. 59. οὐχ ἱκανοὶ ἐγένοντο κωλυταὶ τῆς συμφορᾶς. Rursus Thucyd. III. 2. μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις. Dionys. XI. 26. μηνυτὴς γίνεται τῷ δεσπότῃ. Vid. Casaub. ad Dionys. p. 16. D.

Καὶ ἐτόξευον] In quibusdam καὶ ἐντεῦθεν ἐτόξευον. male, ex superiore loco. Wass.

Πλαταιέων] Leg. Πλαταιῶν, tacentibus non tam libris, quam qui illos tractarunt. W.

Ἀθρόοι] i. e. ὁμοῦ πάντες, ἀκέραιοι. ita Hesych. v. Abr. 292. Gottl.

Ἀνδροκράτους] Ita Mss. Herodotus IX. 25. Ἐτάσσοντο κατὰ ἔθνεα, πλησίον τῆς τε κρήνης τῆς Γαργαφίης, καὶ τοῦ Τεμένεος τοῦ Ἀνδροκράτεος τοῦ Ἥρωος. ubi Lamb. et G. ἀλλὰ ἅμα πάντας: Medicæus nihil movet. Fuit ille dux Platæensium. Plutarch. Ἀριστειδ. 325. Respondit Apollo, laturos ex Medis victoriam Athenienses, si vota Νύμφαις Σφραγίτισι etc. nuncupassent, καὶ θύοντας Ἥρωσιν ΑΝΔΡΟΚΡΑ'ΤΕΙ, Λεύκωνι, Πεισάνδρῳ, Δαμοκράτει, Ὑψίωνι, Ἀκταίωνι, Πολυΐδῳ—Ἀρχηγέται Πλαταιέων ἦσαν.—αὐτοῦ δ' ἦν καὶ τὸ τοῦ Ἀνδροκράτους ἡρῷον, ἐγγὺς ἄλσει πυκνῶν καὶ συσκίων δένδρων περιεχόμενον. ibi pro Νυσίων lege Ὑσίων cum Ms. et διαμαρτεῖν. Paullo aliter enumerat Clemens Alex. Cohort. p. 35. Ἀνδροκράτει, καὶ Δημοκράτει, καὶ Κυκλαίῳ καὶ Λεύκωνι. Forte latet in voce Κυκλαίῳ vitium. Hos opinor contestatus est Archidamus II. 74. De Actæone Aristæi filio, a Chirone educato, et in Cithærone a suis canibus devorato vid. Apollodorum III. 4. Diod. p. 195. de Polyido Apoll. III. 3. W.

Ἡρῷον] Forte ἡραῖον. templum Jun. occurrit L. I. 24. G.

ὑποτοπῆσαι τραπέσθαι, τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς, τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ᾔεσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν, ἐς Ἐρύθρας, καὶ Ὑσίας· καὶ λαβόμενοι τῶν ὀρῶν, διαφεύγουσιν ἐς τὰς Ἀθήνας, ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων. εἰσὶ γάρ τινες αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν, πρὶν ὑπερβαίνειν· εἷς δ' ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη. οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο, τῆς βοηθείας παυσάμενοι· οἱ δ' ἐκ τῆς πόλεως Πλαταιῆς, τῶν μὲν γεγενημένων εἰδότες οὐδὲν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων, ὡς οὐδεὶς περίεστι, κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς. μαθόντες δὲ τὸ ἀληθὲς, ἐπαύσαντο. οἱ μὲν δὴ τῶν Πλαταιέων ἄνδρες, οὕτως ὑπερβάντες ἐσώθησαν.

κέ. 25. Ἐκ δὲ τῆς Λακεδαίμονος, τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος, ἐκπέμπεται Σάλαιθος ὁ Λακεδαιμόνιος ἐς Μιτυλήνην τριήρει. καὶ πλεύσας ἐς Πύῤῥαν, καὶ ἐξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινὰ, ᾗ ὑπερβατὸν ἦν τὸ περιτείχισμα, διαλαθὼν ἐσέρχεται ἐς τὴν Μιτυλήνην· καὶ ἔλεγε τοῖς προέδροις, ὅτι ἐσβολή τε ἅμα ἐς τὴν Ἀττικὴν ἔσται, καὶ αἱ τεσσαράκοντα νῆες

Ὑσίας] Ita Mss. et Steph. Vid. Nostrum Lib. V. 83. Pausan. Bœot. IX. 2. ἐν τῷ Κιθαιρῶνι ὀλίγον τῆς εὐθείας—Ὑσιῶν καὶ Ἐρυθρῶν ἐρείπιά ἐστι. Confer II. 24. VIII. 6. Herodot. VI. 108. IX. 15. V. 74. Κτίσμα erat Νυκτέως τοῦ Ἀντιόπης πατρός. Vid. Cl. Whelerum Itinerar. p. 474. et Strabonem IX. p. 620. et Suidam in h. v. Wass. Sæpius Ὑσιαὶ invenias, quam Ὑσίαι. De ea Stephanus: Ὑσία, πόλις Βοιωτίας, καὶ ἑνικῶς καὶ πληθυντικῶς· περὶ ἧς Θουκυδίδης τρίτη. Ἄποικος Ὑρέων, κτίσμα Νυκτέως—Adnotat ibi Berkelius, non esse apud Thucyd. III. sed apud Strabonem IX. 404. ad verbum. Non adsequutus est mentem Stephani, qui non dicit, illa, ἄποικος Ὑρέων—esse in Thucydidis III. sed tantum, eum Hysiam lib. III. memorare. Ἐρύθραι, an Ἐρυθραὶ scribendum esset, jam olim non convenisse inter Grammaticos, ostendit Eustath. in Homer. Il. β'. 267. Duck.

Ἐσπένδοντο] De conatu: pacisci in animo habebant; seq. enim: μαθόντες δὲ τὸ ἀληθὲς, ἐπαύσαντο, scil. τῆς προαιρέσεως. G.

Ἐς τὴν Μιτυλήνην] Locus Vossii, quem designat in Var. Lection. Hudsonus, est in illius Commentar. ad Pompon. Melam II. 7. Μυτιλήνη habent Stephanus et Epit. Strabon. XIII. In aliis fere tam Græcis, quam Latinis Scriptoribus editum est Mitylene et Mitylenæ. Harduinus in Plinio utramque scripturam exhibet: fortassis, quia ita in libris scriptis, vel vetustis Editionibus invenit: nam recentiores constanter in prima syllaba habent *i*. Sed in nummis antiquis esse Μυτι, adnotat Idem ad Plinium, et in Nummis ant. Populor. et Urb. illustr. nec non Holsten. ad Stephan. et Spanhem. de Præst. et Usu Numism. Dissert. IX. pag. 645. Dissert. XI. p. 279. et XII. p. 489. Et sic apud Gruter. Inscript. MCXVIII. 7. ΕΥΔΑΙΜΩΝ ΜΥΤΙΛΗΝΑ. Tamen ibid. CCCCLXXIV. 8. QUI MITYLENIS NEGOTIANTUR. Sed hujus auctoritatem elevat Cellarius Geogr. Ant. III. 2. Duck.

παρέσονται, ἃς ἔδει βοηθῆσαι αὐτοῖς· προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα, καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος. καὶ οἱ μὲν Μιτυληναῖοι ἐθάρσουν τε, καὶ πρὸς τοὺς Ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην, ὥστε ξυμβαίνειν. ὅ, τε χειμὼν ἐτελεύτα οὗτος, καὶ τέταρτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

κστ'. 26. Τοῦ δ' ἐπιγιγνομένου θέρους, οἱ Πελοποννήσιοι, ἐπειδὴ τὰς ἐς Μιτυλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν ἔχοντα Ἀλκίδαν, ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες, αὐτοὶ ἐς τὴν Ἀττικὴν καὶ οἱ ξύμμαχοι ἐσέβαλον· ὅπως οἱ Ἀθηναῖοι, ἀμφοτέρωθεν θορυβούμενοι, ἧσσον ταῖς ναυσὶν ἐς τὴν Μιτυλήνην καταπλεούσαις ἐπιβοηθήσωσιν. ἡγεῖτο δὲ τῆς ἐσβολῆς ταύτης Κλεομένης, ὑπὲρ Παυσανίου τοῦ Πλειστοάνακτος υἱέος, βασιλέως ὄντος καὶ νεωτέρου ἔτι, πατρὸς ἀδελφὸς ὤν. ἐδῄωσαν δὲ τῆς Ἀττικῆς τά τε πρότερον τετμημένα, καὶ εἴτι ἐβεβλαστήκει, καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς παρελέλειπτο· καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο τοῖς Ἀθηναίοις μετὰ τὴν δευτέραν. ἐπιμένοντες γὰρ ἀεὶ ἀπὸ τῆς Λέσβου τὶ πεύσεσθαι τῶν νεῶν ἔργον, ὡς ἤδη πεπεραιωμένων, ἐπεξῆλθον τὰ πολλὰ τέμνοντες. ὡς δ' οὐδὲν ἀπέβαινεν αὐτοῖς ὧν προσεδέχοντο, καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις.

κζ'. 27. Οἱ δὲ Μιτυληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ ἧκον ἀπὸ τῆς Πελοποννήσου, ἀλλὰ ἐνεχρόνιζον, καὶ ὁ σῖτος ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς Ἀθηναίους, διὰ τάδε· ὁ Σάλαιθος, καὶ αὐτὸς οὐ προσδεχόμενος ἔτι τὰς ναῦς, ὁπλίζει τὸν δῆμον, πρότερον ψιλὸν ὄντα, ὡς ἐπεξιὼν τοῖς Ἀθηναίοις· οἱ δὲ, ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν ἀρχόντων, κατὰ ξυλλόγους τε γιγνόμενοι, ἢ τὸν σῖτον ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερὸν, καὶ διανέμειν ἅπασιν, ἢ

Ἔχοντα] Steph. malit (in Thes. s. v. προστάξασθαι) ἄρχοντα, sed nil opus. v. Abr. 293. ordo hic est: προστάξ. (αὐτὸν) ἐς Μιτ. ἐχ. τὰς δύο etc. Reisk. refert προστάξ. non ad ἀπέστειλ. sed ad ἐσέβαλον, ut idem sit: μετὰ τὸ προστάξαι καιρὸν, ἐν ᾧ ἔδει τοῦτο ποιεῖν vel ἐσέβαλον ἐν τῷ καιρῷ τῷ προστεταγμένῳ. Gottl.

Ἔχοντα Ἀλκίδ.] Si sit προστάξαντες, facile sit, ordinare: ἀπέστ. Ἀλκιδ. ἔχοντα ναῦς. Et tamen προστάξαντες referri possit ad ὅτι ἦν, tali sensu: quem iis præfecissent, quia jam erat dux navalis. Bauer.

Νεωτέρου] Hunc locum videtur ante oculos habuisse Auctor Lexici Biblioth. Coislin. ap. Montfauc. pag. 483. Νεώτερος, ἀντὶ τοῦ νέος. Θουκυδ. γ'. Add. Suid. et Steph. Animadv. ad Lib. de Dial. p. 38. Duck.

αὐτοὶ ξυγχωρήσαντες πρὸς Ἀθηναίους ἔφασαν παραδώσειν τὴν πόλιν.

κή. 28. Γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν, οὔτ᾽ ἀποκωλύσειν δυνατοὶ ὄντες, εἴτ᾽ ἀπομονωθήσονται τῆς ξυμβάσεως, κινδυνεύσοντες, ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε Πάχητα καὶ τὸ στρατόπεδον, ὥστε Ἀθηναίοις μὲν ἐξεῖναι βουλεῦσαι περὶ Μιτυληναίων, ὁποῖον ἄν τι βούλωνται, καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς, πρεσβείαν δὲ ἀποστέλλειν ἐς τὰς Ἀθήνας Μιτυληναίους πέρὶ ἑαυτῶν. ἐν ὅσῳ δ᾽ ἂν πάλιν ἔλθωσι, Πάχητα μήτε δῆσαι Μιτυληναίων μηδένα, μήτε ἀνδραποδίσαι, μήτε ἀποκτεῖναι. ἡ μὲν ξύμβασις αὕτη ἐγένετο. οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μιτυληναίων, περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ᾽ ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι. Πάχης δ᾽ ἀναστήσας αὐτούς, ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς Τένεδον, μέχρις οὗ τοῖς Ἀθηναίοις τὶ δόξῃ. πέμψας δὲ καὶ ἐς τὴν Ἀντισσαν τριήρεις, προσεκτήσατο, καὶ τἄλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ᾗ αὐτῷ ἐδόκει.

κθ΄. 29. Οἱ δ᾽ ἐν ταῖς τεσσαράκοντα ναυσὶ Πελοποννήσιοι, οὓς ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες, περί τε αὐτὴν τὴν Πελοπόννησον ἐνδιέτριψαν, καὶ κατὰ τὸν ἄλλον πλοῦν σχολαῖοι κομισθέντες, τοὺς μὲν ἐκ τῆς πόλεως Ἀθηναίους λανθάνουσι, πρὶν δὴ τῇ Δήλῳ προσέσχον· προσμίξαντες δ᾽ ἀπ᾽ αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ, πυνθάνονται πρῶτον, ὅτι ἡ Μιτυλήνη ἑάλωκε. βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι, κατέπλευσαν ἐς Ἔμβατον τῆς Ἐρυθραίας. ἡμέραι δὲ μάλιστα ἦσαν τῇ Μιτυλήνῃ

Ὅμως] Videtur incommodum; unde versum est ab Acacio, *pariter*. Abresch. post ἠνέσχοντο subint. μεῖναι, et καίπερ omissum credit, cui τὸ ὅμως respondeat. GOTTL.

Ὅμως] Bene est, quod Abresch. suppleri vult καίπερ· sed, ubi suppleatur, non docet; nec vero est in toto tenore, ubi suppleatur. Nam, περιδεεῖς ὄντες, non sign. *etsi* timebant, sed, *quia* timebant. ὁμῶς autem vix sensum hic fundat. ὅμως est nihilo secius, nempe, etsi fides data erat ab Atheniensibus incolumitatis, certe, donec legati redissent. BAVER.

Μυκόνῳ] Μηκόνῳ Cl. Receptam lectionem tuentur, Stephanus huc respiciens, Herodotus VI. 118. Strabo X. 487. Eustath. ad Dionys. p. 99. Dicæarchus p. 26. Μύκονος. μετὰ ταύτην Τῆνός ἐστι καὶ λιμήν. Agathemeres p. 3. alii Μύκωνος. male. Petron. Constanti Myconæ dedit ferendam. De qua scriptura ampliandum. vid. Æschylum Pers. 887. et Tournefort. I. 217. WASS. Clar. Burmannus in Petronio pag. 688. nihil hæsitans edidit Constanti *Mycono*, ut voluerat Heins. ad Ovid. Epist. Cydipp. v. 81. Recte, fine dubio. Μύκονος scribendum, non Μύκωνος, constat e Poëtis Græcis ac Latinis. DUCK.

Ἔμβατον] Stephano τόπος τῆς Ἐρυθραίας. Ms. Vatic. Geogr. ἄκρον τῆς νήσου vocat. Plurative extulit Polyænus III. 9. 29. περὶ Ἔμβατα. WASS.

ἑαλωκυίᾳ ἑπτὰ, ὅτ' ἐς τὸ Ἔμβατον κατέπλευσαν. πυθόμενοι δὲ τὸ σαφὲς, ἐβουλεύοντο ἐκ τῶν παρόντων· καὶ ἔλεξεν αὐτοῖς Τευτίαπλος ἀνὴρ Ἠλεῖος τάδε.

λ'. 30. "ΑΛΚΙΔΑ, καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μιτυλήνην, πρὶν ἐκπύστους γενέσθαι ὥσπερ ἔχομεν. κατὰ γὰρ τὸ εἰκὸς, ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων, πολὺ τὸ ἀφύλακτον εὑρήσομεν· κατὰ μὲν θάλασσαν καὶ πάνυ, ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον, καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα. εἰκὸς δὲ, καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον, ὡς κεκρατηκότων, διεσπάρθαι. εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτὸς, ἐλπίζω μετὰ τῶν ἔνδον (εἴτις ἄρα ἡμῖν ἐστιν ὑπόλοιπος εὔνους) καταληφθῆναι ἂν τὰ πράγματα. καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου, ἢ τὸ τοιοῦτον, ὃ εἴτις στρατηγὸς ἔν τε αὑτῷ φυλάσσοιτο, καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο."

λά. 31. Ο μὲν, τοσαῦτα εἰπὼν, οὐκ ἔπειθε τὸν Ἀλκίδαν. ἄλλοι δέ τινες τῶν ἀπ' Ἰωνίας φυγάδων, καὶ οἱ Λέσβιοι ξυμπλέοντες παρῄνουν, ἐπειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται, τῶν ἐν Ἰωνίᾳ πόλεων καταλαβεῖν τινα, ἢ Κύμην τὴν Αἰολίδα. ὅπως

Τευτίαπλος] Ita omnes. Hinc emendes licet Schol. Hermogenis, qui Τευτίατλος ὁ Ἠλεῖος exhibet. Auctores, et Schol. vett. hujus mentionem nullibi faciunt. Idem.

Ὥσπερ ἔχομεν] Græv. Bas. et Vascos. recte distinctionem habent ante ὥσπερ, quam etiam in Cass. manus recens fecerat. Nam hæc conjungenda sunt, πλεῖν ἡμᾶς, ὥσπερ ἔχομεν. Est usitatissima formula apud Græcos. Xenophon Ἀναβ. IV. non longe a principio. εὐθὺς, ὥσπερ εἶχεν, ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον, ᾐτιᾶτο αὐτόν. Lucian. Fugitiv. princ. εἰ γοῦν μὴ εἰς τὴν Ἀραβίαν, ὡς εἶχον, εὐθὺς ἀπιὼν ᾠχόμην, ἀπολώλειν ἄν. Idem Eucom. Demosth. p. 697. ὡς οὖν ἤκουσεν ἀπὸ τῆς Καλαυρίας ἥκοντα τὸν Ἀρχίαν, εὐθὺς, ὡς εἶχεν, ἐκέλευσεν εἴσω καλεῖν. Sic quoque mihi accipiendus videtur locus Æliani XII. Var. Histor. 1. ubi Cyrus Aspasiæ monile donans dicit, καί μοι, ὡς ἔχεις, περιθεμένη δεῖξον τὸν τράχηλον. Doctissimi Interpretes verba ὡς ἔχεις vel prætereunt in versione Latina, vel in iis interpretandis æstuant, ut adparet ex his, quæ in Ind. v. ἔχω scribunt. Putem ea recte verti posse, *ut es*, vel, *sicut es*. Nempe Cyrus Aspasiæ meridianti, et ob id inornatæ ac negligentius vestitæ, supervenerat. Itaque jubet eam, *sicut erat*, monile collo circumdare, existimans, ei etiam incultæ id non minori ornamento futurum, quam splendidissimos cultus indutæ. Sic rursus Idem XIII. 2. de Macareo: καὶ ἀπολιπὼν τὴν τελετὴν, ὡς εἶχε, σὺν ὀργῇ καὶ θυμῷ εἰσεπήδησεν εἰς τὴν οἰκίαν, καὶ τῷ θύρσῳ, ᾧ κατεῖχε, τὴν ἑαυτοῦ γυναῖκα ἔκτεινεν. ὡς εἶχεν, *sicut erat*, nempe in habitu bacchantium, atque etiam thyrsum manu gestans. Plane formularum harum apud Græcos eadem vis est, quæ Latinarum, *ut*, *sicut*, *qualis erat*. Add. Casaub. ad Aristoph. Equit. V. 486. In versione Vallæ, quam post Var. Lect. retulit Huds. quæ sit sententia, non intelligo. Melius, meo judicio, Portus. Nam hortatur eos, ut sine ulla mora ac deliberatione, atque ulteriore adparatu, Mitylenen navigent, et Athenienses, antequam fama adventus Peloponnesiæ classis ad eos perferatur, incautos opprimant. Duck.

Καινὸν] Pro καινὸν legit Abr. κενὸν p. 295. ita Reisk. p. 26. Gottl.

ἐκ πόλεως ὁρμώμενοι τὴν Ἰωνίαν ἀποστήσωσιν. ἐλπίδα δ' εἶναι· οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι· καὶ τὴν πρόσοδον ταύτην μεγίστην οὖσαν Ἀθηναίων ἢν ὑφέλωσι, καὶ ἅμα, ἢν ἐφορμῶσιν αὐτοὺς σφίσι δαπάνη γίγνηται, πείσειν τε οἴεσθαι καὶ Πισσούθνην. ὥστε ξυμπολεμεῖν. ὁ δὲ οὐδὲ ταῦτα ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης εἶχεν, ἐπειδὴ τῆς Μιτυλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ Πελοποννήσῳ πάλιν προσμῖξαι.

λβ'. 32. Ἄρας δὲ ἐκ τοῦ Ἐμβάτου παρέπλει· καὶ προσχὼν Μυοννήσῳ τῇ Τηΐων, τοὺς αἰχμαλώτους, οὓς κατὰ πλοῦν εἰλήφει, ἀπέσφαξε τοὺς πολλούς. καὶ ἐς τὴν Ἔφεσον καθορμισαμένου αὐτοῦ, Σαμίων τῶν ἐξ Ἀναίων ἀφικόμενοι πρέσβεις, ἔλεγον, οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτὸν, εἰ ἄνδρας διέφθει-

Ἀκουσίως] Reisk. οὐδενὶ γὰρ ἀκουσίῳ, aut οὐδ. γὰρ ἀκούσιος. Gottl.

Ἀφῖχθαι] Pro ἀφίξεσθαι. Abr. 298. G.

Ὑφέλωσι] Schol. legit ἀφέλωσι, et præfert Abresch. 295. Gottl.

Ἐφορμῶσιν αὐτοὺς] C. Bas. ἐφορμῶσιν αὐτοῖς δ. σ. γ. bene. Wass. Non video, qua structura orationis, aut quo sensu, hic locum habere possit αὐτούς. Hudsonus de hoc loco jubet videri Adnotationes suas, quæ nullæ sunt. Paullo ante Valla legit οὐδενί: nam vertit, *nullis se invitis venturos.* Et hoc prætulisse Portum ostendunt illius Notæ, et versio Latina. Nec displicet. D.

Αὐτοὺς] Quidam αὐτοῖς malunt legi, ut monet Schol. et referunt ad Laced. alii ad Ath. retulerunt, quibus ἐφορμήσασι belli sumtus augerentur. Alii ἐφορμῶσι ad Peloponnesios retulerunt, sed verba δαπάνη σφ. etc. ad Athen. Abreschius tuetur αὐτοὺς et ad Laced. refert. Malit autem ἐφορμῶσι ab ἐφορμεῖν, non—ᾶν deducere, et τὸ αὐτοὺς regi vult ab ἀφέλωσι. Heilm. vult αὐτοῦ. p. 344. Reisk. locum corruptum habet. v. Dil. 299. sed legit quoque αὐτοῦ p. 26. G.

Καὶ ἢν ἐφορμ. αὐτοὺς σφίσι δαπ. γίγν.] Difficilis locus, quocunque te verteris; nec satis cohæreat, etiamsi verba, καὶ ἢν—ad γίγνηται, pro parenthesi accipias. Abreschii ratio, ut pleraque hujus Viri, contorta est et violenta. Quæ enim vis junxerit Pron. αὐτοὺς verbo ἀφέλωσι, in tali positu verborum, cum præsertim intercedat verbum ἐφορμῶσιν; Simplicissimum putem, αὐτοὺς referri ad ἐφορμῶσιν, ut sit pro Dativo, cum ἐπὶ tamen et quartum casum regat; quidni enim dicatur ἐφορμεῖν τινα, perinde ut ἐνεδρεύειν τινά; Ita commode sint in parenthesi, hoc sensu: nam, si eos obsederint navibus, nempe Athenienses Lacedæmonios: ipsis, Atheniensibus, sumtus augeatur. Sed nec parenthesi opus sit; ἢν tantum repetitum est, et consequens utriusque sit πείσειν τε οἴεσθαι, quod pendeat a παρῄνουν· ita ἐφορμῶσιν possit esse etiam Dat. participii. Bav.

Μυοννήσῳ] Vid. Livium XXXVII. 27. Wass. Apud Stephanum est Μυόνησος. Straboni semper Μυόννησος, qui IX. 618. scribit in hujusmodi compositis ν consuetudine quadam abundare, ut in Ἑκατόννησοι, Πελοπόννησος, Προκόννησος et Ἁλόννησος. Berkel. ad Steph. v. Μυόνησος dicit, demonstrari posse, hanc rationem sæpenumero falsam esse. Ex hoc non efficitur, Μυόνησος potius scribendum esse, quam Μυόννησος. Nam licet Steph. huic, item vocibus Ἁλόννησος et Προκόννησος, alterum ν detrahat, tamen non potuit Strabo ignorare, quomodo ea et sua ætate scriberentur, et ante scripta fuerint: qua in re, si quis eum erroris convincere velit, ei vel testimonia idoneorum Scriptorum, qui id negent, vel aliorum monumentorum æqualium, aut vetustiorum, Nummi puta, et Inscriptiones, producenda sunt. Ea si non adsint, auctoritas librorum manu exaratorum, qui Μυόνησος, Προκόνησος, et Ἁλόνησος habent, contra diserta verba Strabonis valere non debet: utpote qui omnes longe post illius ætatem scripti sint. Adde, quod nemo pro certo adfirmare potest, hæc ab ipsis auctoribus ita profecta esse. Myonnesus quidem etiam in Livio est l. d. et in Plinio V. 31. et Προκόννησος gemino *n* scribi, ut Πελοπόννησος, dicit Auctor Etymologici M. in Πελοπόννησος, eamque scripturam plerique tam Græci, quam Latini servant. Duck.

Ἐξ Ἀναίων] Non audio Portum in Var. Lect. Hudsoni. Stephanus et Eustathius ἡ Ἀναία dicunt, Thucydides τὰ Ἄναια. vid. ad Cap. 19. hujus libri. Duck.

ρεν οὔτε χεῖρας ἀνταιρουμένους, οὔτε πολεμίους, Ἀθηναίων δὲ ὑπ᾽ ἀνάγκης ξυμμάχους· εἰ δὲ μὴ παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φιλίαν προσάξεσθαι, πολὺ δὲ πλείους τῶν φίλων πολεμίους ἕξειν. καὶ ὁ μὲν ἐπείσθη τε, καὶ Χίων ἄνδρας, ὅσους εἶχεν ἔτι, ἀφῆκε, καὶ τῶν ἄλλων τινάς. ὁρῶντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι οὐκ ἔφευγον, ἀλλὰ προσεχώρουν μᾶλλον ὡς Ἀττικαῖς. καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον, μή ποτε, Ἀθηναίων τῆς θαλάσσης κρατούντων, ναῦς Πελοποννησίων εἰς Ἰωνίαν παραβαλεῖν.

λγ΄. 33. Ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος καὶ φυγὴν ἐποιεῖτο. ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Παράλου, ἔτι περὶ Κλάρον ὁρμῶν. αἱ δ᾽ ἀπ᾽ Ἀθηνῶν ἔτυχον πλέουσαι· καὶ δεδιὼς τὴν δίωξιν, ἔπλει διὰ τοῦ πελάγους, ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ· τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν. ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας, μέγα τὸ δέος ἐγένετο, μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὣς μὴ διενοοῦντο μένειν, πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις. αὐτάγγελοι δ᾽ αὐτὸν ἰδοῦσαι ἐν τῇ Κλάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία ἔφρασαν. ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Λάτμου τῆς νήσου ἐπεδίωξεν· ὡς δ᾽ οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει. κέρδος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρατόπεδόν τε ποιεῖσθαι, καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν.

λδ΄. 34. Παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κο-

Ἀνταιρουμένους] Hoc vitio operarum primum in Porti, et inde in Hudsoni Editionem venisse suspicor, pro ἀνταιρομένους, quod habent scripti et editi in Var. Lect. memorati. Nam Græci de hac se semper dicunt ἀνταίρειν, ἀνταίρεσθαι, et ἀνταιρόμενος. Herodotus compluribus locis, quæ in Lexico Ionico congessit Portus, Lucian. Hermotim. p. 519. et Sympos. 642. et alii apud Budæum in Commentar. Ling. Gr. p. 729. Schol. Sophocl. Ajac. v. 1085. τὸ ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις, ἢ ῥάβδοις, ἢ τοιούτοις τισί. Nec tamen quidquam mutare volui, quia in Gr. a prima manu erat ἀνταιρουμένους, et e Dan. nulla varietas adnotabatur. Duck.

Εἰς Ἰωνίαν] Æsch. p. 30. Herod. Hippocr. εἰς, et ἐς. etiam εἰς ἀεὶ Sophocles Trach. 737. 1219. Ajace 343. et Æschylus. Wass.

Σαλαμινίας καὶ Παρ.] Scholiastes Aristoph. in Avibus, ad illa, κλητῆρ᾽ ἄγουσ᾽ ἔσωθεν ἡ Σαλαμινία, notat, δύο εἰσὶ νῆες ὑπηρετίδες παρ᾽ Ἀθηναίοις, ἡ Πάραλος καὶ ἡ Σαλαμινία. ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν. ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν, τουτέστι τὰ ἐς θυσίας πεμπόμενα. Sed et τῇ Παράλῳ ad abducendos reos utebantur, eamque misere, ut Alcibiadem arcesserent ad causam Athenis dicendam, ut constat ex Thucyd. et Suida in voce Πάραλος. Vide Sigonium, l. 4. de Rep. Athen. et Meursii Attic. Lect. l. 2. c. 6. Huds.

λοφωνίων, οὗ κατῴκηντο Κολοφώνιοι, τῆς ἄνω πόλεως ἑαλωκυίας ὑπὸ Ἰταμάνους, καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίαν ἐπαχθέντων. ἑάλω δὲ μάλιστα αὕτη, ὅτε ἡ δευτέρα Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο. ἐν οὖν τῷ Νοτίῳ, οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι, αὖθις στασιάσαντες, οἱ μὲν, παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων τε καὶ βαρβάρων ἐπαγόμενοι, ἐν διατειχίσματι εἶχον, καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ Μηδίσαντες, ξυνεσελθόντες ἐπολίτευον. οἱ δὲ, ὑπεξελθόντες τούτους, καὶ ὄντες φυγάδες, τὸν Πάχητα ἐπάγονται. ὁ δὲ, προσκαλεσάμενος ἐς λόγους Ἱππίαν τὸν ἐν τῷ διατειχίσματι Ἀρκάδων ἄρχοντα, ὥστε, ἢν μηδὲν ἀρέσκον λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ ὑγιᾶ· ὁ μὲν ἐξῆλθε παρ᾽ αὐτόν· ὁ δ᾽ ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως, καὶ οὐ προσδεχομένων, αἱρεῖ, τούς τε Ἀρκάδας καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει· καὶ τὸν Ἱππίαν ὕστερον ἐσαγαγὼν, ὥσπερ

Κολοφωνίων] Id oppidum Colophonium mari imminens, abest a *vetere* Colophone duo ferme millia passuum, inquit Livius XXXVII. 26. Vel portum habuit, vel certe litus navibus opportunum. alterum innuere videtur Lucanus: "Et *placidi* Colophona *maris*." Cl. Whelerus in Itin. nummum exhibet Diadumeniani cum hac inscriptione: ΚΩΛΟΦΩΝΙΩΝ, operarum opinor incuria. Nam de modulo certiores faciunt Theognis, Nicander, Ovidius, et Virgilius in Ciri. Tabulæ Peutinger. *Colofon*: Notit. Episcop. Κολοφὲν, et Ptolemæus Κολοφῶν, scribunt pinguntque pro Κολοφὼν, quomodo Coislin. et Herodotus. Urbs autem hæc, quam cum *Notio* passim confundunt antiqui, veterrima erat. Conditor ejus Mopsus juxta Melam, Pausan. et Apollonii Schol. 1. 308. post Rachium Cretensem. Atque ita fere Conon. Unde nomen traxerit, incertum est. Est enim apud Herodot. Colophon, qui et Smyrnam fundasse dicitur: est et piscis ejusdem nominis apud Hesychium. Capta est a Gyge, et diu bellum cum Halyatte gessit ante Christum 619. Is autem stratagemate usus equitatum omnem, quo plurimum valuere Colophonii, ad internecionem usque delevit. Vide Polyæn. VII. 2. Theognidem 1099. Aristot. Polit. IV. 4. Olymp. CXIX. ante Christum 302. a Lysimacho eversa est civitas, et postea commodiore loco rursus instaurata. Consule Diodorum, et Livium loco supra laudato. Nec perfunctorie tunc munita esse videtur, quia Antiochum repulit anno ante Christum CXC. Paulo antea, Attalo, et Romanis in clientelam concesserat, a quibus tributi immunitatem obtinuit pace cum Rege conventa. De qua re adeatur Polybius. Post paulo in libertatem, Tyranno amoto, vindicabat Lucullus, anno ante Christum LXXIV. A Scythis vel Tartaris ruinam huic aliisque Asiæ urbibus canunt Auctores Sibyllinorum, ignemque et faces alibi minantur. Colophoniorum denique Episcopus in Concilio Ephesino memoratur. Oraculi Apollinis meminere Nicander, Alex. Strabo, Tacitus, Eusebius, Tertullianus, et Themistius Orat. XXVII. De reliqua ejus Historia, nonnihil addunt Pausan. 535. Numismata et Parœmiographi. Wass.

Ἐν φυλακῇ ἀδέσμῳ] Ἀδέσμῳ φρουρᾷ perperam Pollux VIII. 72. at Hesych. recte ut in contextu. De σῶν confer Suidam et Etymol. ubi fortasse pro σῶ, μονοσύλλαβον, legendum σῶν. Vide Sallust. Fr. IV. Epist. Mithridatis, quia pacto vitam dederant insomniis occidere. Plutarch. Æmil. Polyænus III. 2. συνθέμενος ἀβλαβῆ καὶ ζῶντα ἀποπέμψειν—καὶ μετὰ τοῦτο κατηκόντισεν. Ita Adelbertum Comitem Hatto lusit apud Luitprand. II. 3. Wass. De σῶς add. Eustath. ad Homer. Iliad. ν'. p. 959. et Thom. Mag. Ἄδεσμον φυλακὴν sæpe dicunt Græci, quæ Latinis est *custodia libera*. Vid. Brisson. V. Formul. p. 474. et Lips. ad Tacit. VI. Annal. 2. Duck.

ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν, ξυλλαμβάνει, καὶ κατατοξεύει. Κολοφωνίοις δὲ Νότιον παραδίδωσι, πλὴν τῶν Μηδισάντων. καὶ ὕστερον Ἀθηναῖοι, οἰκιστὰς πέμψαντες, κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴπου τις ἦν Κολοφωνίων.

λέ. 35. Ὁ δὲ Πάχης, ἀφικόμενος ἐς τὴν Μιτυλήνην, τήν τε Πύῤῥαν καὶ Ἔρεσον παρεστήσατο· καὶ Σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον, ἀποπέμπει ἐς τὰς Ἀθήνας, καὶ τοὺς ἐκ τῆς Τενέδου Μιτυληναίους ἄνδρας ἅμα, οὓς κατέθετο, καὶ εἴτις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως. ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον. τοῖς δὲ λοιποῖς ὑπομένων καθίστατο τὰ περὶ τὴν Μιτυλήνην καὶ τὴν ἄλλην Λέσβον, ᾗ αὐτῷ ἐδόκει.

λστ'. 36. Ἀφικομένων δὲ τῶν ἀνδρῶν, καὶ τοῦ Σαλαίθου, οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον, τά τ' ἄλλα, καὶ ἀπὸ Πλαταιῶν (ἔτι γὰρ ἐπολιορκοῦντο) ἀπάξειν Πελοποννησίους. περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο· καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μιτυληναίους, ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι· ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν, ὅτι οὐκ ἀρχόμενοι, ὥσπερ οἱ ἄλλοι, ἐποιή-

Κατὰ τοὺς ἑαυτῶν νόμους] Ex more, quo Metropoles Coloniis jura ac leges dabant. Spanhem. Dissertat. IX. de Usu et Præstant. Numism. pag. 580. Duck.

Ἐπικαλοῦντες] Hoc non ad proxime præcedentia *ἔδοξεν αὐτοῖς*, sed ad superiora, *οἱ Ἀθηναῖοι—ἀπέκτειναν*, et *γνώμας ἐποιοῦντο* referendum est. Sed valde implicita est hæc periodus. In priore membro paullo apertior erit sententia, si post *ἄλλοι* ponatur distinctio, quam et Interpretes, ut ex illorum versionibus intelligitur, agnoverunt, et Cass. manu recenti adscriptam habet; qua posita hæc conjungentur, *ἐπικαλοῦντες ὅτι τήν τε ἄλλην ἀπόστασιν ἐποιήσαντο*, *et ceteram defectionem crimini dantes*. Illa, *οὐκ ἀρχόμενοι, ὥσπερ οἱ ἄλλοι*, rectius mihi videntur Valla et Portus accepisse, quam Hudsonus in Var. Lect. Non dubium enim est, quin Thucyd. ad ea respiciat, quæ Mitylenæi supra Cap. X. et seqq. dicunt, sibi ab Atheniensibus libertatem relictam, sed plerisque ceteris sociis servitutem impositam esse. In his deinde, *καὶ προσξυνελάβοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς*, qua Interpretibus hæsit. Valla ea in versione Latina præteriit. Porti versio intelligi non potest. Nam classis Peloponnesiorum, quæ non modo diu post defectionem Mitylenæorum, verum etiam post Mitylenas jam captas in Ioniam venerat, non potest dici defectionem illorum adjuvisse. Si vulgata scriptura retinetur, Thucydides hoc videtur dicere, Athenienses Mitylenæis cum ceteram defectionem crimini dedisse, tum quod classis Peloponnesiorum, vel præcipue ab ipsis impulsa, in Ioniam venire ausa fuerat. Sed si quis *προσξυνεβάλετο*, quod in quibusdam Mss. est, præferat, quo fere inclino, totum hoc ad Athenienses pertinebit, et hic sensus erit, *καὶ οὐκ ἐλάχιστον τῆς ὁρμῆς προσξυνεβάλετο (τοῦτο δηλονότι) αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν τολμήσασαι παρακινδυνεῦσαι*, id est, *ὅτι αἱ Πελοποννησίων νῆες ἐτόλμησαν*, *et* (hoc) *non minimum contulit ad impetum* (tam præcipitis decreti faciendi) *Peloponnesiorum naves ausæ*, id est, quod Peloponnesiorum naves ausæ fuerant— Sed oratio neque hoc, neque illo modo bene procedit. Videbunt acutiores. ego me hinc non satis expedio. Duck.

σαντο, καὶ προσξυνελάβοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες, ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι. οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων, κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μιτυληναίους. καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς, καὶ ἀναλογισμὸς, ὠμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι, πόλιν ὅλην διαφθεῖραι μᾶλλον, ἢ οὐ τοὺς αἰτίους. ὡς δ' ᾔσθοντο τοῦτο τῶν Μιτυληναίων οἱ παρόντες πρέσβεις, καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι. καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθις τινὰς σφίσιν ἀποδοῦναι βουλεύσασθαι. καταστάσης δ' εὐθὺς ἐκκλησίας, ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο, καὶ Κλέων ὁ Κλεαινέτου, ὅσπερ καὶ τὴν προτέραν ἐνενικήκει, ὥστε ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν τῷ τε δήμῳ παραπολὺ ἐν τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις, ἔλεγε τοιάδε.

λζ'. 37. "ΠΟΛΛΑΚΙΣ μὲν ἤδη ἔγωγε καὶ ἄλλο τε ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατός ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ νῦν ὑμετέρᾳ περὶ Μιτυληναίων μεταμελείᾳ. διὰ γὰρ τὸ

Αναλογισμὸς] Pollux II. 120. Wass. Μετάνοια, μετάμελος. Θουκυδ. Lexicon Biblioth. Coislin. Montfaucon. p. 483. Duck.

Μᾶλλον ἢ οὐ τοὺς αἰτίους] Kuhnius, quem in Var. Lect. laudat Hudsonus, putat Attice abundare οὐ. Adversus eum operose disputat Perizonius ad Ælian. l. d. et pro οὐ τοὺς mavult legere αὐτούς. Deinde in Addend. aliam hujus loci interpretationem profert, qua admissa manere possit, ut putat, vulgata scriptura, ἢ οὐ τούς. Ego Stephano et Kuhnio adsentior: primum, quia Thucydides, ut adnotat Stephanus ad Corinthum, qui itidem, ut Scholiastes, negationem hic abundare dicit, etiam supra II. 62. eodem modo loquitur, οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ, κήπιον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι: deinde, quia, quod Idem Steph. Cap. XVI. Operar. in Dionysium Halicarn. observat, Dionysius, qui ubique studiose Thucyd. imitatur, plus semel hoc loquendi genere utitur. Lib. VI. Cap. 81. καὶ ὡς τὴν βουλὴν οὐκ ὀρθῶς δι' ὀργῆς ἐχόντων—μᾶλλον, ἢ οὐχὶ τοὺς αἰτίους; quæ sunt ipsa propemodum verba Thucydidis, nisi quod pro οὐ Dionysius οὐχὶ dicit. X. 28. ἀλλὰ τί ταῦτα τῷ δήμῳ ἐπικαλῶ μᾶλλον, ἢ οὐχ ὑμῖν; Et XI. 34. οὔτε—δούλης ἀλλοτρίας ἀνελάμβανε παιδίον μᾶλλον, ἢ οὐ γυναικὸς ἐλευθέρας. ubi Xylander nihilo rectius quam Portus in VI. 81. expunctam volebat particulam negantem. Αὐτοὺς, quod Perizonius primo substituebat pro οὐ τοὺς, friget. De interpretatione scripturæ receptæ autem, quam in Addend. adfert, nihil aliud, quod dicam, habeo, quam quod apud Comicum Bacchus ad Euripidem: οὐ μανθάνω, Ἀμαθέστερόν πως εἰπὲ, καὶ σαφέστερον. Duck.

Τινὰς] Reisk. pro τινὰς conj. τινά. G.

Κλέων ὁ Κλ.] He hoc Cleone (quem Cicero in Bruto, *turbulentum quidem civem, sed tamen eloquentem fuisse*, ait) lege Aristophanis Equites. Huds.

Πιθανώτατος] Aristophan. Ἱπ. 136. βυρσοπώλης Παφλαγὼν, Ἅρπαξ. κεκράκτης, ΚΥΚΛΟΒΟΡΟΥ φωνὴν ἔχων. Wass.

Ἄλλο τε] Sic quidem Bas. et e Dan. nulla varietas adnotata erat. Sed puto esse errorem typographorum. Vid. Var. Lect. Duck.

καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους, καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε. καὶ ὅ, τι ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε, ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι· οὐ σκοποῦντες, ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν, καὶ προσεπιβουλεύοντας αὐτοὺς, καὶ ἄκοντας ἀρχομένους, οἳ οὐκ, ἐξ ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοὶ, ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχύϊ μᾶλλον, ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι· μηδὲ γνωσόμεθα, ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν, ἢ καλῶς ἔχουσιν ἀκύροις· ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας. οἵ τε φαυλότεροι τῶν ἀνθρώπων, πρὸς τοὺς ξυνετωτέρους, ὡς ἐπιτοπλεῖστον ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι, τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην· καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις. οἱ δ' ἀπιστοῦντες τῇ ἐξ αὑτῶν ξυνέσει, ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον. κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον, ἢ ἀγωνισταὶ, ὀρθοῦνται τὰ πλείω. ὣς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας, μὴ, δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους, παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν.

λή. 38. " Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ, καὶ θαυμάζω

Ἐνδῶτε] Pro ἐνδόντες ἁμάρτητε. Bav. 101. G.

Προσεπιβουλεύοντας] Non improbo conjecturam Stephani in Var. Lect. Huds. quam confirmat Cass. Πρὸς sine casu pro προσέτι ubivis obvium est; προσεπιβουλεύω autem adeo rarum, ut ne quidem optima Lexica id habeant. Duck.

Ἐξ ὧν χαρίζ. ἀκρ.] Schol. expl. Nominat. βλαπτόμενοι pro accusativo, per antiptoton; male vero; unde enim pendeat accusativus? Multo minus ἀκροῶνται est pro ἀκροωμένους, sed pendet ab οἵ. Ceterum addit, tales inversiones occurrere et apud Theologum, i.e. Johannem; quarum ignari calumnientur divinum hominem et arguant σολοικίζειν. Innuit haud dubie Apoc. 1. 4.—6. Unde appareat, Christianum fuisse auctorem hujus quidem Scholii, et post scriptam agnitamque Apocalypsin vixisse. Ἐξ ὧν χαρίζ. βλαπτόμ.—ἀκρ. est, audiunt vos secundum illa, propter illa, iis impulsi, quæ vos illis indulgeatis cum vestra fraude, vestro damno. In Schol. ad vs. 14. in οὐ βέλτιόν ἐστι, aut οὐ delendum, aut per interrogationem accipiendum. Baver.

Πάντων—ἀκολασίας] Stobæus p. 244. ubi male καθίστησιν hodie legitur. Cæterum κρείσσων cum Mss. non κρείττων agnoscit. W.

Οἵ τε—πλείω.] Stobæus, qui δηλώσοντες, et οἱ δέ. Dein τὸν τοῦ καλῶς. hoc recte. etiam μέμφεσθαι, et ἐπιτοπλεῖστον recte cum Edd. Idem.

Νόμων] Euripides Orest. 487. Καὶ τῶν νόμων γε μὴ ΠΡΟ'ΤΕΡΟΝ εἶναι θέλειν. Zaleuci Procem. apud Stobæum 280. ὑπ' ἀνθρώπων ἩΤΤᾶΣΘΑΙ τοὺς κειμένους νόμους, οὐ καλὸν, οὐδὲ συμφέρον. Idem.

Δεινότητι] Reisk. δεινότητος. Gottl.

μὲν τῶν προθέντων αὖθις περὶ Μιτυληναίων λέγειν, καὶ χρόνου διατριβὴν ἐμποιησάντων· ὅ ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλλον. ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται. ἀμύνεσθαι δὲ, τῷ παθεῖν ὅτιεγγυτάτω κείμενον, ἀντίπαλον ὂν, μάλιστα τὴν τιμωρίαν ἀναλαμβάνει· θαυμάζω δὲ καὶ ὅστις ἔσται ὁ ἀντερῶν, καὶ ἀξιώσων ἀποφαίνειν, τὰς μὲν Μιτυληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισταμένας. καὶ δῆλον, ὅτι ἢ, τῷ λέγειν πιστεύσας, τὸ πάνυ δοκοῦν, ἀνταποφῆναι, ὡς οὐκ ἔγνωσται, ἀγωνίσαιτ' ἂν, ἢ κέρδει ἐπαιρόμενος, τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται. ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. αἴτιοι δ' ὑμεῖς, κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων· τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες, ὡς δυνατὰ γίγνεσθαι· τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ θεαθὲν πιστότερον ὄψει λαβόντες, ἢ τὸ ἀκουσθὲν, ἀπὸ τῶν λόγων καλῶς ἐπιτιμησάντων· καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν· δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθό-

Τῷ δράσαντι] Reisk. olim excidisse putabat ἐνδεέστερος aut ὑποδεὲς, quod respondeat sequenti ἀντίπαλον. vid. Dil. 311. postea mutavit sententiam, et excidisse putat χρόνιος aut τριβῆς ἐγγινομένης. v. Baver. p. 102. qui nil opus esse dicit mutatione. Gottl.

Ἀντίπαλον] Eleganter. Hippocrates de Vict. rat. II. p. 26. αὔξοντες τὸ ἈΝΤΊΠΑΛΟΝ τοῦ σώματος αἷμα. Wass.

Μάλιστα] Reisk. olim τάχιστα. Gottl.

Βλάβας] Reisk. malit, οὐ βλάβας. Idem.

Βλάβας] Non male Reisk. οὐ βλ. ex opposito, vel simili et congruo; sicut illorum peccata nobis, ita nostra mala illis nocere debent. Et ita legit Interpres Lat. Baver.

Τῷ λέγειν] Sensus: ut aut nimium tribuat, confidat orationis facultati, et certet, sustineat declarare, communem sententiam omnium non esse adsumtam. Heilm. 355. G.

Τοὺς κινδύνους ἀναφέρει] Sustinet. v. Dil. 311. Gottl.

Ἀναφέρει] Malim vertere, aufert, accipit: ex opp. δίδωσι. Sane Medium frequentius tali sensu; sed, quoties illa permutantur! Neque vero 1 Pet. 2. 24. ἀνήνεγκεν est, *sustinuit*, ut expl. Abresch., sed *obtulit* Deo, ut piaculum, vel *extulit*, in altum, velut in altare crucis, extulit; quia sequ. ἐπὶ τὸ ξύλον. Baver.

Θεαταὶ μὲν τῶν λόγων] At Dii Cœlites, inquit Æs. Agam. 822. δίκας οὐκ ἈΠῸ ΓΛΩ'ΣΣΗΣ κλύοντες, ἀνδροθνῆτας Ἰλίου φθορὰς Ἐς αἱματηρὸν τεῦχος οὐ διχοῤῥόπως Ψήφους ἔθεντο. Wass.

Πεπραγμένα] Reisk. πεπραγμένου. G.

Τὰ—πεπραγμένα] Nisi cum Reisk. legeris, πεπραγμένου, nempe et, τοῦ pro τὰ, quod deinde scilicet pendeat a θεαθέν· τὰ πεπραγμένα intell. κατὰ, εἰς. Baver.

Θεαθὲν] Abresch. præfert τῷ θεαθὲν, δρασθὲν. p. 310. Dil. Gottl.

Λόγων] Reisk. præfert λόγῳ, recte, opinor. et ἐπιτιμᾷν ornare verbis expl. potius: ingeniose reprehendere. Idem.

Λόγῳ legi, ex optimis Cod. jam Abresch. jubebat, p. 312. med. Baver.

Μετὰ καινότητος] Schol. verba sunt D. Lucæ Actor. XVII. 21. Wass.

Ἄριστοι] Recte Scholiast. ἐπιτήδειοι, parati. Abresch. 313. Gottl.

Δοῦλοι—ἀτόπων] T. Mag. Wass.

των· καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μὴ, ἀνταγωνιζόμενοι τοῖς τὰ τοιαῦτα λέγουσι, μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προεπαινέσαι· καὶ προαισθέσθαι τε πρόθυμοι εἶναι τὰ λεγόμενα, καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· ζητοῦντές τε ἄλλο τι, ὡς εἰπεῖν, ἢ ἐν οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς. ἁπλῶς τε, ἀκοῆς ἡδονῇ ἡσσώμενοι, καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον, ἢ περὶ πόλεως βουλευομένοις.

λθ'. 39. "Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς, ἀποφαίνω Μιτυληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς. ἐγὼ γὰρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν, ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν, καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριηρῶν παρασκευῇ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτοὺς, αὐτόνομοί τε οἰκοῦντες, καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑπὸ ἡμῶν, τοιαῦτα εἰργάσαντο· τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε, καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν, (ἀπόστασις μέν γε, τῶν βίαιόν τι πασχόντων ἐστὶν,) ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι; καίτοι δεινότερόν ἐστιν ἢ εἰ καθ' αὑτοὺς, δύναμιν κτώμενοι, ἀντεπολέμησαν· παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς, καὶ

Βουλόμενος] Sc. ἐστί. Abresch. 313. G. Non video, cur supplendum sit, ἐστί· non magis, quam supra ad λάβοντες, ὄντες, rel. Omnia pendent a verbis, αἴτιοι δὲ ὑμεῖς. Nec bene ergo Schol. expl. βούλεται. B.

Ὀξέως δέ τι λεγ.] Hæc cum superioribus jungunt Codd. Steph. cum sequentibus vero Cod. Aldinus: quam scripturam ipse quoque probo, ut sit sensus: *propensi et parati ad laudandum eum, qui aliquid acute dixerit, et ad percipienda ea, quæ dicuntur.* F. Portus. Huds. Sic quoque Cass. Gr. Vasc. et Bas. Sequor sententiam Porti. Duck.

Προεπαινέσαι] Reisk. προεπαῖσαι, prius sentire quam dicat. (Sed ἐπαινέσαι, est etiam consentire, probare. Heilm. p. 357.) ut sit ἐπαινέσαι πρὸ τοῦ λέγοντος. Gottl.

Προεπαῖσαι Reiskii poëticum est, etsi Genitivum trahat. In προεπαινέσαι intell. αὐτόν· et totum distractius pro, λέγοντα προεπαιν. Bauer.

Εἶναι] Reisk. ἐστέ. Gottl.

Pendet ab ἀνταγωνιζόμενοι, neque opus legere ἐστε, quod frigeat et langueat, Nostro utique. Et in ἀνταγων. latet βουλόμενοι, σπουδάζοντες, φιλοτιμούμενοι. Bauer.

Ζητοῦντές] i. e. alias res spectantes, quam quæ ad nos pertinent, nec de præsentibus quidem recte cogitantes. Notanda Synesis pro ἢ ἐκεῖνο, ἐν ᾧ ζῶμεν. Gottl.

Σοφιστῶν] Sic Athenis proprie dictos, qui rhetoricen docebant, adnotat Scaliger IV. Animadv. in loc. controv. Titii. 5. Vid. hic Schol. et Cresoll. l. Theatr. Rhetor. 1, D.

Ἐπανέστησαν μᾶλλον] Huc respexit Alex. Aphrodisiensis in Aristotelis Top. II. p. 85

ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν. τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα, ἀσφαλέστερα, ἢ παρὰ δόξαν· καὶ κακοπραγίαν, ὡς εἰπεῖν, ῥᾷον ἀπωθοῦνται, ἢ εὐδαιμονίαν διασώζονται. χρῆν δὲ Μιτυληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι· καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρισαν. πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. κολασθήτωσαν δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. πάντες γὰρ ἡμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ' ἐξῆν ὡς ἡμᾶς τρεπομένοις, νῦν πάλιν ἐν τῇ πόλει εἶναι. ἀλλὰ, τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον, ξυναπέστησαν. τῶν τε ξυμμάχων, σκέψασθε, εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπό τε τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν

Βουληθεὶς παροξύναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίους, τὴν ἀπόστασιν αὐτῶν εἰς τὴν ΜΕΤΑΝΑ'ΣΤΑΣΙΝ μετέλαβε. Ἐζήτησαν—διαφθεῖραι T. Mag. in βούλομαι. Wass. Suidas in ἐγκράτεια hæc descripsit ex Aphrodis. ut ibi adnotavit Kusterus: sed pro μετανάστασιν recte habet ἐπανάστασιν. Duck.

Εἴωθε δὲ τῶν πόλ.] Locum hunc imitati sunt Demosthenes in Olynth. 2. Sallustius in Histor. Fragm. Clemens Alexandr. Strom. l. 4. Philistus Historicus, Aliique. Vide Putschii notas ad Sallustii Fragm. Huds. In Clem. Alex. VI. Strom. 2. p. 620. hæc ita leguntur; Εἰώθασιν δὲ οἱ πολλοὶ τῶν ἀνθρώπων οἷς ἂν μ. κ. δ. ἐ. ἀ. εὐπραγία ἐ. εἰς ὕ. τρέπεσθαι. Sylburgius ibi pro οἱ πολλοὶ conjicit οἱ πονηροί. Nihil tentasset, si ei in mentem venisset hujus loci Thucydidis, cujus verba de industria videtur mutasse Clemens, ut ea aliquanto aptius ad argumentum suum adcommodaret. Addit ibidem: Καὶ Φίλιστος ὁμοίως τὰ αὐτὰ μιμεῖται, ὧδε λέγων· Τὰ δὲ π. κ. λ. τ. ἀ. ἐ. ἀσφαλέστερα παρὰ δόξαν καὶ κακοπραγίαν. Hæc sunt ipsa, sed non nihil corrupta verba Thucydidis, quæ si ita in scripta sua Philistus transtulit, impudentissimus, non imitator, sed fur fuerit oportet. Sed suspicor, vel verba Clementis, καὶ Φίλιστος ὁμοίως τὰ αὐτὰ μιμεῖται, ὧδε λέγων, post κακοπαγίαν ponenda esse, ante hæc εἰώθασι γὰρ μάλιστα οἱ παρὰ δόξαν ἀπροσδοκήτως εὖ πράσσοντες εἰς ὕβριν τρέπεσθαι; vel totum hoc τὰ δὲ πολλὰ—κακοπραγίαν insiticium esse. Nam sententiæ Solonis, Τίκτει γὰρ κόρος ὕβριν, ὅτ' ἂν πολὺς ὄλβος ἕπηται, imitatio Thucydidea, quam ibi Clemens ostendit, his verbis εἰώθασιν τρέπεσθαι absolvitur. Philistus autem Thucydidem imitatus est illis, εἰώθασι γὰρ μάλιστα τρέπεσθαι· cum qua sententia nihil commune habent hæc, τὰ δὲ πολλὰ—κακοπραγίαν. Quod si quis ea omnino retinenda putabit, tamen e verbis παρὰ δόξαν καὶ κακοπραγίαν nullum sensum elicere poterit, nisi e Thucydide emendatis et suppletis. Sed inspiciendus est locus apud Clementem. Wass.

Ἢ παρὰ] i. e. ἢ τὰ παρὰ δόξαν γενόμενα. G.

Καὶ κακοπραγίαν—διασώζονται.] T. Magist. in διασώζομαι, et εὖ λέγει. Duck.

Τὸ θεραπεῦον] i. e. more Thuc. τοὺς θεραπεύοντας. Gotti..

Τρεπομένοις] Quidam Mss. τραπομένοις. Sic passim Aristoph. Demosth. Plato, Xenophon, Synesius. Wass.

ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ, ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον; ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. καὶ τυχόντες μὲν, πόλιν ἐφθαρμένην παραλαβόντες, τῆς ἔπειτα προσόδου, δι᾽ ἣν ἰσχύομεν, τολοιπὸν στερήσεσθε, σφαλέντες δὲ, πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν. καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.

μ′. 40. "Οὔκουν δεῖ προσθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν, οὔτε χρήμασιν ὠνητὴν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπείως λήψονται. ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν. ξύγγνωμον δ᾽ ἐστὶ τὸ ἀκούσιον. ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον, καὶ νῦν διαμάχομαι, μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ, καὶ ἡδονῇ λόγων, καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν. ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι, καὶ μὴ πρὸς τοὺς οὔτ᾽ ἀντοικτιοῦντας, ἐξ ἀνάγκης τε καθεστῶτας ἀεὶ πολεμίους. οἵ τε τέρποντες λόγῳ ῥήτορες ἕξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις βραχέα ἡσθεῖσα, μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται. καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τολοιπὸν ἔσεσθαι, μᾶλλον δίδοται, ἢ πρὸς τοὺς ὁμοίους τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. ἓν δὲ ξυνελὼν λέγω, πειθόμενοι μὲν ἐμοὶ, τά τε δίκαια ἐς Μιτυληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε· ἄλλως δὲ γνόντες, τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως ἀξιοῦτε

Ἀνήκεστον] Post hanc vocem nota interrogationis est in Vasc. et Bas. quam et oratio postulat, et Interp. expresserunt. D.

Ἀνθρωπείως] Alii ἀνθρωπίνως. Sed illud, teste Thom. Magistro, Atticum. Exempla alibi damus. Wass. Thomas præcipit, ἀνθρωπεία φύσις dicendum esse, non ἀνθρωπίνη. Et sic Thucyd. II. 50. ad quem locum fortassis respexit tam Thomas, quam Suidas, qui sine auctore laudat. Nam alioqui ἀνθρώπινος et ἀνθρωπίνως sunt in Scriptoribus Ἀττικωτάτοις. Sed sæpe permutantur in Mss. vid. ad Lib. I. Cap. 22. Et sic Suidas ex Aristoph. Ranis adfert ἀνθρωπίνως, quod ibi v. 1090. est ἀνθρωπείως. Duck.

Ξύγγνωμον] Thom. Magist. in εὔγνωμον. Plura in eamdem sententiam ex aliis Scriptoribus habet Muretus ad Aristotel. III. Ethicor. 1. Duck.

Μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις] Existimat P. Victorius, lib. 31. Var. Lect. c. 10. ad hunc locum Thucyd. respexisse Sallust. de Bello Catilin. in principio orationis Cæsaris. H.

Ξυνελὼν] Sc. τὸ χρῆμα, l. τὸν λόγον, alias ὡς ξυνελόντι εἰπεῖν. Gottl.

Ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε] Recte interpretatur hunc locum doctissimus Gatakerus de Stilo Nov. Instrum. Cap. VIII. Paullo superius παθεῖν εὖ ex auctoritate Mss. et sententia Cl. Wasse in contextum receptum est, pro vulgato εὖ παθεῖν. Duck.

Οὐ προσῆκον] Stephanus loco, quem in Var.

τοῦτο δρᾶν, παρὰ τὸ εἰκὸς τοίνυν καὶ τούσδε ξυμφόρως δεῖ κολάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς, καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι. τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι, καὶ μὴ ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων φανῆναι· ἐνθυμηθέντες, ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρατήσαντας ὑμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας. μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται, καὶ διόλλυνται, τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ. ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τι παθὼν, χαλεπώτερος, διαφυγὼν, τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν.

Lect. indicat Hudsonus, p. 160. vertit, *quamvis non deceat*, vel, *quamvis non æquum sit*, aut, *contra quam jus sinat*: et Corinthum ac Philoponum reprehendit, qui δέον, πρέπον, et προσῆκον, pro adverbiis δεόντως, πρεπόντως, et προσηκόντως poni tradunt. Duck.

Τῇ τε αὐτῇ] i. e. eadem ratione eos puniendos putate, judicate, ac ii facturi fuissent, verisimiliter, si vos superassent. Seqq. ἐνθυμηθέντες—κρατ. ὑμῶν jungenda sunt supp. Gottl.

Διόλλυνται] Sc. αὐτόν. Gottl.

Τοῦ ὑπολειπ. ἐχθρ.] Κίνδυνον pendet ab ἐχθροῦ· κίνδ. τοῦ ἐχθροῦ, periculum (imminens, metuendum,) ab hoste relicto: metuentes, ne hostis relictus, incolumis, non plane deletus, gravior vindex resurgat. B.

Ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τὶ παθών] Si hanc lectionem, et Vallæ ac Porti interpretationem sequimur, sententia erit, *qui ab alio, nulla necessitate ad vim vel injuriam faciendum coacto, læsus est.* Fortassis ita scripserit Thucydides. Sed tamen altera scriptura ξὺν δίκῃ non male respondet præcedenti sententiæ. Nam qui aliquem μὴ σὺν προφάσει malo adficit, is eum utique μὴ σὺν δίκῃ lædit. Paullo post probo ὅτι ἐγγύτατα τῇ γνώμῃ. Ἐγγυτάτῃ, quod est in Reg. et Cass. librariis tribuendum videtur, qui neglexerunt geminare syllabam τα. Τῇ γνώμῃ cum Stephano quoque malim vertere *cogitatione*, quam *animo*. Lib. I. Cap. 143. καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας. D.

Τοῦ ἀπὸ τῆς ἴσης] i. e. quam hostis, qui ejusdem culpæ pœnæque reus est. Schol. supplet μοίρας. Gottl.

Τοῦ ἀπὸ τῆς ἴσης ἐχθρ. Hoc quid sit, constituendum est ex opposito, μὴ ξὺν ἀνάγκῃ παθών. Quod cum simplicissime sit, qui coactus injuriam patiatur, nempe, ut aut subjectus alteri et parere coactus, aut infirmior viribus: ὁ ἀπὸ τῆς ἴσης, i. e. ἴσος, esse debet ille, qui par sit alteri, i. e. ei non subjectus, neque inferior viribus. Sed enim hoc sensu, hac disjunctione vel antithesi, profecto μὴ redundet ad ξὺν ἀνάγκῃ· nam, qui non coactus patiatur, sit ille ipse et idem ὁ ἀπὸ τῆς ἴσης· neque hoc significet, quod vult B. Gottl. qui sit in pari culpa; quid enim hoc sit? Aut quis ita loquitur, de bello aperto et utrimque cœpto, utrosque esse in pari culpa? Nam hic de *pœna* sermo est; quam qui dignus et commeritus patiatur, quomodo dici possit ξὺν ἀνάγκῃ παθεῖν, coactus pati? Hoc enim et immerito acciderit; et tamen, si ἀπὸ τῆς ἴσης, contra omnem usum loquendi, sit ille, qui æque alterum læserit, atque hic ipsum, ἀνάγκη, ex opposito, vel diverso, significet meritam pœnam; quo sensu quis ἀνάγκην dixerit? Si tamen μὴ non ejiciatur: fatear, aliter explicari non posse, ac fecerit B. Gottl. aut plane sensu carere. Et vero ἀνάγκη *caussam* notet: ut apud Xen. M. S. 1. 1. τίσιν ἀνάγκαις ἕκαστα γίγνεται, quibus e caussis conficiantur. Ergo et hic, ξὺν ἀνάγκῃ παθεῖν, cum *caussa* aliquid pati, ut ita opus sit, eum affici incommodo, neque aliter possit; et μὴ ξὺν ἀνάγκῃ; sit, *sine caussa*, sine criminis occasione. Ita ὁ ἀπὸ τῆς ἴσης sit hostis, qui, utrimque cœpto bello, non subjectus alteri, et lædat, et lædatur. Sed enim omnis ista ratio friget, laborat, nugatoria denique est, neque verbis apta; absurda utique, si Mitylenæi intelligantur illi μὴ παθόντες ξὺν ἀνάγκῃ, quippe nil dum passi ab Atheniensibus: immo hi ab illis erant passi, defectione et proditione. Quare οἱ μὴ ξὺν ἀν. παθόντες h. l. esse debent Athenienses, qui et superiores essent Mitylenæis, et vere imperarent, neque, suo quidem judicio, quidquam admisissent in Mitylenæos, quod hos cogeret ita eos lædere, ipsi denique Athenienses non erant illis subjecti, ut eos oporteret sustinere aut dissimulare injurias haud evitandas. Ergo rursus οἱ ἀπὸ τῆς ἴσης hostes sunt, neuter alteri subjecti, liber uterque ac sui juris, bellum ex æquo orsus: ut Pelo-

γενόμενοι δ᾽ ὅτιεγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν, καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε, μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα, μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. κολάσατε δὲ ἀξίως τούτους τε, καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. τόδε γὰρ ἢν γνῶσιν, ἧσσον, τῶν πολεμίων ἀμελήσαντες, τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις."

μά. 41. Τοιαῦτα μὲν ὁ Κλέων εἶπε. μετὰ δ᾽ αὐτὸν Διόδοτος ὁ Εὐκράτους (ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι Μιτυληναίους) παρελθὼν καὶ τότε, ἔλεγε τοιάδε.

μβʹ. 42. "ΟΥΤΕ τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ Μιτυληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι, ἐπαινῶ. νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν. ὧν τὸ μὲν, μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ, μετὰ ἀπαιδευσίας, καὶ βραχύτητος γνώμης. τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν, ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει. ἀξύνετος μὲν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι· διαφέρει δ᾽ αὐτῷ, εἰ, βουλόμενός τι αἰσχρὸν πεῖσαι, εὖ μὲν εἰπεῖν οὐκ ἂν

ponnesii et Athenienses liberi utrique inter se libere bellum pro jure orsi. Hinc et supra ait: οἱ μὴ ξὺν προφασ. τινὰ κακῶς ποιοῦντες· hi nimirum erant Mitylenenses; qui dicere non possent; quanam in re ab Atheniensibus essent læsi, sed consulto ac præfracte et petulanter, lubidine sola ducti, ab iis defecissent cum proditione. Tales esse solent acerbiores et crudeliores, ut jam odio efferati, et perdere gestientes illos, quos, sciant, si integri manserint, graviter ulturos injuriam tam protervam; quod secus esset in Peloponnesiis et Atheniensibus, quorum utrisque πρόφασις belli esset, qui ἐξ ἴσου, utrimque liberi, utrimque, læsos se, rati, bellarent. Quare et μὴ ξὺν ἀνάγκῃ τι παθὼν esse possit, qui libere, proterve, sua sponte et culpa, sibi induxerit vindictam et pœnam a se proterve læsi et proditi. B.

Ὁτιεγγύτατα τῇ γν. τοῦ πάσχειν] i. e. cum hostes fere consilium vobis mala inferendi assecuti essent. GOTTL.

Γεν.—ἐγγ.—πάσχ.] i. e. animo proponite tanquam præsentem injuriam et acerbitatem Mitylenensium, putate, (*stellt euch vor, setzt euch in die Lage,*) vos ea ab iis (jam vere) passos, quæ vobis incogitassent, tantum non perpetrata. BAVER.

Ζημιωσόμενον] Pro ζημιωθησόμενον. Græci non suo loco med. pro pass. ponunt. v. Ernest. ad Xenoph. Memorabb. GOTTL.

Ὑμετέροις αὐτῶν] Αὐτῶν perperam abest a Gr. WASS.

Διαγνώμην] Baver. pro verbo positum credit, et hoc indicare sequens αὖθις. G.

Οὔτε τ. μεμφ.] Nec laudo eos, qui cum reprehensione quadam dicunt. IDEM.

Τοὺς μεμφ. μὴ—βουλ.] Potest explicari, ut expl. B. Gottl. sed et simpliciter μέμφεσθαι explices, *nolle, vetare*; ut μὴ redundet, more Græcorum. BAVER.

Μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι] Vide Sallustium Catil. L. WASS.

Εἰ ἄλλῳ τινὶ] sc. ἢ τῷ βουλεύεσθαι, s. ἢ λόγοις. GOTTL.

Αἰσχρὸν πεῖσαι] scil. more oratorio; fieri non posse putat, ut de re turpi bene, i. e. καλῶς, ut Schol. expl. copiose et eleganter, dicat: Heilmannus: *Er muss sich dabey betroffen finden, wenn er die Absicht hat,*

ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν, ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους. χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκατηγοροῦντες ἐπίδειξίν τινα. εἰ μὲν γὰρ ἀμαθίαν κατητιῶντο, ὁ μὴ πείσας, ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος, ἀπεχώρει. ἀδικίας δ' ἐπιφερομένης, πείσας τε, ὕποπτος γίγνεται, καὶ μὴ τυχὼν, μετὰ ἀξυνεσίας καὶ ἄδικος. ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε. φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων· καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν. ἐλάχιστα γὰρ ἂν πεισθείησαν ἁμαρτάνειν. χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην, μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα. τὴν δὲ σώφρονα πόλιν, τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμὴν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης· καὶ τὸν μὴ τυχόντα γνώμης, οὐχ ὅπως ζημιοῦν,

andere zu unanstandigen Dingen zu überreden, und sich nicht vermögend findet, von unanstandigen Dingen, anstandig und geschickt zu reden. Qs. Th. scripserit: ἡγεῖται, ὅτι οὐ δυνατὸς, s. ἱκανός ἐστι. p. 303. G.

Εὖ μὲν εἰπεῖν] i. e. honeste, decore, quasi qui vera promat et honesta suadeat; cum vi et successu ac spe persuadendi. Baver.

Εὖ δὲ διαβαλὼν] i. e. calumniando autem strenue, perite perterrefacere et confundere tum sibi repugnantes, tum audientes, sperat. G.

Ἐκπλῆξαι ἂν] Futuri vim habet. G.

Προσκατηγ. ἐπίδειξίν] i. e. si ejusmodi homines accusant præterea oratorem dixisse, ut ostentet ingenium, et lucrum inde capiat. Gottl.

Προσκατηγ. ἐπίδ.] Gottleberi explicatio aliena est a conditione caussæ. Nam qui arguat alterum ἐπὶ χρήμασι, pecunia inductum dicere, non profecto ei objecerit ἐπίδειξίν τινα, ingenii ostentationem; Ecquis enim *pecunia* corrumpatur, ut *ostentet* et jactet suam facundiam? Immo hoc gloriæ cupiditate stimulati faciant. Quare sic interpreter: qui *ostentandi* ingenii caussa accusent alterum pecuniæ captæ. Thucydidea plane ratio προσκατηγορεῖν ἐπίδειξιν, jactatione ingenii uti in criminando, adhibere ostentationem facundiæ ad suspicionem movendam, suspectum reddere alterum, tantum ut ostendas ingenium tuum: criminando quærere et captare ἐπίδειξιν. Dictum eodem modo, ut apud Virgil. Æn. 6. 716. *oblivia potant,* i. e. potus iis præbet oblivionem; vel apud Homer. Il. 4. 155. θάνατόν νυ τοι ὅρκι' ἔταμνον, i. e. fœdus ictum mortis caussa tibi exstitit: ita 1. Cor. 11. *pœnam edere et bibere,* i. e. bibendo edendoque contrahere. Ita et hic, criminari ostentationem ingenii, i. e. criminando assequi, efficere, quærere. Baver.

Ὕποπτος] sc. suspectus est de malis consiliis, de fraude. G.

Ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα] Hæc negotium facessiverunt Interpretibus. Mihi Scholiastes τὸ φαίνεσθαι non male videtur ad utrumque participium ἐκφοβοῦντα et λέγοντα revocare; quæ more Atticorum, ut plurimis locis apud Thucydidem, cum verbo φαίνομαι, pro infinitivis posita accipio. Sic I. 2. φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη. II. 11. πολλοὺς ὄντας ἐνὶ κόσμῳ χρωμένους φαίνεσθαι. Add. I. 13. et 14. III. 88. et Budæum Commentar. Ling. Gr. p. 311. in quibus fere ita videntur uti τῷ φαίνομαι cum participio, ut verbo τυγχάνω· Ἀπὸ τοῦ ἴσου potest esse *æquo jure, æqua conditione:* nam qui alium contra se dicentem corruptelæ insimulat et suspectum facit, non patitur eum æquo jure secum esse, sed conditionem illius deteriorem facit. Sed non omnino necessarium est, φαίνεσθαι cum ἐκφοβοῦντα jungi. Duck.

Οὐχ ὅπως ζημιοῦν] Οὐχ ὅπως sæpissime dicitur pro *non modo non,* sequente negatione in posteriore membro orationis Lucian. ὑπὲρ τοῦ ἐν τῇ προσαγ. πταίσμ. p. 497. καὶ οὐχ ὅπως θεοῖς, ἀλλ' οὐδ' ἀνθρώποις δεξιοῖς πρέπον. Sed non minus sine ea. Thucydides I. 35. τῶνδε οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων—γενήσεσθε, ἀλλὰ καὶ—δύναμιν προσλαβεῖν περιόψεσθε. Lucian. Abdicat. p. 721. ἀλλ'

ἀλλὰ μηδ' ἀτιμάζειν. οὕτω γὰρ ὅ, τε κατορθῶν, ἥκιστα ἂν ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι, παρὰ γνώμην τὶ καὶ πρὸς χάριν λέγοι· ὅ, τε μὴ ἐπιτυχὼν, ὀρέγοιτο τῷ αὐτῷ χαριζόμενός τι, καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος.

μγ'. 43. "Ὧν ἡμεῖς τἀναντία δρῶμεν, καὶ προσέτι, ἤν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα, τὰ βέλτιστα δ' ὅμως λέγειν, φθονήσαντες τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν, τὴν φανερὰν ὠφέλειαν τῆς πόλεως ἀφαιρούμεθα. καθέστηκε δὲ τἀγαθὰ, ἀπὸ τοῦ εὐθέος λεγόμενα, μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν. ὥστε δεῖν ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι, ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος, καὶ τὸν τὰ ἀμείνω λέγοντα, ψευσάμενον, πιστὸν γενέσθαι. μόνην τε πόλιν, διὰ τὰς περινοίας, εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς, μὴ ἐξαπατήσαντα, ἀδύνατον. ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν, ἀνθυποπτεύεται ἀφανῶς πῃ πλέον ἕξειν. χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι, ἡμᾶς περαιτέρω προνοοῦντας λέγειν ὑμῶν

οὗτος—οὐκ ὅπως—μείζονα τὰ δίκαιά μοι τῆς εὐνοίας εἰσφέρει—ἀλλὰ—προσέτι καὶ μισεῖ φιλοῦντα. Itaque in his particula negans non potest suppleri ex sequente membro, quod de hoc loco Thucydidis dicit Portus in Var. Lect. Eadem in lingua Latina est ratio particularum *non modo*. Duck.

Ὀρέγοιτο] Supple ἥκιστα. Reisk. qui tamen malit: οὐκ ἂν ὀρ. Gottl.

Ὀρέγ. τῷ αὐτῷ χαριζ. τι] Primo ὀρέγοιτο pendet ab οὕτω ἥκιστα· ita fiat, ut quam minime cupiat, vel, ut ita impediatur cupere, vel. deinde τῷ αὐτῷ retuleris ad ὀρέγοιτο· per idem, eodem modo, impediatur cupere. Alioqui junxeris, τῷ αὐτῷ χαριζόμενος, i. e. ἅμα χαριζόμενος, vel ἅμα τῷ χαρίζεσθαι, eo ipso, quod gratificetur et indulgeat populo, eum allicere, in sententiam suam perducere. Baver.

Βεβαίου δοκήσεως] Etiam si demus Cl. Hudsono βεβαίας, quod in quibusdam Codd. est, non esse ex errore librariorum, qui Codd. illos scripserunt, tamen ex eo non consequitur, id a Thucydide profectum esse: nam ante eos vitio librariorum in Codd. e quibus illi suos descripserunt, ita scribi potuit. Nec, si Thucydides ἐρήμη et χρησίμη utitur, ideo adfirmari potest, eum etiam hic βεβαία dixisse. Quin probabilius dici potest, quia multis aliis locis βέβαιος fœm. gen. dixit, hic quoque præferendam esse scripturam, quæ plurium, eorumque melioris notæ Mssforum, auctoritatem habet. Ita certe I. 32. et hoc Lib. cap. 56. est χάριν βέβαιον, IV. 67. βεβαίους πύλας, III. 9. φιλίαν βέβαιον, et V. 73. μάχας βεβαίους. Et Budæus Commentar. p. 1066. ex hoc loco adnotat βέβαιος δόκησις. Neque tamen probo sententiam Thom. Magistri, βέβαιος fœm. gen. melius esse, quam βεβαία; quum Demosthenes scriptor quam maxime Ἀττικὸς I. Olynthiac. p. 4. βεβαίαν ἔχθραν, et ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν p. 120. εἰρήνην βεβαίαν, dicere non dubitaverit. Et Dionys. Halicarn. VI. 51. βεβαία ἐλπὶς, pro quo tamen Cod. Vat. βέβαιος. Duck.

Μόν. τε πόλιν] h. e. soli huic civitati, quæ omnia habet suspecta, nemo sine dolo et fraude prodesse potest. Gottl.

Ἀνθυποπτεύεται] i. e. ἀντὶ τοῦ δοθέντος ἀγαθοῦ ὑποπτεύεται, pro ἀντιδώρῳ quasi suspicionem reportat. Abr. 319. Gottl.

Ἀνθυποπτ.] Simpliciter est, vicissim, *dafür, hinwiederum*. Baver.

Καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι] Scholiastes et Stephanus melius videntur percepisse sententiam horum verborum, quam Valla et Portus. Est enim ita dictum, ut I. 142. καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται. Et III. 10. ἐν τῷ διαλλάσσοντι τῆς γνώμης. Duck.

Ἐν τῷ τοιῷδε ἀξ.] i. e. ἀξιώματι, decretis animi, i. e. indole animi, qua omnia vobis sunt suspecta. Ita Heilm. *Doch diesse eure sonderbare Grundsätze.* Ita Steph. et Schol. quod probat Duck. Gottl.

Ἐν τῷ τοιῷδε ἀξ.] Non placet explicatio Schol. et Intt. Immo simplicius interpreter,

τῶν δι᾽ ὀλίγου σκοπούντων, ἄλλως τε καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. εἰ γὰρ ὅ, τε πείσας καὶ ὁ ἐπισπώμενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ, πρὸς ὀργὴν ἥν τινα τύχητε ἔστιν ὅτε σφαλέντες, τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε, καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον.

μδ΄. 44. "Εγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μιτυληναίων, οὔτε κατηγορήσων. οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας. ἤν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτοὺς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. νομίζω δὲ περὶ τοῦ μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι, ἢ τοῦ παρόντος. καὶ τοῦτο ὃ μάλιστα Κλέων ἰσχυρίζεται ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι, θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς, περὶ τοῦ ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος, τἀναντία γιγνώσκω· καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. δικαιότερος γὰρ ὢν αὐτοῦ ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μιτυληναίους, τάχα ἂν ἐπισπάσαιτο. ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτοὺς, ὥς τε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν.

με΄. 45. "Εν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημία πρόκειται, καὶ οὐκ ἴσων τῷδε, ἀλλ᾽ ἐλασσόνων ἁμαρτημάτων·

in tali dignitate, amplitudine, vel nostra, dicentium (quid enim vetet, jungi, ἀξ. ἡμᾶς, cum talis nos dignitas ornet?) vel reipublicæ ipsius, quam nec deceat, nec juvet, in tantis rebus labi. BAVER.

Ἥν τινα τύχητε] Baver. probat Abresch. conj. p. 319. ἥν τινα. Reisk. quoque ἥν. nisi sit more Thucyd. pro εἰ positus art. postpositivus : ἥν τινα πρὸς ὀργὴν, i. e. εἰ πρὸς ὀργήν τινα. GOTTL.

Ἤν τε] Thom. Mag. in εἰ, ἢν ἀεὶ μετὰ ὑποτακτικοῦ παρὰ τοῖς ἀκριβεστάτοις. εἰ γὰρ εὕρηται ἅπαξ παρὰ Θουκυδ. ἤν τε— εἶεν : Et deinde, post prolata duo loca Luciani, in quibus ἢν itidem cum optativo ponitur, ἀλλ᾽ οὐ δεῖ ζηλοῦν τὸ ἅπαξ ῥηθέν. Videtur notare Lucianum, qui illud ἅπαξ ῥηθὲν, ut dicit, Thucydidis imitatus fuerit. Sed credo Lucianum peritiorem sermonis Græci fuisse, quam Thomam. DUCK.

Εἶεν] Supple ; tamen non iis parcerem, nisi expediret civitati. GOTTL.

Περὶ τοῦ μέλλοντος] A vero causæ statu argumentatur, ut I. 36. et infra VI. 78. W.

Ζημίαν προθεῖσι] Sic infra Cap. 82. τιμωρίας προτιθέντες. at supra Cap. 39. εἰ τὰς αὐτὰς ζημίας προσθήσεσθε. quomodo hic quoque quidam Mss. et Schol. Apud alios etiam προστίθημι et προτίθημι interdum permutantur. Sed προσθεῖναι ζημίαν potius videtur esse *augere* et *graviorem facere* pœnam, ut Cap. seq. quam *statuere* et *proponere*. DUCK.

Προθεῖσι] pro προθεῖναι. Baver. Diss. p. 23. l. 6. forte legi possit : προθείς. G.

Δικαίων] i. e. non opus disceptatione, jure an injuria defecerint : nobis esse satisfaciendum liquet. GOTTL.

Χρησίμως] vel eos occidimus omnes, aut iis parcimus. GOTTL.

ὅμως δὲ, τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι, καὶ οὐδείς πω καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι, ἦλθεν ἐς τὸ δεινόν. πόλις τε ἀφισταμένη τίς πω, ἥσσω τῇ δοκήσει ἔχουσα τὴν παρασκευὴν, ἢ οἰκείαν, ἢ ἄλλων ξυμμαχίαν, τούτῳ ἐπεχείρησε. πεφύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν· καὶ οὐκ ἔστι νόμος, ὅστις ἀπείρξει τούτου. ἐπεὶ διεξεληλύθασί γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι, προστιθέντες, εἴπως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. καὶ εἰκὸς, τοπάλαι τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι αὐτάς· παραβαινομένων δὲ τῷ χρόνῳ, ἐς τὸν θάνατον αἱ πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως παραβαίνεται. ἢ τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν, ἢ τόδε γε οὐδὲν ἐπίσχει. ἀλλ᾽ ἡ μὲν πενία, ἀνάγκῃ τὴν τόλμαν παρέχουσα, ἡ δ᾽ ἐξουσία, ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι. αἱ δ᾽ ἄλλαι ξυντυχίαι, ὀργῇ τῶν ἀνθρώπων, ὡς ἑκάστη τὶς κατέχεται ὑπ᾽ ἀνηκέστου τινὸς κρείττονος, ἐξάγουσιν ἐς τοὺς κινδύνους. ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντί. ὁ μὲν, ἡγούμενος, ἡ δ᾽, ἐφεπομένη· καὶ ὁ μὲν, τὴν ἐπιβολὴν ἐκφροντίζων, ἡ δὲ, τὴν εὐπορίαν τῆς

Πεφύκασι] Simonides, Πάμπαν δ᾽ ἄμωμος οὔτις, οὔτ᾽ ἀκήριος. Sopater apud Stobæum p. 313. Καὶ βούλου μὲν ἁμαρτημάτων τὴν ψυχὴν, ὡς δυνατὸν, καθαρεύειν· ἐννόει δὲ, ὡς ΣΥ'ΜΦΥΤΟΝ τὸ ἁμαρτάνειν ἀνθρώπους. ὥσθ᾽ ἕως ἂν τις ὡς ἀναμαρτήτους κολάζῃ, τὸ μέτρον ὑπερβαίνει τῆς κατὰ φύσιν ἐπανορθώσεως. W.

Πεφύκασι] In Sopatri loco, quem Wassius affert in not. σύμφυτον ἁμαρτάνειν ἀνθρώπους, legendum, ἀνθρώποις, nempe σύμφυτον. Et ita habet Edit. Stob. Plant. p. 313. Baver.

Προστιθέντες] Ζημίας μείζους, alias majores pœnas, ut (εἴπως) minus a scelestis hominibus læderentur. v. Gloss. sub εἴπως. G.

Παραβαινομένων] sc. νόμων, q. v. in mente habuit in μαλακ. αὐτὰς· est notio legis, quæ pœnam irrogat. Si ad genus spectes, ζημιῶν repetas. Ita fere Xenoph. Cyrop. 1. p. 3. ἣν δέ τις τούτων τι παραβαίνῃ· antea dixerat: ne quis clepat;——magistratibus parere, rel. ergo in τούτων intell. τ. νόμων. G.

'Ανήκουσι] Huc fortassis respexit Suidas in ἀνήκει, e Thucydide laudans ἀνήκουσιν, ἀντὶ τοῦ τελευτῶσι, λήγουσι. Duck.

Καὶ τοῦτο] i. e. ἀνῆκον ἐς τὸν θάνατον. n. lex, quæ capitis pœnam irrogat. Abresch. δέος ex sq. etiam in hoc est notio legis. παραβαίνεται, hunc metum transgrediuntur, i. e. vilipendunt. contemnunt. Gottl.

Τόλμαν] vid. vers. Reisk. p. 157. qui h. l. bene παρεφράζετο. Gottl.

Αἳ δ᾽ ἄλλαι ξυντυχίαι] Ante hæc verba ponenda est distinctio minor, ut in Vasc. Nam præcedentia ἡ πενία, et ἡ ἐξουσία pendent a verbo ἐξάγουσιν. Paullo post dubito, an potius legendum sit in tertio casu ὡς ἑκάστῃ scil. ὀργῇ, τὶς κατέχεται: quemadmodum πένθει κατείχετο dicit Herodian. I. 4. Et ita Vallam accepisse indicio est illius versio, *impetu homines ut suo quisque occupantur.* Stephanus quidem in Append. ad Script. de Dial. p. 80. ubi hoc inter alia exempla pleonasmi τοῦ τὶς adnotat, et hic ἑκάστη pro nominativo habet, versionem Vallæ ita emendans, *pro diverso* affectu *hominum,* qui *ab intolerenda quadam vi* occupatur, vel, constrictus tenetur. Sed non tam affectus occupari et constrictus teneri dicitur, quam homo affectu. Neo Msstorum consensus in vulgatam lectionem hic maximi ponderis est. Nam credo in omnibus plerisque locis desiderari ι illud subscriptum, notam dativi. ut sæpissime in Cass. et Gr. De voc. ὀργὴ vid. I. 130 et 140. Duck.

'Εκάστη] Leg. ἑκάστῃ sc. ὀργῇ. ita recte Duck. probat v. Abr. 322. Dil. Gottl.

'Ως ἑκ. τ. κατέχ.] v. Ind. in κατέχω. B.

'Εκφροντίζων] Scholiastæ interpretatio non potest locum habere. Rectius Thom. Mag.

τύχης ὑποτιθεῖσα, πλεῖστα βλάπτουσι· καὶ ὄντα ἀφανῆ, κρείσσω ἐστὶ τῶν ὁρωμένων δεινῶν. καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν. ἀδοκήτως γὰρ, ἔστιν ὅτε, παρισταμένη, καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει, καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων, ἐλευθερίας, ἢ ἄλλων ἀρχῆς· καὶ μετὰ πάντων ἕκαστος ἀλογίστως ἐπιπλέον τὶ αὑτὸν ἐδόξασεν. ἁπλῶς τε, ἀδύνατον, καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται, τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τὶ πρᾶξαι, ἀποτροπήν τινα ἔχειν, ἢ νόμων ἰσχύϊ, ἢ ἄλλῳ τῳ δεινῷ.

μστ΄. 46. "Οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ πιστεύσαντας, χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν, ὡς οὐκ ἔσται μεταγνῶναι, καὶ ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι. σκέψασθε γὰρ, ὅτι νῦν μὲν, ἤν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν, δυνατὴ οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι, καὶ τολοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ, τίνα

h. v. accipit pro ἐννοῶν. Hesych. ἐκφροντίζων, βουλευόμενος. Aristoph. Nub. 695. ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων. Schol. σκέψαι καὶ διανοήθητι. Et mox v. 697. χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι. Sed in Thoma vitiose editur, ὡς μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζων. Duck.

Ἢ ἄλλῳ τῷ δεινῷ] Puto recte esse in Reg. τῳ, pro τινὶ, ut alibi millies. Duck.

Ἢ ἄλλῳ τῷ δεινῷ] Leg. τῳ, ut vidit Duck. et Baver. recepit. Gottl.

Ἐχεγγύῳ] Huc respicit Suidas in ἐχέγγυος, et exponit ὁ διὰ πίστεως ἄξιος. Hesych. βεβαίῳ, ἐξ αὐτοῦ ἔχοντι τὴν ἐγγύην. Nostrum sequitur Clemens Strom. VII. p. 891. Τῇ τοῦ Κυρίου φωνῇ πιστούμεθα τὸ ζητούμενον, ἢ πασῶν ἀποδείξεων ἘΧΕΓΓΥΩΤΈΡΑ. Josephus Antiq. XIX. 1. 17. Τὸ δὲ πιστὸν τοῦ περιεῖναι μηδέπω τότε ἘΧΈΓΓΥΟΝ συνελθεῖν. Illi præiverat Macchab. Scriptor X. 28. Οἱ μὲν ἜΓΓΥΟΝ ἔχοντες εὐημερίας καὶ νίκης μετ' ἀρετῆς τὴν ἐπὶ τὸν Κύριον καταφυγήν. Codex ibi Alex. elegantius οἱ μὲν οὖν. Noster alibi, διὰ τὸ τὴν γνώμην ἈΝΕΧΈΓΓΥΟΝ γεγενῆσθαι. *Quod sua illos opinio ut fidejussor inidoneus esset frustrata.* In Anthol. πέτρος ἜΓΓΥΟΣ πυρός. Hæc omnia a parente Historiæ Herodoto, apud quem haud semel invenies: Οὐ ΦΕΡΈΓΓΥΌΣ εἰμι δύναμιν τοσαύτην παρασχεῖν. Hos Maro æmulatus est: "Non, si Jupiter ipse *Spondeat* Italiam." Æschylus Sept. Αἴθων τέτακται λῆμα Πολυφόντου βία, ΦΕΡΈΓΓΥΟΝ φρούρημα. Anacreon, Ὤρη γάρ σ' ἐπέδησεν ἈΝΈΓΓΥΟΣ. Wass.

Ἐν βραχυτ.] sc. καιρῷ. Int. minus recte: levissima pœna. ἁμαρτ. καταλῦσαι, finire. v. Abr. 323. Gottl.

Τὴν ἁμαρτίαν καταλῦσαι] Dionys. Halic. VI. 47. ἀναλύσασθαι τὰς ἁμαρτίας. Hoc a Thucydide sumtum ibi adnotat Casaubonus, et suspicatur hic quoque fortassis legendum esse ἀναλῦσαι. Duck.

Νῦν μὲν] i. e. ut mea fert sententia. G.

Νῦν μὲν] Nescio, cúr vertat B. Gottl. aut quî possit verti: ut mea fert sententia. Immo simpliciter est, *nunc quidem*, ut res nunc sunt, ut ratio nostra est cum sociis: vel, nunc quidem, nempe, si hæc ratio placuerit, quam ego probem, ut parcatur deficientibus; νῦν μὲν γὰρ, si me secuti fueritis, si *jam* feceritis quod ego nunc suadeo; cui manifesto opponatur ἐκείνως δὲ, ex illa altera parte, si feceritis, quod Cleon suadet; *in ienem Falle aber.* Notandum etiam h. l. 1. (ἤν τις καὶ ἀποστᾶσα, si qua *forte* defecerit; καὶ est pro ἄρα, *wenn ia etwa*, rel. 2) μὴ περιεσομένη, non sign. se non evasuram, nempe a pœna, vindicta, sed, sibi non successurum, ut vincat eos, a quibus desciverit. Nam, illud si notet, μὴ alienum fuerit. Baver.

Γνῷ μὴ περιεσ.] Ubi cognoverit se imparem, atque fore sibi succumbendum. Abr. 324. Gottl.

οἴεσθε, ἥν τινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσεσθαι, πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται, σχολῇ καὶ ταχὺ ξυμβῆναι; ἡμῖν τε πῶς οὐ βλάβη, δαπανᾶν καθημένοις διὰ τὸ ἀξύμβατον, καὶ ἢν ἕλωμεν πόλιν, ἐφθαρμένην παραλαβεῖν, καὶ τῆς προσόδου τολοιπὸν ἀπ᾽ αὐτῆς στέρεσθαι; ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι, ἢ ὁρᾷν, ὅπως ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες, ταῖς πόλεσιν ἕξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι· καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ᾽ ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. οὗ νῦν τοὐναντίον δρῶντες, ἥν τινα ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον, εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα, χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ, ἀφισταμένους σφόδρα κολάζειν, ἀλλὰ, πρὶν ἀποστῆναι, σφόδρα φυλάσσειν, καὶ προκαταλαμβάνειν, ὅπως μηδ᾽ εἰς ἐπίνοιαν τούτου ἴωσι, κρατήσαντάς τε, ὅτι ἐπ᾽ ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν.

μζ΄. 47. "Υμεῖς δὲ σκέψασθε, ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε, Κλέωνι πειθόμενοι. νῦν μὲν γὰρ ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ, καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις, ἢ, ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀποστήσασι πολέμιος εὐθύς· καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες, ἐς πόλεμον ἐπέρχεσθε. εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν Μιτυληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν παρέδωκε τὴν πόλιν· πρῶτον μὲν ἀδικήσετε, τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μάλιστα. ἀφιστάντες γὰρ τὰς πόλεις, τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι,

Τίνα—ἥν τινα οὐκ—παρασκευάσεσθαι—παρατενεῖσθαι] Eodem modo dictum, ut 2. 102. ὅτε—ἀλᾶσθαι αὐτὸν, pro verbo finito: Ita et hic pro, ἥτις οὐ παρασκευάσεται—παρατενεῖται. BAVER.

Τοὐναντίον] Quidam Mss. τἀναντία. non male. WASS.

Ἀφισταμένους] Male supplet Schol. τοῦ ἄρχεσθαι, nullo hic sensu. Quod additur: τὸ ἑξῆς, ἀφισταμ. κολάζειν, probum est, sed ab alio. BAVER.

Ἐς πόλεμον ἐπέρχεσθε] Fortassis præsens pro futuro posuit, quod in aliis ejusdem significationis frequens est. Vid. ad II. 44. Ita sententia erit, eos, si quid tale eveniat, civitatibus, quæ defecerint, bellum inlaturos plebem sibi amicam habentes. Et sic accipiendum suadent sequentia, ἀδικήσετε, καταστήσετε, et ἕξουσι. Ἐπέρχεσθαι, pro ἔρχεσθαι, ut apud Sochocl. Ajac. 437. τὸν αὐτὸν εἰς τόπον Τροίας ἐπελθών. DUCK.

προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. δεῖ δὲ, καὶ εἰ ἠδίκησαν, μὴ προσποιεῖσθαι, ὅπως, ὃ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι, μὴ πολέμιον γένηται. καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως, οὓς μὴ δεῖ, διαφθεῖραι. καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν ἅμα γίγνεσθαι.

μή. 48. "Ὑμεῖς δὲ, γνόντες ἀμείνω τάδε εἶναι, καὶ μηδὲ οἴκτῳ πλέον νείμαντες, μήτ᾽ ἐπιεικείᾳ, (οἷς οὐδὲ ἐγὼ ἐῶ προσάγεσθαι,) ἀπ᾽ αὐτῶν δὲ τῶν παραινουμένων, πείθεσθέ μοι, Μιτυληναίων, οὓς μὲν Πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας, κρῖναι καθ᾽ ἡσυχίαν, τοὺς δ᾽ ἄλλους ἐᾷν οἰκεῖν. τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ, καὶ τοῖς πολεμίοις ἤδη φοβερά. ὅστις γὰρ εὖ βουλεύεται, πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν, ἢ μετ᾽ ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών."

μθ΄. 49. Τοιαῦτα μὲν ὁ Διόδοτος εἶπε. ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας, οἱ Ἀθηναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης, καὶ ἐγένοντο ἐν τῇ χειροτονίᾳ ἀγχώμαλοι· ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδὴν, ὅπως μὴ, φθασάσης τῆς δευτέρας, εὕρωσι διεφθαρμένην τὴν πόλιν. προ-

Μὴ προσποιεῖσθαι] *Dissimulare.* De hoc genere loquendi multa habent Budæus in Commentar. Ling. Græc. p. 296. et Steph. Append. ad Script. de Dialect. p. 126. D.

Καὶ τοῦτο—τῆς ἀρχῆς] Thom. Mag. in κατάσχεσις. Duck.

Ὅστις γὰρ—ἐπιών.] Stobæus p. 366. pro ἐναντίους, ἀντιπάλους contra Mss. Codd. repræsentat, quomodo legendum puto: ita enim Noster passim. Demosth. περὶ Μεγαλοπ. ὡς ἀνταλλάξασθαι βουλοίμεθα ἈΝΤΙΠΆΛΟΥΣ. ita Xenophon, alii ὅσα κόνις. Wass. Ἐναντίους pro hostibus dicit Thucyd. II. 42. τὴν δὲ τῶν ἐναντίων τιμωρίαν. Et I. 29. Κερκυραίοις ἐναντία πολεμήσοντες. In marg. Edit. Stobæi Lugd. male scriptum est in concione Cleonis, pro Diodoti. Duck.

Ὅμως τῆς δόξης] Τὸ ὅμως iniquo loco. Malit Heilm. poni post ἐκράτησε δὲ— G.

Ὅμως] Alienum est *tamen* ab h. l. Nam, quod certasse dicuntur sententiis, non contrarium est ei, quod præcesserit, sed plane consentaneum. Forte leg. ὁμοίως, aut etiam ὁμῶς: Ut auctores sententiarum pari pondere erant: *ita*, similiter, itidem civium sententiæ variabant. Bauer.

Ἐγένοντο] Confer Schol. Luciani T. I. p. 4. Turbas, et studia contendentium Noster non satis pro rei magnitudine explicat. Adeas ergo Euripidem Oreste 870. Æschylum Eumen. 485. Wass.

Μὴ φθασάσης τῆς δευτέρας] Æmil. Portus, cujus sententiam de hoc loco in Var. Lect. refert Hudsonus, in scholiis Græcis, quæ in Edit. Thucyd. Wechel. vetustis inserta sunt, scribit, hoc vel ita accipiendum esse, ὅπως μὴ εὕρωσι διεφθαρμένην τὴν πόλιν, τῆς δευτέρας μὴ φθασάσης τὴν προτέραν; vel dicendum, μὴ φθασάσης τῆς προτέρας τὴν δευτέραν δηλονότι. Prius, quod Vallæ quoque placuisse videtur, et nonnihil adjuvatur iis, quæ mox scribit Thucydides, τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης, nullius Ms. auctoritate nititur: nec prius facile sine similium loquutionum exemplis probari potest. Stephanus in marg. Edit. suæ secundæ quidem scribit, se

εἶχε δὲ ἡμέρᾳ τε καὶ νυκτὶ μάλιστα. παρασκευασάντων δὲ τῶν Μιτυληναίων πρέσβεων τῇ νηῒ οἶνον καὶ ἄλφιτα, καὶ μεγάλα ὑποσχομένων, εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη, ὥστε ἤσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυρμένα· καὶ οἱ μὲν ὕπνον ᾑροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος, καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον, ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα, καὶ μέλλειν δράσειν τὰ δεδογμένα· ἡ δ᾽ ὑστέρα αὐτῆς ἐπικατάγεται, καὶ διεκώλυσε μὴ διαφθεῖραι. παρὰ τοσοῦτον μὲν ἡ Μιτυλήνη ἦλθε κινδύνου.

ν΄. 50. Τοὺς δ᾽ ἄλλους ἄνδρας, οὓς ὁ Πάχης ἀπέπεμψεν ὡς αἰτιωτάτους ὄντας τῆς ἀποστάσεως, Κλέωνος γνώμῃ διέφθειραν οἱ Ἀθηναῖοι· ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων. καὶ Μιτυληναίων τείχη καθεῖλον, καὶ ναῦς παρέλαβον. ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν Λεσβίοις, κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν τῆς Μηθυμναίων, τρισχιλίους, τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον, ἐπὶ δὲ τοὺς ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν· οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν, αὐτοὶ εἰργάζοντο τὴν γῆν. παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ

in Adnotationib. ostensurum, videri ferri posse δευτέρας. Verum nullæ exstant illius Adnotationes nisi in Lib. I. et II. Duck.

Οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυρμένα] Μάζαν, cibum remigum, apud Aristoph. Ran. 1105. Spanhemius ibi ex hoc loco interpretatur panem vino et oleo maceratum. Sed non credibile est, μάζαν remigum semper vino subactam fuisse, quos victu admodum tenui usos certum est. Haud dubie verum est, quod scribit Scheffer. IV. de Milit. Nav. 1. hoc extraordinarium fuisse, quo alacriores essent remiges. Πεφυρμένος plus semel est apud Homerum, et apud Dionys. Halic. qui Thucydideis libenter utitur, VI. 31. et XI. 40. πεφυραμένος in illo, apud Sueton. Tiber. LVII. πηλὸν αἵματι πεφυραμένον: ubi, quanquam et Mss. variant, et Suidas in Ἀλέξανδρος Αἰγαῖος habet πεφυρμένον, Casaubonus tamen omnino melius esse dicit πεφυραμένον. Ὕπνον αἱρεῖσθαι est etiam II. 75. ubi vid. D.

Ἔφθασε] Vid. Diodor. Sicul. pag. 315. a. Wass.

Κλήρους] Μερίδας recte interpretatur Scholiastes. Est enim κλῆρος portio, sive modus agri colonis, in agros hostibus ademtos missis, vel nova urbe condita civibus viritim sorte adsignatus. Vid. Spanhem. ad Aristoph. Nub. v. 203. et ad Callimach. Hymn. in Del. v. 281. et Perizon. ad Ælian. XII. Var. Hist. 61. Posterioris generis κλήρους *heredia* vocabant Romani, quod heredem sequerentur, ut ait Varro I. de Re Rust. 10. D.

Τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον] De hoc more Veterum, in dividendis agris ab hoste captis, agit Spanhem. Dissert. IX. de Præstant. et Usu Numism. p. 669. et ad Juliani Orat. I. pag. 218. Κληρούχους Schol. Aristoph. l. d. Hesych. Suidas et Schol. Sophocl. Ajac. 508. exponunt γεωργούς. Alibi sunt duces coloniarum. Utramque significationem adlatis multorum Scriptorum locis ostenderunt Vales. ad Harpocr. voc. Κληροῦχοι, et Spanhem. ad Aristoph. l. d. et ad Juliani Orat. I. pag. 187. Duck.

Πολίσματα] Trojam ex hac voce captam

Ἀθηναῖοι, ὅσων Μιτυληναῖοι ἐκράτουν. καὶ ὑπήκουον ὕστερον Ἀθηναιών. τὰ μὲν κατὰ Λέσβον οὕτως ἐγένετο.

να'. 51. Εν δὲ τῷ αὐτῷ θέρει, μετὰ τὴν Λέσβου ἅλωσιν, Ἀθηναῖοι, Νικίου τοῦ Νικηράτου στρατηγοῦντος, ἐστράτευσαν ἐπὶ Μίνωαν τὴν νῆσον, ἣ κεῖται πρὸ Μεγάρων· ἐχρῶντο δὲ αὐτῇ, πύργον ἐνοικοδομήσαντες, οἱ Μεγαρεῖς φρουρίῳ. ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος τοῖς Ἀθηναίοις, καὶ μὴ ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος εἶναι· τούς τε Πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους αὐτόθεν λανθάνοντες, τριήρων τε (οἷον καὶ τοπρὶν γενόμενον) καὶ ληστῶν ἐκπομπαῖς, τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν. ἑλὼν οὖν ἀπὸ τῆς Νισαίας πρῶτον δύο πύργω προέχοντε μηχαναῖς ἐκ θαλάσσης, καὶ τὸν ἔσπλουν ἐς τὸ μεταξὺ τῆς νήσου ἐλευθερώσας, ἀπετείχιζε καὶ τὸ ἐκ τῆς ἠπείρου, ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ, οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου. ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον δὴ καὶ ἐν τῇ νήσῳ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν, ἀνεχώρησε τῷ στρατῷ.

νβ'. 52. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ Πλαταιῆς, οὐκέτι ἔχοντες σῖτον, οὐδὲ δυνάμενοι πολιορκεῖσ-

a Pachete argumentatur Strabo XIII. pag. 896. Wass. Add. quæ ibi adnotat Casaubonus. Duck.

Μίνωαν τὴν νῆσον] Strabo IX. pag. 391. *ἄκραν* vocat. Observat Casaub. ad Strab. III. 137. hæc apud Geographos sæpe confundi, et ab alio insulam, vel peninsulam adpellari, quam alius *ἄκραν* vocat. Sed festinatione lapsus scribit, Minoa ante Megara Straboni insula, Thucydidi *ἄκρα*; quod contra scriptum voluerat, ut intelligitur ex iis, quæ ad Strabon. IX. 391. adnotat. Idem.

Τούς τε Πελοποννησίους] Cass. hic adscriptum habet scholion, *ἐβούλετο δηλονότι*. Ita accusativus *τοὺς Πελοποννησίους*, hic erit pro nominativo, quasi esset, *καὶ ὅπως οἱ Πελοποννήσιοι μὴ ποιῶνται ἔκπλους*. Hæc constructio usitatissima est cum verbis *οἶδα*, *ὁρῶ*, *φοβοῦμαι*, eorumque synonymis, cujus multa exempla congessit Stephan. ad Script. de Dial. p. 51. Nec tamen infrequens cum aliis. De *λέγω* et *ἀγγέλλω* vid. quæ adnotat Clar. Gronov. ad Arrian. III. 1. Aristoph. Plut. 56. *σὺ πρότερον σαυτὸν ὅστις εἶ, φράσον.* Nubib. 144. *ἀνήρετο Χαιρεφῶντα ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας.* Et Avib. 1269. *Δεινόν γε τὸν κήρυκα, τὸν παρὰ τοὺς βροτοὺς Οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.* Idem.

Πλαταιῆς] Hanc Platæarum deditionem cum eruptione III. 20. memorata conjungere videtur, 315. c. Diodorus. Demosthenes in Neæram p. 531. *Τῶν δὲ Πλαταιέων ἀποκριναμένων, ὅτι ἄνευ Ἀθηναίων οὐδὲν ἂν πράξειαν, ἐπολιόρκουν αὐτοὺς διπλῷ τείχει περιτειχίσαντες ΔΕΚΑ ἔτη.* Interp. decennium, sed reclamat computus. Urbem *περιεσταύρωσαν* Bell. Pelop. III. deditio autem facta est belli ejusdem anno quinto. repone ergo fidenter, *δύο*. Cæterum Platæa utroque numero Noster et Herodotus. Apud Nepotem, Ms. Trin. Platæas, Pausan. I. ubi vocem *millibus* recte omittit. Vid. Whelerum Itin. p. 474. et Sextum Empir. 31. d. Wass. Sextus advers. Grammat. Cap. VII. *Ἀθῆναι γὰρ λέγονται πληθυντικῶς, αἱ μία πόλις, καὶ Πλαταιαί.* Eustath. in II. Iliad. p. 296. *Ἑνικῶς μὲν γὰρ ἡ Πλάταια, πληθυντικῶς δὲ αἱ Πλαταιαί.* Et sic Stephanus, ubi vid. Interpretes. Duck.

Δυνάμενοι πολιορκ.] Commeatu ac frumento, facultatibusque et viribus ferendæ diutius obsidionis destituti. Abr. p. 330. G.

Vis non inest in voc. *δυνάμενοι*, quo ita ex-

θαι, ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ· προσέβαλον αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἠδύναντο ἀμύνεσθαι· γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαὶ γίγνοιντό ποτε πρὸς Ἀθηναίους, καὶ ξυγχωροῖεν ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι, ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ Πλάταια, ὡς αὐτῶν ἑκόντων προσχωρησάντων· προσπέμπει δὲ αὐτοῖς κήρυκα, λέγοντα, "εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις, καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ, οὐδένα." τοσαῦτα μὲν ὁ κῆρυξ εἶπεν. οἱ δὲ (ἦσαν γὰρ ἤδη ἐν τῷ ἀσθενεστάτῳ,) παρέδοσαν τὴν πόλιν. καὶ τοὺς Πλαταιέας ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινὰς, ἐν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο. ἐλθόντων δὲ αὐτῶν, κατηγορία μὲν οὐδεμία προετέθη· ἠρώτων δὲ αὐτοὺς, ἐπικαλεσάμενοι, τοσοῦτον μόνον, "εἴτι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ καθεστῶτι ἀγαθόν τι εἰργασμένοι εἰσίν." οἱ δ' ἔλεγον, αἰτησάμενοι μακρότερα εἰπεῖν, καὶ προτάξαντες σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου, καὶ Λάκωνα τὸν Αειμνήστου, πρόξενον ὄντα Λακεδαιμονίων, καὶ ἐπελθόντες, ἔλεγον τοιάδε.

νγʹ. 53. "ΤΗΝ μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν, ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰό-

plicato, ut facit Gottl. tamen non constet ratio Infinit. πολιορκ. sed in πολιορκεῖσθαι, quod hic sit, sustinere, diutius pati obsidionem, subint. ἔτι, diutius, porro. cf. Philol. Th. Paull. p. 245. BAVER.

Αὐτῶν] Abest Cl. non male. WASS.

Μὴ ἀνάδοτος εἴη ἡ Πλάταια] Pollux VII. 13. μὴ ἀνάδοτος εἴη Πλάταια, omisso articulo. et explicat, τὸ μετὰ τὴν πρᾶσιν ἀποδοθέν. Videtur ad proverbium alludere, τῶν ὀρθῶς δοθέντων ἀφαίρεσις οὐκ ἔστι. Vid. ad locum Adnotata. WASS. Stephanus Append. ad Script. de Dial. pag. 201. putat, Pollucem indicare, ἀνάδοτος esse inter vocabula Thucydidi peculiaria, vel cum paucis communia. Hoc non facile quis colligat e verbis Pollucis, qui sæpe eodem modo loquitur de vocabulis quibusdam, quæ multis communia sunt. quamquam fortassis verum est, ἀνάδοτος raro apud alios inveniri. DUCK.

Δικασταὶ πέντε ἄνδρες] Horum unus erat Aristomenidas, Agesilai regis avus maternus, ut ait Pausanias in Laconicis. *Palmerius* Exercitat. p. 48. HUDS.

Τοσοῦτον μόνον] Stephanus l. d. p. 105. quia τοσοῦτον per se significat *hoc solum*, sive *non aliud quam hoc*, τὸ μόνον abundare existimat. Sed hoc satis obvium est: παρέλκον illud particulæ τι, in iis, quæ sequuntur, εἴ ΤΙ Λακεδαιμονίους—ἀγαθόν ΤΙ εἰργασμένοι εἰσὶν, longe, ut opinor, inusitatius. Et certe tantum uno loco positum ad sententiam sufficere poterat. Mox Cap. 54. ubi hæc repetuntur, omittitur loco posteriore: In Gr. hic abest loco priore. Eadem varietas est Cap. 68. DUCK.

Εἴτι Λακεδαιμονίους—ἀγαθόν τι] Duck. inclinat alterum τι deleri. et infra c. 54. 4. omittitur. Sed hic pleonasmus non inusitatus est, in primis apud Thuc. v. Abresch pag. 332. GOTTL.

Ἐπελθ.] v. Abresch. Dil. p. 100. G.

μενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι· καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι (ὥσπερ καὶ ἐσμὲν) γενέσθαι, ἢ ὑμῖν· ἡγούμενοι τὸ ἴσον μάλιστ᾽ ἂν φέρεσθαι. νῦν δὲ φοβούμεθα, μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν· τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι, εἰκότως ὑποπτεύομεν, καὶ ὑμᾶς, μὴ οὐ κοινοὶ ἀποβῆτε· τεκμαιρόμενοι, προκατηγορίας τε ἡμῶν οὐ προγεγενημένης, ᾗ χρὴ ἀντειπεῖν, (ἀλλ᾽ αὐτοὶ λόγον ᾐτησάμεθα·) τό, τε ἐπερώτημα βραχὺ ὄν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται, τὰ δὲ ψευδῆ, ἔλεγχον ἔχει. πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγκαζόμεθα, καὶ ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τὶ κινδυνεύειν. καὶ γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ᾽ ἔχουσιν αἰτίαν ἂν παράσχοι, ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. χαλεπῶς δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων, ἐπεισενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε, ὠφελούμεθ᾽ ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται. καὶ δέδιμεν οὐχὶ, μὴ, προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἥσσους εἶναι τῶν ὑμετέρων, ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ, ἄλλοις χάριν φέροντες, ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα.

νδʹ. 54. "Παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια, πρός τε τὰ Θηβαίων διάφορα, καὶ ἐς ὑμᾶς, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα, καὶ πείθειν πειρασόμεθα. φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχὺ, "εἴτι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν," εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς, μὴ εὖ παθόντας· φίλους δὲ νομίζοντας, αὐτοὺς ἁμαρτάνειν μᾶλλον, τοὺς ἡμῖν ἐπιστρατεύσαντας. τὰ δ᾽ ἐν τῇ εἰρήνῃ

Ἐν δικασταῖς—ἐν ἄλλοις] Heilm. malit pro ἐν ἄλλοις, ἂν legi. Idem.

Δεξάμενοι] i. e. εἰ δεξαίμεθα. participia conditionaliter adhibentur. Abresc. 331. G.

Ἢ ὑμῖν] Delet Reisk. τὸ ἤ. Gottl.

Ἡγούμενοι] Sc. ἦμεν. v. Abr. l. c. Idem. Pendet ab ἐποιησάμεθα, ut reliqua participia: nec video, cur suppleatur, ἦμεν. Deinde in verbis ἐν δικ. οὐκ ἐν ἄλλοις—γενέσθαι, alterum ἐν redundet, nisi ita intellexeris: ἐν δικασταῖς, (simpliciter,) si (utique) si apud judices agenda res sit, non ἐν ἄλλοις tamen, non apud alios, præter vos, volentes judicari. Baver.

Τεκμαιρόμενοι] Duplex regimen accomodatum τῷ τεκμαιρόμενοι, gen. et accus. Ille pendet ab omissa præp. ἀπὸ l. ἐξ. v. Abr. Dil. 331. Baverus post verba ἀλλ᾽ αὐτοὶ omissum credit ὅτι. Gottl.

Ἐπερώτημα] Abresch. 332. dictum putat cum respectu ad verba: λόγον ᾐτησάμεθα—nec προκατηγορία προεγένετο. Sed argutari videtur Abresch. nam c. 54. in eadem re ponitur, ἐρώτημα. Idem.

Καὶ ἐς τοὺς ἄλλους] Καὶ τοὺς ἄλλους quidam Mss. utroque modo Noster. Wass. Τῶν εὖ—ποιησόμεθα Thomas Mag. in δεδρασμένον. Duck.

καὶ πρὸς τὸν Μῆδον, ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν, οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν. καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ᾽ Ἀρτεμισίῳ, μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ, παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ. εἴτε τι ἄλλο κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν. καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτε περ δὴ μέγιστος φόβος περιέστη τὴν Σπάρτην, μετὰ τὸν σεισμὸν τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν. ὧν οὐκ εἰκὸς ἀμνημονεῖν.

νέ. 55. "Καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι· πολέμιοι δὲ ἐγενόμεθα ὕστερον· ὑμεῖς δὲ αἴτιοι· δεομένων γὰρ ξυμμαχίας, ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε, καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων. ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ ἡμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε. εἰ δ᾽ ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν. καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε· καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλὸν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους, καὶ πολιτείας μετέλαβεν· ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμως. ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴτιοι, εἴ τι μὴ καλῶς ἐδρᾶτε, ἀλλ᾽ οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα.

νστ΄. 56. "Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ δὲ τελευταῖον, αὐτοὶ ξύνιστε, δι᾽ ἅπερ καὶ τάδε πάσχομεν. πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν σπονδαῖς, καὶ προσέτι ἱερομηνίᾳ, ὀρθῶς [τε] ἐτιμωρησάμεθα,

Σεισμὸν] Olymp. LXXVII. 4. vid. Diod. p. 274. c. Wass.

Πρὸς—τραπέσθαι] Thom. Magist. in βούλομαι. Duck.

Ἐδρᾶτε] Reisk. ἐδρᾶτο, contingit. Mutavit postea sententiam, s. δρᾶται, aut δρᾶτε. Gottl.

Nulla mutatione opus; de præterito enim agi, declaret, εἰκὸς ἦν. Baver.

Ἀλλ᾽ οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα] Valla, *penes illos, qui duces ad prave agendum extiterant.* Fr. Portus, *penes duces.* Uterque recte. Male Æ. Portus, quem sequutus est Hudsonus, *penes illos, qui vos ad res pravas agendum duxerunt.* Apertum est, e superioribus repetendum esse τοὺς ἑπομένους: οὐχ οἱ ἑπόμενοι αἴτιοι, ἀλλ᾽ οἱ ἄγοντες τοὺς ἑπομένους. Infr. Cap. 65. οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων. Duck.

Ἱερομηνίᾳ] Portus, cujus versionem hic interpolavit Huds. putavit esse, νουμηνίαν. Et sic Cap. 65. Steph. quoque in marg. Edit.

κατὰ τὸν πᾶσι νόμον καθεστῶτα, τὸν ἐπιόντα πολέμιον ὅσιον εἶναι ἀμύνεσθαι· καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. καίτοι, εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ελληνες μᾶλλον τότε, ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ' αὐτοῦ ἦσαν. καὶ δίκαιον, ἡμῶν τῆς νῦν ἁμαρτίας (εἰ ἄρα ἡμάρτηταί τι) ἀντιθεῖναι τὴν τότε προθυμίαν· καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε, καὶ ἐν καιροῖς, οἷς σπάνιον ἦν, τῶν Ελλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι. ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾶν μετὰ κινδύνων τὰ βέλτιστα. ὧν ἡμεῖς γενόμενοι, καὶ τιμηθέντες ἐς τὰ πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς δέδιμεν μὴ διαφθαρῶμεν, Αθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. καίτοι χρὴ ταυτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι,

sec. versionem Vallæ, *die solenni*, emendat, *in sacris*, vel *feriis primæ diei mensi*, q. d. *feriarum menstruarum die.* Fortassis omnis νουμηνία recte dici potest ἱερομηνία: sed an omnis ἱερομηνία quoque sit νουμηνία, mihi non liquet. Nam Harpocration e Demosth. adv. Timocrat. ἱερομηνίας nihil aliud, quam ἑορτώδεις ἡμέρας interpretatur. Et sic ex eo Suidas et Hesychius. Nec quidquam de νουμηνίᾳ addunt. Ac neque quisquam e quamplurimis Scriptoribus, quorum verba de sacro νουμηνίας adfert Meursius in Græc. Feriata, v. Νουμηνία, hunc diem vocat ἱερομηνίαν. Adde, quod Thucyd. II. 4. Platæas a Thebanis τελευτῶντος τοῦ μηνὸς occupatas dicit. Budæus in Demosthene, qui sæpe ἱερομηνίαν memorat, interpretabatur *sacra stata aliquo mense*, vel generaliter *diem festum*, et Camerar. in Demosth. adv. Timocrat. *dies festos.* Vid. Steph. Thes. Suidas ἱερομηνία, ἱερὰ ἑορτὴ κατὰ μῆνα. Sic etiam Etymol. M. et insuper, ἡ ἐν τῷ μηνὶ ἱερὰ ἡμέρα, quæ confirmant interpretationem priorem Budæi. In Gloss. ἱερομηνία, *festivi ludi*: quo pertinet, quod e Budæo adnotat Steph., ἱερομηνίαν apud Demosthenem etiam esse *diem ludorum.* Infra V. 54. est τὰ ἱερομήνια, ubi Schol. ἑορτώδης ἡμέρα. Quæ Kuhnius ad Pausan. III. 5. de ἱερομηνίαις adnotat, nihil magnopere ad inlustrationem hujus loci faciunt, et non satis explorata videntur. D.

Ἔφοδ. αὐτ. ἀσφαλ.] Nil agit Schol. in ἀσφαλείᾳ supplendo, ἑαυτῶν. Neque enim inde appareat, quo referatur Dativus; quem ego pendere putem, a subst. ἔφοδον, ἔφοδον ἀσφαλείᾳ, i. e. ἀσφαλῆ, μετ' ἀσφαλείας. Aut notet ἀσφαλείᾳ, διὰ τὴν ἀσφάλειαν, ut ipsi essent tuti, nil a barbaro timerent; Quippe ἀσφάλεια est eadem cautio, cura, circumspectio, diligentia cavendi; ut ἀσφαλὴς non *tutum* modo, verum et *cautum*, notat: ut in illo Augusti, apud Sueton. c. 25. ἀσφαλὴς στρατηλάτης opponitur θρασεῖ, audaci, temerario. Baver.

Καὶ τὸ ξυμφέρον] Locum h. impeditum optime videtur explicasse Abresch. et pro ὑμῖν legit ὑμῖν. Baver. ante καὶ excidisse putat, verbo ἔχωσι, εἰ. Heilm. locum non bene correxit: τὸ ὅταν ejicit et pro ἔχωσι, ἔχουσι corrigit, Dat. plur. Gottl.

Τὸ ξυμφέρον, rel.] Forte sic explicandus locus: oportet (vos, o Lacedæmonii,) non aliam utilitatem (vestram quoque,) habere, quam si (forte enim εἰ exciderit post ἢ, similitudine absorptum,) sociis, si quidem semper gratiam firmam habuerint (benignis in

ἢ, τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι, καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται."

νζʹ. 57. "Προσκέψασθέ τε, ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν,) ὁρᾶτε, ὅπως μὴ οὐκ ἀποδέξωνται, ἀνδρῶν ἀγαθῶν πέρι, αὐτοὺς ἀμείνους ὄντας, ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. δεινὸν δὲ δόξει εἶναι, Πλάταιαν Λακεδαιμονίους πορθῆσαι· καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε κρατησάντων ἀπολλύμεθα, καὶ νῦν ἐν ὑμῖν, τοῖς πρὶν φιλτάτοις, Θηβαίων ἡσσώμεθα, καὶ δύο ἀγῶνας τοὺς μεγίστους ὑπέστημεν, τότε μὲν, τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι, νῦν δὲ, θανάτου δίκῃ κρίνεσθαι. καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιῆς, οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς Ἕλληνας, ἔρημοι καὶ ἀτιμώρητοι· καὶ οὔτε τῶν

se,) etiam præsens status rerum et conditio utilis detur et constituatur. Ὠφέλιμον pro ὠφελίμως, ut I. 32. init. σαφὲς καταστήσουσι· aut καθίστασθαι simpliciter sit, fieri, constitui. Ἡμῖν maxime incommodat: sed insertum est, quod ad *se* statim converterent Platæenses, quasi supra sit, τοῖς ἀγαθοῖς τ. ξυμμάχων, ὥσπερ ἡμῖν, vel hic καὶ οὖν καὶ ἡμῖν. Ut 1. 82. ὅσοι, ὥσπερ καὶ ἡμεῖς, ἐπιβουλευόμεθα pro ἐπιβουλεύονται· et 3. 67. ἢν οἱ ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς, ποιήσησθε, pro ποιήσονται. v. Phil. Thucyd. Paull. 108. BAVER.

Πανοικησίᾳ] Πανοικεσίᾳ, quod quidam Mss. habent, etiam est in Polluce VI. 163. ex Antiphonte, et in Thoma Mag. πανοικὶ e Libanio. Sic quoque Dionys. Halic. VII. 18. et XI. 2. et Mœris. Sed in Thucyd. II. 16. non est πανοικεσίᾳ, ut Thomas laudat, sed πανοικησίᾳ, sine ulla varietate scripturæ. Portus hic male discedit a versione Vallæ, et non recte ad nomen urbis refert, quod de tota urbe dicit Thucydides. Paullo post, si in his, οἵτινες Μήδων— ea sententia est, quam Interpretes expresserunt, pro ἀπολλύμεθα, verbo præsentis temporis, aliud tempus videtur requiri, ut in illo Themistoclis apud Plutarch. Themist. ὦ παῖδες, ἀπωλόμεθα, εἰ μὴ ἀπωλόμεθα. DUCK.

Ἀπολλύμεθα] Baver. ἀπωλλύμεθα, subint. ἄν. GOTTL.

Θανάτου δίκῃ κρίνεσθαι] Κρίνεσθαι δίκῃ etiam Plutarch. dicit Public. p. 193. οὐκ ἔφευγεν ἐπ' αὐτοῦ δίκῃ κριθῆναι πρὸς Ταρκύνιον. Habent etiam vocabulum δίκῃ hic omnes Mss. excepto Regio. Et ob id suspectum esse potest, eo quod in hoc genere loquendi fere omittitur. Plutarch. Apophthegm. p. 327. κρινόμενος θανάτου. Ælian. XIII. Var. Hist. 42. ἔκρινάν με θανάτου. Polyb. VI. 12. θανάτου δὲ κρίνει μόνος, sc. ὁ δῆμος. Similiter in eo, quod ex Athenæi XIII. 6. adfert Budæus, κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ, ἀπέφυγε. In quibus Stephanus Append. ad Script. de Dialect. p. 110. deese putat δίκην. Qamquam etiam κρίσιν suppleri potest e loco Demosthenis, quem et ipse laudat, κρίνεσθαι κρίσιν θανάτου. Mox ἀτιμώρητοι Thomas Mag. in τιμωρῶ exponit ἀβοήθητοι, ubi et Πλαταιεῖς. DUCK.

τότε ξυμμάχων ὠφελεῖ οὐδεὶς, ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπὶς, δέδιμεν, μὴ οὐ βέβαιοι ἦτε.

νή. 58. "Καίτοι ἀξιοῦμέν γε καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτὲ γενομένων, καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλληνας, γναμφθῆναι ὑμᾶς, καὶ μεταγνῶναι, εἴ τι ὑπὸ Θηβαίων ἐπείσθητε· τήν τε δωρεὰν ἀνταπαιτῆσαι, αὐτοὺς μὴ κτείνειν, οὓς μὴ ὑμῖν πρέπει· σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν, καὶ μὴ, ἡδονὴν δόντας ἄλλοις, κακίαν αὐτοὺς ἀντιλαβεῖν· βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ, τὴν δύσκλειαν αὐτοῦ ἀφανίσαι. οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμωρήσεσθε, ἀλλ' εὔνους, κατ' ἀνάγκην πολεμήσαντας. ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες, ὅσια ἂν δικάζοιτε, καὶ προνοοῦντες, ὅτι ἑκόντας τε ἐλάβετε, καὶ χεῖρας προϊσχομένους (ὁ δὲ νόμος τοῖς Ἕλλησι, μὴ κτείνειν τούτους) ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διαπαντός. ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς ἀποθανόντας ὑπὸ Μήδων, καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ, ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ

Ὑμεῖς—ἦτε] Dionys. Halicarn. p. 7. δεδίαμεν perperam et Mss. λέξις inquit, πάνυ χαριέντως συγκειμένη, καὶ μεστὴ πάθους. W.

Γναμφθῆναι] Pro καμφθῆναι non dubitavi reponere ex marg. γναμφθῆναι. Ea vox in desuetudinem abiit post Platonis tempora, et varie scribitur a Grammaticis. Poëtæ, et Homeri sequaces retinent scripturam veterem διὰ στομφασμὸν εὔφωνον, ut alicubi Eustathius. Homerica enim sunt, Ἐν δὲ γόνυ Γνάμψεν. γναμπτὸν νόημα, et γναμπτοῖς ἀγκίστροισιν, μέλεσσιν. Hesiod. Op. 205. γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσιν, hoc est κεκαμμένοις. Paulo infra apud Hesiod. v. 278. cum Alex. Clemente pro ἔσθειν—ἐπ' αὐτοῖς legerim, Ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτῶν. Æschylus Pers. 577. Γναμπτόμενοι δ' ἁλὶ δεινᾷ· ubi male Interpres, et Scholiasta. Lycophron 1247. οὔ ποτ' Οἰκουρὸς δόρυ Γνάμψει Θέοινος. Callimachus Del. 311. γναμπτὸν ἕδος σκολιοῦ λαβυρίνθου. Plato Rep. X. p. 762. Francof. κνάπτοντες ἐπ' ἀσπαλάθων· antiquam scripturam servavit Justinus Martyr, cujus unius auctoritate rescribendum, γνάμπτοντες. Apollonius ad navigantes transtulit, II. 350. Ῥήβαν ὠκυρόην ποταμὸν, ἀκτήν τε μέλαιναν Γνάμψαντες, uti et 946. 967. 1012. Idem III. 1248. Πείρησαν τευχέων βεβιημένοι. οὐδ' ἐδύναντο Κεῖνο δόρυ γνάμψαι. et 1349. Γνάμψε δὲ γούνατ' ἐλαφρά. Apud Nicandrum Theriac. pag. 8. Aldin. Γναμπτόμενοι etiam pro ξεόμενοι. Oppianus Hal. III. 133. γένυν γναμπτοῖο σιδήρου. Ubi Mss. quomodo apud Homer. γναπτοῖο obtrudunt: id quod facit et alibi Scholiasta. Hal. V. 574. νόον γνάμπτουσι σιδήρεον. Quo in loco, ut id obiter moneam, lege ex Cod. Ms. Μήτηρ δὲ πρῶτον μὲν ἀτυζομένη δεδόνηται, non πεπότηται· de hirundine sermo. Confer denique Hal. V. 164. et Hesych. in εὔγναμπτον. Wass. Γνάμπτω, γναμπτὸς, et ἐπιγνάμπτω de animo dici ostendit Stephan. in Thes. Add. Stanlei. ad Æschyl. Prom. 163. Hesych. ἐπιγνάψασα (Soping. recte ἐπιγνάμψασα) ἐπικατακλάσασα, συμπείσασα. Æschyl. Prometh. 994. Γνάμψει γὰρ οὐδὲν τῶνδέ μ', ὥστε καὶ φράσαι. Schol. ἐπικλάσει, ut mox Thucyd. C. 59. ἐπικλασθῆναι τῇ γνώμῃ. Κάμπτω et ἐπικάμπτω quidem haud dubie eamdem significationem habent. Sed γναμφθῆναι vix videtur a scriba potuisse proficisci. Duck.

Σώφρονα] Vid. Euripidem Androm. 778. Wass.

Νόμος τοῖς Ἕλλησι] Vid. Feith. III. Antiquit. Homericar. 14. et infr. Cap. 66. 67. Duck.

Ἀποβλέψατε] Vid. II. 71. et Themistium Orat. VI. p. 82. Wass.

Κατὰ ἔτος ἕκαστον] Hujus annui sacri to-

ἐσθήμασί τε καὶ τοῖς ἄλλοις νομίμοις· ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες, εὖνοι μὲν ἐκ φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχμοις ποτὲ γενομένοις. ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε, μὴ ὀρθῶς γνόντες. σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς, νομίζων ἐν γῇ τε φιλίᾳ τιθέναι καὶ παρ᾽ ἀνδράσι τοιούτοις· ὑμεῖς δὲ, εἰ κτενεῖτε ἡμᾶς, καὶ χώραν τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς αὐθένταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς, ἀτίμους γερῶν, ὧν νῦν ἴσχουσι, καταλείψετε; πρὸς δὲ, καὶ γῆν, ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες, δουλώσετε; ἱερά τε θεῶν, οἷς εὐξάμενοι Μήδων ἐκράτησαν, ἐρημοῦτε; καὶ θυσίας τὰς πατρίους τῶν ἑσσαμένων καὶ κτισάντων ἀφαιρήσεσθε;

νθʹ. 59. "Οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ Λακεδαιμόνιοι, τάδε, οὔτε ἐς τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν, οὔτε ἡμᾶς τοὺς εὐεργέτας, ἀλλοτρίας ἕνεκα ἔχθρας, μὴ αὐτοὺς ἀδικηθέντας, διαφθεῖραι· φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ, οἶκτον σώφρονα λαβόντας· μὴ, ὧν πεισόμεθα, μόνον δεινότητα κατανοοῦντας, ἀλλ᾽ οἷοί τε ἂν ὄντες πάθοιμεν, καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφορᾶς, ᾧ τινί ποτ᾽ ἂν καὶ ἀναξίως ξυμπέσοι. ἡμεῖς τε, ὡς πρέπον ἡμῖν, καὶ ὡς ἡ χρεία προάγει, αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους

tam rationem multis describit Plutarch. Aristid. p. 608. Alia huc pertinentia habent Luisin. II. Parerg. 14. et Cerd. ad Virgil. III. Æneïd. 301. et V. 46. Quid sint ὡραῖα, et ὡραῖοι καρποὶ, ostendunt Græv. ad Hesiod. ἔργ. v. 31. et Meibom. ad Diogen. Laërt. II. 32. Duck.

Ἐσθήμασί] De ritu vestimenta et alia pretiosa cremandi in defunctorum honorem, v. Dorvill. ad Charit. 72. Gottl.

Αὐθένταις] Præter eos, quos in Var. Lect. nominat Huds. consule Nunnesium ad Phrynich. et Valesium ad Harpocrationem. D.

Ἑσσαμένων] Int. intell. ἱερὰ, quod non improbat Abresch. 334., sed et ad θυσίας, quod præcedit, proxime referri posse. Κτίσαι θυσίας, est, instituere. Gottl.

Οἶκτον σώφρονα] Qui οἴκτῳ σώφρ. præferat, supplebit in λαβόντας, αὐτόν. Abresch. tamen præplacet vulgata lectio. pag. 335. ob præmissum τῇ γνώμῃ. Sed quo referatur αὐτὸν non assequor, nisi οἶκτον voluit intelligi. Sed et hoc nihil: οἴκτῳ σώφρ. λαβ. τὸν οἶκτον.— Baverus recepit οἴκτῳ λαβόντας, ut sit λαβόντας pro εἰλημμένους dictum, aut int. τὸ πρᾶγμα. p. 123. Gottl.

Ἡμῖν] Si ὑμῖν legatur, aut, ut citat Th. in V. πρέπει, ὑμῶν pro ἡμῖν, jungenda in structura sunt: ὡς πρέπον ὑμῶν πεῖσαι. Abresch. 335. Gottl.

Πρέπον ἡμῖν] Vera haud dubie lectio ἡμῖν· quia sequ. ὡς ἡ χρεία προάγει, nempe NOS. Ὑμῶν durius sit pro dativo; etsi et Latini, *proprium alicujus*, p. alicui; Qod si ὑμῖν recipiatur, non retuleris ad ἐπιβοώμενοι, sed ad πεῖσαι· ὡς, apud προάγει, est, pro εἰς ὅ· vel προάγει sign. ἀναγκάζει. Baver.

Ὡς—προάγει] T. Mag. in πρέπει, qui ὑμῶν, recte. aliter Mss. Wass.

Ὁμοβωμίους] Quibus commuiter in eadem ara sacra fiunt: nam etiam pluribus diis una ara sacrabatur. Vid Kuhn. ad Polluc. VI. 155. ubi quod adnotat de sex aris duodecim diis Olympiæ consecratis, est e Scholiaste Pindari Olymp. V. 10. qui binos deos, qui in eadem ara colebantur, συμβώμους vocat; quemadmodum et Strabo XI. 512. Persicos quosdam δαίμονας, quibus eadem ædes et ara sacra erat. Add. Spanhem. Epist. III. ad Morell. p. 183. Quod eosdem ὁμοχέ-

καὶ κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι, πεῖσαι τάδε· προφερόμενοι ὅρκους, οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν, μὴ ἀμνημονεῖν, ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων· καὶ ἐπικαλούμεθα τοὺς κεκμηῶτας, μὴ γενέσθαι ὑπὸ Θηβαίοις, μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆναι. ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μετ᾽ αὐτῶν πράξαντες, νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν. ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι, λόγου τελευτᾷν, διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ᾽ αὐτοῦ, παυόμενοι, λέγομεν ἤδη, ὅτι οὐ Θηβαίοις παρέδομεν τὴν πόλιν, (εἱλόμεθα γὰρ ἂν πρό γε τούτου, τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ τελευτῆσαι·) ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν. καὶ δίκαιον, εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντας, τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι· ἐπισκήπτομέν τε ἅμα, μὴ, Πλαταιῆς ὄντες, οἱ προθυμότατοι περὶ τοὺς Ἕλληνας γενόμενοι, Θηβαίοις, τοῖς ἡμῖν ἐχθίστοις, ἐκ τῶν ὑμετέρων χειρῶν, καὶ τῆς ὑμετέρας πίστεως, ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι· γενέσθαι τε σωτῆρας ἡμῶν, καὶ μὴ, τοὺς ἄλλους Ἕλληνας ἐλευθεροῦντας, ἡμᾶς διολέσαι."

ξ΄. 60. Τοιαῦτα μὲν οἱ Πλαταιῆς εἶπον. οἱ δὲ Θηβαῖοι, δείσαντες, πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ Λακεδαιμόνιοι τὶ ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν, ἐπειδὴ καὶ ἐκείνοις, παρὰ γνώμην τὴν αὐτῶν, μακρότερος λόγος ἐδόθη τῆς

τας vocatos dicit Kuhn. id est e Thucyd. IV. 97. ubi vid. Schol. Hesych. et Suidam. Duck.

Ἱκέται—πατρῴων] Genit. πατρῴων pendet ab ἱκέται, ut Portus vult, probante Abresch. 335. non, ut Schol. ἀπὸ τοῦ ἕνεκα. Gottl.

Κεκμηῶτας] Κεκμηκότας Marg. bene opinor, illud fere Poëtarum; vel, ut Eustathius, Ionum est. mecum facit ad Pollucem, qui sic adduxerat, Cl. Jungermannus III. 106. Sed et Poëtæ sæpe hac forma. Theocrit. ἣ γὰρ ἀπ᾽ ἄγρας Τανίκα κεκμακὼς ἀμπαύεται. Ἀττικώτερον Eustathio judice scribamus κεγμηκότας. Sic, inquit, ἀγμῆτες pro ἀκμῆτες, et ἔοιγμεν, apud Sophoc. Ai. 1260. pro ἐοίκαμεν; sed de hac scriptura ampliandum. Wass.

Μὴ γεν. ὑπὸ Θηβ.] Male hac refert Hobbes. ad ἥρωας, cum sequatur: μήτε φίλτατοι ὄντες παραδοθῆναι· quod ad ipsos Platæenses manifesto referatur: omnes illi Infinit. pendent ab αἰτούμεθα. Bauer.

Ἡμέρας—παθεῖν] Priscianus XVIII. 1172. Græv. ἀναμιμνησκόμενον, sed Mss. et Priscianus cum editis faciunt. Prisc. tamen μεθ᾽ ἑαυτῶν. atque ita Codex Ms. B. Pub. Cantab. et Cl. Gr. Wass.

Ἀναγκαῖον] Male Schol. expl. χρήσιμον. Quæ utilitas enim finiendi? Bauer.

Τῷ αἰσχίστῳ ὀλέθρῳ] Vid. quæ adnotarunt Casaub. ad Dion. Halic. VI. 86. et Cerd. ad Virg. IX. Æn. 340. Duck.

Μακρότερος] i. e. copia, libertas, longiorem justo quam credidissent (Thebani), habendi orationem data esset. Gottl.

Μακρ. λόγ.—τ. ἀποκρίσ.] Genit. τῆς ἀποκρισ. pendet aut a λόγος, cum vi explicandi, quid contineret illa oratio, nempe responsionem; vel pro, εἰς ἀπόκρισιν· aut a μακρότερος, longior oratio et prolixior, quam quæ (simpliciter et paucis) breviter responderet ad interrogatum. Bauer.

πρὸς τὸ ἐρώτημα ἀποκρίσεως. ὡς δ' ἐκέλευσαν, ἔλεγον τοιάδε.

ξά. 61. "ΤΟΥΣ μὲν λόγους οὐκ ἂν ᾐτησάμεθα εἰπεῖν, εἰ καὶ αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο, καὶ μὴ ἐπὶ ἡμᾶς τραπόμενοι, κατηγορίαν ἐποιήσαντο, καὶ περὶ αὑτῶν, ἔξω τῶν προκειμένων, καὶ ἅμα οὐδὲ ᾐτιασμένων, πολλὴν τὴν ἀπολογίαν, καὶ ἔπαινον, ὧν οὐδεὶς ἐμέμψατο. νῦν δὲ πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ, τῶν δὲ ἔλεγχον ποιήσασθαι· ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς κακία ὠφελῇ, μήτε ἡ τούτων δόξα, τὸ δ' ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες, κρίνητε. ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα τοπρωτον, ὅτι, ἡμῶν κτισάντων Πλάταιαν ὕστερον τῆς ἄλλης Βοιωτίας, καὶ ἄλλα χωρία μετ' αὐτῆς, ἃ ξυμμίκτους ἀνθρώπους ἐξελάσαντες ἔσχομεν, οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τοπρῶτον, ἡγεμονεύεσθαι ὑφ' ἡμῶν, ἔξω δὲ τῶν ἄλλων Βοιωτῶν παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο, προσεχώρησαν πρὸς Ἀθηναίους, καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς ἔβλαπτον, ἀνθ' ὧν καὶ ἀντέπασχον.

ξβ'. 62. "Ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, φασὶ, μόνοι Βοιωτῶν οὐ Μηδίσαι, καὶ τούτῳ μάλιστα αὐτοί τε ἀγάλλονται, καὶ ἡμᾶς λοιδοροῦσιν. ἡμεῖς δὲ Μηδίσαι μὲν αὐτοὺς οὐ φαμὲν, διότι οὐδ' Ἀθηναίους· τῇ μέντοι αὐτῇ ἰδέᾳ, ὕστερον, Ἀθηναίων ἰόντων ἐπὶ τοὺς Ἕλληνας, μόνους αὖ Βοιωτῶν Ἀττικίσαι. καίτοι σκέψασθε, ἐν οἵῳ εἴδει ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν. ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα, οὔτε κατὰ δημοκρατίαν. ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα. καὶ οὗτοι, ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν, εἰ τὰ τοῦ Μήδου κρατήσειε, κατέχοντες ἰσχύϊ

Βραχέως] i. e. κατὰ βραχὺ, ut Plato Gorg. 281. videri possit τὸ βραχέως tanquam ad ἐρωτηθὲν pertineat. v. Abr. 336. Gottl.

Αὑτῶν] Schol. videtur legisse, αὐτῶν· alioqui non explicaret, ἑαυτῶν τ. Πλατ. Baver.

Πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ] Stephanus eo loco, quem refert in Var. Lect. Hudsonus, reprehendit Scholiasten, τὰ interpretantem τινὰ, et monet observandum esse hic, contra receptam sermonis Græci consuetudinem, καινοπρεπῶς dici πρὸς μὲν τὰ, pro πρὸς τὰ μέν. Idem jam ante adnotaverat Budæus in Commentar. Ling. Gr. pag. 956. et ob eam causam hoc inter exempla implicitæ structuræ posuerat: quod et repetit ex eo Stephanus ibid. p. 127. Duck.

Πρὸς μὲν τὰ—] Trajectio not. pro πρὸς τὰ μέν. Gottl.

Ἡ τούτων] Male præfixa sunt verba Scholio ἡ τούτων δόξα. potius: ἡ ἡμετέρα αὐτοῖς κακία. Abr. 336. Gottl.

Οὐκ ἠξίουν—ἡγεμονεύεσθαι ὑφ' ἡμῶν] Vid.

τὸ πλῆθος, ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς τοῦτ' ἔπραξεν, οὐδ' ἄξιον, αὐτῇ ὀνειδίσαι, ὧν μὴ μετὰ νόμων ἥμαρτεν. ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε, καὶ τοὺς νόμους ἔλαβε, σκέψασθαι χρὴ, Ἀθηναίων ὕστερον ἐπιόντων, τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων ὑφ' αὑτοῖς ποιεῖσθαι, καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλὰ, εἰ, μαχόμενοι ἐν Κορωνείᾳ, καὶ νικήσαντες αὐτοὺς, ἠλευθερώσαμεν τὴν Βοιωτίαν, καὶ τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν, ἵππους τε παρέχοντες, καὶ παρασκευὴν, ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων. καὶ τὰ μὲν ἐς τὸν Μηδισμὸν τοσαῦτα ἀπολογούμεθα.

ξγ'. 63. "Ως δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας, καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασόμεθα ἀποφαίνειν. ἐγένεσθε, ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατὲ, Ἀθηναίων ξύμμαχοι καὶ πολῖται· οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ὑπάγεσθαι αὐτοὺς, καὶ μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον τε ὑμῖν, εἴτι καὶ ἄκοντες προσήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷ Μήδῳ ξυμμαχίας γεγενημένης, ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέπειν, καὶ, τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι. ἀλλ' ἑκόντες καὶ οὐ βιαζόμενοι ἔτι, εἵλεσθε μᾶλλον τὰ τῶν Ἀθηναίων. καὶ λέγετε, ὡς αἰσχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δέ γε αἴσχιον καὶ ἀδικώτερον, τοὺς πάντας Ἕλληνας καταπροδοῦναι, οἷς ξυνωμόσατε, ἢ Ἀθηναίους μόνους· τοὺς μὲν, καταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ, ἐλευθεροῦντας. καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε, οὐδὲ αἰσχύνης ἀπηλλαγμένην. ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτοὺς, ὡς φατὲ, ἐπηγάγεσθε, τοῖς δὲ ἀδικοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε. καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν

ad Lib. I. Cap. 56. Duck.

Σκέψ. χρὴ—εἰ, rel.] Male Schol. εἰ accipit signum antecedentis, cui subjiciatur, ut consequens, νῦν ἐλευθεροῦμεν. Immo pendet a σκέψ. χρὴ, et sign. *an*, ecquid. Bauer.

Ἐν Κορωνείᾳ] Lib. I. Cap. 113. Duck.

Αὐτοὺς] Reisk. αὐτοῖς Abr. 337. Gottl.

τὰς ὁμ. χάρ. rel.] Abreschii structura, immerito probata B. Gottl. non explicat locum, sed plane evertit et turbat. Quibus enim machinis, illo positu verborum, μὴ traxeris ad ἢ; et totum, μὴ ἀντιδιδόναι, rejicit in alteram partem, cum sit prior. Ita e quovis licet quidvis extundere. Nec vero laborat sensus, ne ordo quidem; nisi quod ante αἰσχρὸν excidisse possit μὴ, ut sit: non turpius est, plane non reddere parem gratiam, quam reddere debitam quidem beneficio, sed injuriæ (faciundæ, vel adjuvandæ,) caussa accommodatam. Mecum facit Heilm. B.

—Αἰσχρὸν] Porti versio est falsa. Bene constituit locum Abresch. p. 337. Heilm.

μᾶλλον, ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας.

ξδ΄. 64. "Δῆλόν τε ἐποιήσατε, οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ Μηδίσαντες, ἀλλ᾽ ὅτι οὐδ᾽ Ἀθηναῖοι. ὑμεῖς δὲ, τοῖς μὲν ταυτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία, καὶ νῦν ἀξιοῦτε, ἀφ᾽ ὧν δι᾽ ἑτέρους ἐγένεσθε ἀγαθοὶ, ἀπὸ τούτων ὠφελεῖσθαι. ἀλλ᾽ οὐκ εἰκός· ὥσπερ δὲ Ἀθηναίους εἵλεσθε, τούτοις ξυναγωνίζεσθε. καὶ μὴ προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν, ὡς χρὴ ἀπ᾽ αὐτῆς νῦν σώζεσθαι. ἀπελείπετε γὰρ αὐτὴν, καὶ παραβάντες, ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας, καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων, ἢ διεκωλύετε· καὶ ταῦτα, οὔτε ἄκοντες, ἔχοντές τε τοὺς νόμους, οὕσπερ μέχρι τοῦ δεῦρο, καὶ οὐδενὸς ὑμᾶς βιασαμένου, ὥσπερ ἡμᾶς. τὴν τελευταίαν τε, πρὶν περιτειχίζεσθαι, πρόκλησιν ἐς ἡσυχίαν ὑμῶν, ὥστε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε. τίνες ἂν οὖν ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε; καὶ ἃ μὲν ποτὲ χρηστοὶ ἐγένεσθε, ὡς φατὲ, οὐ προσήκοντα νῦν ἐπεδείξατε. ἃ δὲ ἡ φύσις αἰεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές. μετὰ γὰρ Ἀθηναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε. τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκούσιον Μηδισμὸν, καὶ τὸν ὑμέτερον ἑκούσιον Ἀττικισμὸν τοιαῦτα ἀποφαίνομεν.

ξέ. 65. "Ἃ δὲ τελευταῖα φατὲ ἀδικηθῆναι (παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν) οὐ νομίζομεν οὐδ᾽ ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτάνειν.

vidit difficultatem loci et eam tentat corrigere. GOTTL.

Οὕσπερ] Hoc in Edit. Oxon. inter Errata relatum erat, et pro eo jubebatur legi ὥσπερ: quod etiam Clar. Wasse hic in margine posuerat. Sed credo, eum, qui Indicem illum Erratorum confecit, festinatione, aliave qua causa lapsum fuisse, quum voluisset scribere, pro οὔσπερ, quod in Edit. Oxon. est, legendum esse οὕσπερ. Nam et scripti, et editi omnes, quos vidi, vulgatam scripturam habent, quæ cur mutari debeat, nulla probabilis ratio est. DUCK.

Οὐδεν. ὑμᾶς βιασαμ.] Schol. ad h. v. demto capite, annecti debet ad superius post δηλονότι. vid. Abresch. 338. GOTTL.

Οὐδεν. ὑμ. βιασ.] Non video, qui minus his verbis congruat Schol. quam superioribus, quibuscum unam ῥῆσιν, unam sententiam conficiat. BAVER.

Δικαιότερον] Cl. mendose δικαιότεροι. WASS.

Αἰεὶ] Alii ἀεί. Utroque modo Herodotus. IDEM. Ἀεὶ hic non modo plerique Mss. verum etiam Ed. Vascos. habent: unde suspicor etiam ita in vetustioribus Edd. esse. Pro ἰέναι ὁδὸν eadem metaphora βαδίζειν ὁδὸν dicit Dionys. Halic. XI. 39. Ὁ δὲ Ἄππιος— ὀλεθριωτάτην ἔγνω βαδίζειν ὁδόν. DUCK.

Ἃ δὲ ἡ φύσις] v. Abr. Lectt. Arist. p. 215. GOTTL.

Ἱερομηνίαις] Ἱερομηνίᾳ Marg. quod tam sententia, quam constructionis varietas recipiendum suadet. WASS. Vid. Cap. 56. DUCK.

εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα, καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων. ἀλλ᾽ οὔτ᾽ ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔθ᾽ ἡμεῖς. πολῖται δὲ ὄντες, ὥσπερ ὑμεῖς, καὶ πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες, καὶ ἐς τὴν αὑτῶν πόλιν φιλίως, οὐ πολεμίως, κομίσαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους, μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν· σωφρονισταὶ ὄντες τῆς γνώμης, καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ᾽ ἐς τὴν ξυγγένειαν οἰκειοῦντες· ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ᾽ ὁμοίως ἐνσπόνδους.

ξστʹ. 66. "Τεκμήριον δὲ, ὡς οὐ πολεμίως ἐπράσσομεν. οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προειπομέν τε, τὸν βουλόμενον κατὰ τὰ τῶν πάντων Βοιωτῶν πάτρια πολιτεύειν, ἰέναι πρὸς ἡμᾶς. καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες, καὶ ξύμβασιν ποιησάμενοι, τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ, κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, (εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον πρᾶξαι, οὐ μετὰ τοῦ πλήθους ὑμῶν εἰσελθόντες,) τὰ μὲν

Εἰ μὲν γὰρ ἡμεῖς αὐτοί] Portus παραφράζων verterat, " Si enim nos ipsi *nostra sponte*." Αὐτὸς, pro αὐτόματος, et μόνος, sæpe est apud Homerum, et alios Poëtas. Vid. Eustath. in Il. ρʹ. p. 1105. Schol. Theocr. in XI. Idyll. 12. et Stephanum, aliosque ad Callim. Hymn. in Apoll. v. 6. et in Del. 212. Scholiast. parvus Hom. hoc Il. ρʹ. 254. Ἀλλά τις αὐτὸς ἴτω, exponit, ὑπὸ ἰδίας γνώμης παραγενέσθω. Et Latinos eadem significatione dicere *ipse* adnotant Interpretes Callimachi, et Heins. Lection. Theocrit. Cap. XVII. Duck.

Τί ἀδικοῦμεν] Quid dicendi sumus ea in re delinquere. Reisk. p. 30. G.

Τί ἀδικοῦμεν] Simplicius fuerit, pro imperfecto accipi, ac si sit, ἠδικοῦμεν. Baver.

Μᾶλλον] Sæpe in hisce formulis eleganter omittit Sallustius: nisi intercederent libri, mallem quandoque abesset. Wass.

Σωφρονισταὶ] Forsan hac voce utitur Thucydides cum allusione ad magistratum, cujus Athenis munus erat, juvenum mores corrigere, eosque, quoties deliquerint, officii monere. Vide Phavorinum et Etymol. magn. Auctorem. Huds. Pulchra sunt, quæ de significatione vocabulorum σωφρονίζειν et σωφρονιστὴς ad Polluc. IX. 138. adnotavit peritissimus literarum Græcarum Hemsterhusius. Duck.

Male Schol. conjungit σωμ. cum σωφρον. illud pertinet ad ἀλλοτριοῦντες. Abr. 338. G.

Post ὄντας] deesse videtur δέον ἐπιεικείᾳ χρῆσθαι. Reisk. G.

Ὀλ. ὄντας] Reiskiano supplemento nil opus esse videtur, et plane illud languere, cum in sequ. ἀνεπιεικέστερον sit, injusti, iniqui aliquid. Alterum ante μήτε νεωτερίσειν, paullo aptius videatur, ὑποσχομένοις, sed abhorret a sequ. λόγοις πείσειν, quod Thebani profecto facere non possent. Futura hic sunt pro præsentibus. Neque Ironia, emergens e lectione ἡμῶν, satis apta videtur gravitati et indignitati rei, de qua conquerantur Thebani. Baver.

Ὑμῶν] Codd. IV. dant ἡμῶν, quod vult capi Abr. εἰρων. Baverus negat, εἰρων. in

ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν, μήτε νεωτερίσειν ἔργῳ, λόγοις τε πείσειν ὥστε ἐξελθεῖν· ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπεκτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν· (κατὰ νόμον γὰρ δή τινα ἔπασχον) οὓς δὲ χεῖρας προϊσχομένους, καὶ ζωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν, παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; καὶ ταῦτα, τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυθεῖσαν ὁμολογίαν, καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον, καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπόσχεσιν, ἢν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν. ὅμως φατὲ ἡμᾶς παρανομῆσαι, καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦναι δίκην. οὐκ, ἤν γε οὗτοι τὰ ὀρθὰ γιγνώσκωσι. πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε.

ξζʹ. 67. "Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν, καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι, καὶ μὴ παλαιὰς ἀρετάς, εἴτινες ἄρα καὶ ἐγένοντο, ἀκούοντες ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι, διπλασίας ζημίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι· μηδὲ ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν, πατέρων τε τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι, καὶ τὴν σφετέραν ἐρημίαν. καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην, ὧν πατέρες, οἱ μέν, πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες, ἀπέθανον ἐν Κορωνείᾳ, οἱ δὲ πρεσβῦται λελειμμένοι, καὶ οἰκίαι ἔρημοι, πολλῷ δικαιοτέραν ὑμῶν ἱκετείαν ποιοῦνται,

Thuc. gravissimo scriptore. Sed v. cap. 62. h. libri ἡ ἡμετέρα κακία etc. Si retineatur vulgata, expl. citra multitudinis vestræ consensum. GOTTL.

Ante μήτε deesse ὑποσχομένοις videtur. Reisk. G.

Ἐν ὀλίγῳ] Abr. 339. citat Philol. ad Act. 26. 28. G.

Ἐν ὀλίγῳ] Locus Act. 26. 28. huc nil facit; ibi enim sign. fere, ex Ebr. כמצט hic autem sign. *uno tempore*, uno eodemque brevi facto. Aptius notetur participiorum usus, λυθεῖσαν ὁμολ. et ψευσθεῖσαν ὑπόσχεσιν, pro Subst. c. Genit. vel pro, τὸ λυθῆναι τ. ὁμολ. et τὸ ψευσθῆναι τ. ὑπόσχ. BAVER.

Punctum [sc. quod vulgo post ἀδικῶμεν scribitur] commate mutandum. ὅμως φατὲ regi a superiori πράξαντες v. 5. G.

Ἀδικῶμεν. ὅμως rel.] Comma ponendum videtur post ἀδικῶμεν, ut ὅμως pendeat a superiori, καὶ ταῦτα—πράξαντες. καὶ ταῦτα est, *idque*, et quidem, et vero. Certe, si ὅμως incipiat novam sententiam, καί, vel δέ, addatur. Idem vidit B. Gottl. BAVER.

Οὖκ, ἤν γε] Si Grammaticorum præcepta sequimur, potius scribendum est οὔκ cum Cass. Vid. Bud. Commentar. pag. 938. Nec male distinctio major poneretur post οὔκ. Stephanus supplet, *Minime vero impunitatem consequemini.* Puto sufficere, *Non ita;* ut in Virgil. II. Æn. 583. ubi Germanus observat, Euripidem et Sophoclem hoc dicere, οὐ δῆτα. DUCK.

Εἴτινες ἄρα καὶ ἐγένοντο] Mss. εἴ τις ἄρα καὶ ἐγένετο. non male. WASS.

Πρεσβῦται λελειμμ.] sc. υἱῶν. GOTTL.

τούσδε τιμωρήσασθαι. οἴκτου τε ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀνθρώπων. οἱ δὲ δικαίως, ὥσπερ οἵδε, τὰ ἐναντία ἐπίχαρτοι εἶναι. καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι. τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο· παρηνόμησάν τε, οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ δίκῃ κρίναντες, καὶ οὐκ ἀνταποδόντες νῦν τὴν ἴσην τιμωρίαν. ἔννομα γὰρ πείσονται, καὶ οὐχὶ ἐκ μάχης χεῖρας προϊσχόμενοι, ὥσπερ φασὶν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες. ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι, καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα· καὶ μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν. ποιήσατε δὲ τοῖς Ἕλλησι παράδειγμα, οὐ λόγων τούτοις ἀγῶνας προθήσοντες, ἀλλ' ἔργων· ὧν ἀγαθῶν μὲν ὄντων, βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ· ἁμαρτανομένων δὲ, λόγοι ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται. ἀλλ' ἢν οἱ ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς, κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει."

ξή. 68. Τοιαῦτα μὲν οἱ Θηβαῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι δικασταὶ, νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, "εἴτι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθόν τι πεπόνθασι," διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς

Τε] Leg. δέ. G.

Οἱ δὲ δικαίως] Subaud. e prox. πάσχοντές τι. G.

Οἵτε] Hic δὲ legi vult idem B. Gottl. qui supra ad I. contra me, idem tentantem, moneret, τε pro δὲ sæpius poni; quod et hic contra illius emendationem teneatur. Τὰ ἐναντία non potest non adverbii loco accipi, et debet. Baver.

Τὰ ἐναντία] Adverbialiter accipi Reisk. putat. G.

Ἐπίχαρτοι] Inter Thucyd. Glossas recensuit Pollux III. 101. At Sophocles in Trachin. Plato Epist. 8. vid. Hesychium. Wass. Paullo aliter Æschyl. Prometh. 157. Ἐχθροῖς ἐπίχαρτα πέπονθα. Schol. εὐφρόσυνα. Ἐπίχαρμα, quod Pollux ibid. e Posidippo adfert, et improbat, est etiam apud Theocrit. II. 20. καὶ τὶν ἐπίχαρμα τέτυγμαι. Duck.

Ἀλλ' ἢν etc.] Ordinem constituit Abresch. p. 341. Gottl.

Ἢν οἱ ἡγεμ. rel.] Ordo ab Abreschio constitutus, (ut pleraque hujus Viri,) durus est, et violentus. Immo Personæ sunt permutatæ, ποιήσησθε pro ποιήσωνται· illud datum est inserto, ὥσπερ ν. ὑμεῖς. Baver.

Ἀγαθόν τι] Particulam τὶ neque Mss. neque Edd. vett. habent. Sic mox ἐρωτῶντες, εἴτι Λακεδαιμονίους κ. τ. ξ. ἀγαθὸν ἐν τ. π. δεδρακότες εἰσιν. Vid. ad Cap. 52. In Gr. post πεπόνθασι, ac deinde post πεπονθέναι sunt distinctiones maximæ, in Cass. mediæ, notæ scilicet παρεμβολῆς· in qua et structura et sententia intricatissima atque obscurissima est. Nec multum juvant ad utramque expediendam versiones Interpretum, e quibus satis adparet, eos hic hæsisse. Sed in priore parte hujus παρεμβολῆς respicit haud dubie, quod etiam Scholiastes monet, ad illa Archidami II. 72. ἡσυχίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων· δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ, μηδ' ἑτέρους. Duck.

Ἄλλον χρόνον] v. L. II. 72. Gottl.

Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν, καὶ ὅτε ὕστερον, ἃ πρὸ τοῦ περιτειχίζεσθαι προΐσχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα· ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες, "εἴτε Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσὶν," ὁπότε μὴ φαῖεν, ἀπάγοντες ἀπέκτεινον· καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα. διέφθειραν δὲ Πλαταιέων μὲν αὐτῶν, οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ, πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν. τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Θηβαῖοι Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι, καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες Πλαταιέων περιῆσαν, ἔδοσαν ἐνοικεῖν. ὕστερον δὲ, καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων, ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν, πανταχῇ κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν· καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιέων ἐχρήσαντο· καὶ τοῖς ἄλλοις, ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες, ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκατόμποδον λίθινον ᾠκοδόμη-

Παυσανίου] v. L. II. 71, 72. Gottl.

Κατ' ἐκεῖνα] h. v. Abresch. non cum Schol. refert ad τὰ τοῦ Παυσανίου, sed quæ Archidamus nomine Laced. obtulerat. L. II. 72. at Platæenses repudiarant. Idem.

Οὐκ ἐδέξαντο] v. L. II. c. 72. Idem.

'Εξαίρετον] Recte Schol. ἐκβεβλημ. i.e. exemptum. v. Gloss. Idem.

'Ενιαυτόν τινα] Numeralibus frequenter jungit N. τις. v. c. III. διακοσίους τινὰς ἀπέκτειναν. Abr. 343. v. Gloss. Idem.

Πρὸς τῷ 'Ηραίῳ] De conditu hujus templi vide Plutarchi Aristidem. Huds. Πρὸς τῷ 'Ηραίῳ] Urbs, inquit Posidippus, qui ad Menandri tempora refertur, Ναοὶ δύ' εἰσὶ, καὶ στοὰ, καὶ τοὔνομα, Καὶ τὸ βαλανεῖον, καὶ τὸ Σηράμβου κλέος. Τὸ πολὺ μὲν ἀκτή. Urbem totam anno tertio ante Leuctricam pugnam a Thebanis, præter templa, excisam, narrat Pausanias IX. 1. Urbem condidit Polybus post Deucalionis tempora, inquit Etymologus voc. βουκέρας. Wass. Versus Posidippi de Platæis sunt in Dicæarcho pag. 14. Edit. Oxon. Excidium Platæarum, de quo Pausan. l. d. posterius fuit eo, quod hic memorat Thucydides, atque ipse Pausanias. Nam quum urbs per annos circiter XL. in ruinis jacuisset, deinde per pacem Antalcidæ restituta Olymp. XCVIII. rursus anno tertio ante pugnam Leuctricam, quæ in annum 2. Olymp. CII. incidit, a Thebanis eversa, sed a Philippo post prœlium ad Chæroneam, id est, post annum tertium Olymp. CX. instaurata est. Ita Pausanias. Plutarchus Aristid. p. 597. ab Alexandro, postquam Asia potitus erat, restitutam, tradit. Etiam ante bello Persico a Xerxe incendio deleta fuerat. Diodorus Sic. XI. p. 250. Duck.

'Οροφαῖς] Pollux VII. 121. ὀρόφοις καὶ θυρώμασι, Θουκυδίδης. Sed Mss. et Edd. omnes hic ὀροφαῖς exhibent. Utrumque est apud Aristophanem. Vid. Schol. ad. Nub. 173. Θυρώματα Scholiast. Demosth. in Midian p. 365. exponit σανίδας ἐπιτηδείας πρὸς θύρας. Gloss. θυρώματα, postes. Duck.

"Α—σίδηρος] Thom. Magister in ἔπιπλα. Wass. Docet ibi Thomas, quæ sint ἔπιπλα, de quo plura legi possunt in Lexicographis veteribus, Eustath. ad Homer. Od. γ'. p. 1469. et Interpretib. Pollucis X. 10. 'Εκατόμπεδος νεὼς in arce Athenarum, de quo agunt Scriptores ab Hudsono in Var. Lect. laudati, nihil commune habet cum eo, quem hic memorat Thucydides, nec quisquam dicit, hunc Παρθενῶνα vocatum fuisse. Duck.

σαν αὐτῇ. τὴν δὲ γῆν δημοσιώσαντες, ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους εἶναι. καὶ τὰ μὲν κατὰ Πλάταιαν, ἔτει τρίτῳ καὶ ἐννενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο, οὕτως ἐτελεύτησαν.

ξθ'. 69. Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων, αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους, ἔκ τε τῶν Ἀθηνῶν ἐπιδιωχθεῖσαι, καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι, [καὶ] ἀπ' αὐτῆς σποράδες, πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ Κυλλήνῃ τρισκαίδεκα τριήρεις Λευκαδίων καὶ Ἀμπρακιωτῶν, καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον Ἀλκίδᾳ ἐπεληλυθότα. ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες, ἐς τὴν Κέρκυραν πλεῦσαι, στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις, παρόντων Ἀθηναίων περὶ Ναύπακτον· πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν, ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ, τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα.

ό. 70. Οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ

Περὶ Πλατ.] Propr. Accus. debet esse. Itaque malit legi Abr. 345. πέρι, ut sit ordo περὶ τὸ ξύμπαν Πλατ. Gottl.

Quidni Genitivus ponatur, quî cum περὶ sit, *de* qua Platæenses? Abreschii ratio durior est; nec vero, περὶ accusativo postponi, memini, sed tantum Genitivo. Denique non insolentius dicatur, quam, quod sæpius dicitur, ἀνεχώρησαν ἐπ' οἴκου, pro οἶκον. B.

Ἀποτετρ. ἐγένοντο] Pro ἦσαν. v. Abr. 345. et Eundem ad Marc. I. 4. p. 551. Gottl.

Ὡς τότε, rel.] Nil attinet, ordinem mutaris, præsertim contra naturam struendi; commate posito post τότε, omnia expedito passu processerint. Σποράδες *statum* magis et conditionem ostendit, ut φυγάς. διασπαρεῖσαι est prius factum, cui consequens esset, ut jam essent σποράδες, vagæ, palantes. Bauer.

Καὶ ἀπ' αὐτῆς σποράδες] Scholiastes putat, καὶ hic abundare. Henr. Stephanus ad Corinth. de Dialect. pag. 33. sententiam illius referens non addit, quid sibi de ea videatur. Apertum est, orationem non cohærere. Si retinetur κατηνέχθησαν, copula hinc tollenda, et ante καταλαμβάνουσι ponenda est. Si κατενεχθεῖσαι scribas, utroque loco abesse potest καί; quamquam non omnino necessarium est, eam priore loco deleri. Et sic voluit, qui Cod. Cass. tractavit. Duck.

Σποράδες] Pro σπαρεῖσαι, aut διεσπαρμέναι. Ordinem loci et constituit Abresch. 346. Gottl.

Κυλλήνῃ] Ita Mss. et Noster p. 18. 189. 191. Theophrast. H. Plant. IV. 1. Artemidor. I. c. 47. Wass.

Ἐστασίαζον] Vid. Diodorum pag. 315. d. Wass.

Περὶ Ἐπίδαμνον] i. e. propter; recte Schol. v. Abresch. 348. Gottl.

Περὶ Ἐπίδ. ναυμ.] Nescio, cur non intelligatur, *circa* Epidamnum, in illa regione. Quid enim sit prœlium navale *propter* Epidamnum? Aut ubi solent historici *pugnis* memorandis, obiter præsertim addere caussam, tam remotam utique? *Bello* addunt

Κορινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ, ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ, πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι, ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας, πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι, κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι, ὥσπερ καὶ πρότερον. καὶ, ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν Ἀθηναίων, καὶ τοῦ δήμου προειστήκει, ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες εἰς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. ὁ δὲ, ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς τεμένους καὶ τοῦ Ἀλκίνου. ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο στατήρ. ὀφλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων, διὰ τὸ πλῆθος τῆς ζημίας, ὅπως

caussam, non prœliis. Bellum ortum erat et conflatum occasione Epidamni, immo Corcyræorum, non pugna navalis. BAVER.

Ὀκτακοσίων] Budæus in Commentar. pag. 79. et Stephanus in Thesaur. hunc loc. citantes retinent ὀκτακοσίων, et tamen vertunt *octoginta*. In his, quæ sequuntur, apud Thomam Mag. v. βούλομαι perperam legitur Κερκυραίοις Κόρινθον προσποιῆσαι. DUCK.

Ἐθελοπρόξενος] Explicat Pollux III. 59, 60. breviter Hesych. ἑκὼν πρόξενος. Sic ἐθελόκακος Dionys. Halic. ἐθελόπονος Xenoph. WASS.

Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν] Hinc refellas licet Solœcisten Luciani in fin. inter καταδουλοῦσθαι et καταδουλοῦν hoc discrimen statuentem: τὸ καταδουλοῦσθαι μὲν ἑτέρῳ, τὸ καταδουλοῦν δ' ἑαυτῷ γίγνεται. Et vanam esse observationem, ostenderunt Schol. Luciani e loco Isocratis, qui est in Evagor. p. 192. Ed. Steph. et Græv. e Thucyd. VIII. 46. DUCK.

Καταδουλοῦν] v. Gloss. GOTTL.

Ἐκ τοῦ τε Διὸς] Non male Mss. ἐκ τοῦ τε Διὸς τοῦ τεμένους. WASS. Sic Cap. 81. ἐν τοῦ Διονύσου τῷ ἱερῷ. Nota est hæc apud veteres religio lucorum, quam violatam dicebat Pithias. Vid. Ovid. VIII. Metam. 741. seqq. et IV. Fast. 753. ibique Neapol. Hinc sæpe in *Ovidio, incæduus lucus*, et *incædua silva*. Athenienses pœnam capitis statuerant in eos, qui vel minimam ilicem e luco Heroum excidissent. Ælian. V. Var. Hist. 17. DUCK.

Ἀλκίνου] Etsi hoc nomen frequentius sine contractione scribitur, tamen non desunt exempla in contrarium. Ἀλκίνους, Ἀλκίνουν, de hoc Alcinoo Conon Narrat. 3. apud Photium. Ἀλκίνου Ælian. XII. Var. Hist. 25. Ἀλκίνῳ Athen. I. 8. et Ἀλκίνους I. 11. Sic alius Ἀλκίνους apud Apollodor. III. 10. et Pausan. VI. 1. Itaque non adparet causa, cur Viri Docti id hoc loco, contra omnes libros srciptos et edd. mutare voluerint Scholiast. Theocriti in IV. Idyll. 32. Ἄλκιμος, καὶ Κρότων Αἰακοῦ υἱοί. καὶ ὁ μὲν ἐβασίλευσε τῶν Κερκυραίων, ὁ δὲ ἐν Σικελίᾳ ἔκτισε Κρότωνα. Lego, Ἀλκίνοος, vel Ἀλκίνους, καὶ Κρότων, Φαίακος υἱοί. Nam non Æacus, sed, ut auctor est Conon l. d. Phæax pater Alcinoo fuit, a quo Corcyra, regnum Alcinoi, Phæacia, et incolæ Phæaces. Quod Schol. Theocr. Crotonem in Sicilia locat, id Berkelius ad Stephan. in Κρότων, Cluverium sequutus, de Magna Græcia Italiæ accipit. Sed ita non succurritur Stephano, qui sic ex una urbe duas faciet. Ceterum qui Scholiastæ Theocriti Κρότων est, eum Conon Locrum vocat, et Locros, urbem Italiæ, ab eo nomen accepisse dicit. Sed cum Scholiasta faciunt Ovidius XV. Metam. princ. et Iamblich. de Vit. Pythag. Cap. IX. In Conone quoque pro Λατῖνος, a quo Locrum hospitio exceptum tradit, e Schol. Theocriti legendum puto Λακῖνος, et e Servio ad Virg. III. Æn. 552. Add. Holsten. ad Steph. in Λακίνιον. D.

Καθ' ἑκάστην χάρακα] Ad notam Hudsoni in Var. Lection. add. quos laudat Jungermann. ad Polluc. I. 162. et Thom Magistrum. DUCK.

ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὢν) πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. οἱ δ', ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο, καὶ ἅμα ἐπυνθάνοντο, τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστι, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσταντό τε, καὶ λαβόντες ἐγχειρίδια, ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες, τόν τε Πειθίαν κτείνουσι, καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν, ἐς ἑξήκοντα. οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ, ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον, ἔτι παροῦσαν.

οά. 71. Δράσαντες δὲ τοῦτο, καὶ ξυγκαλέσαντες Κερκυραίους, εἶπον, ὅτι ταῦτα καὶ βέλτιστα εἴη, καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ' Ἀθηναίων· τό, τε λοιπὸν μηδετέρους δέχεσθαι, ἀλλ' ἢ μιᾷ νηῒ, ἡσυχάζοντας. τὸ δὲ πλέον, πολέμιον ἡγεῖσθαι. ὡς δὲ εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην. πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις, περί τε τῶν πεπραγμένων διδάξοντας, ὡς ξυνέφερε, καὶ τοὺς ἐκεῖ καταπεφευγότας πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται.

οβ'. 72. Ἐλθόντων δὲ, οἱ Ἀθηναῖοι τούς τε πρέσβεις, ὡς νεωτερίζοντας, ξυλλαβόντες, καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν. ἐν δὲ τούτῳ, τῶν τε Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα, ἐλθούσης τριήρους Κορινθίας, καὶ Λακεδαιμονίων πρέσβεων, ἐπιτίθενται τῷ δήμῳ· καὶ μαχόμενοι ἐνίκησαν. ἀφικομένης δὲ νυκτὸς, ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει, καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύνθη. καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον. οἱ δὲ τήν τε ἀγορὰν κατέ-

Ὅπως ταξάμενοι ἀποδῶσιν] Pensionibus, hoc est, τεταγμέναις ταῖς καταβολαῖς, Budæus in Commentar. pag. 639. ubi Thucydidem eadem ratione hoc verbo uti ostendit III. 50. οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν. Sic I. 99. οἱ πλείους αὐτῶν χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν. Ibid. Cap. 101. χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι, καὶ τολοιπὸν φέρειν. Et Cap. 117. Καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Pollux I. 169. χρήματα ταξάμενοι. Duck.

Βουλῆς] Suidas habet βουλὴς, sed male; est enim pro βουλαίας. Wass. Add. Port. in Notis Hudsoni ad Scholiast. Paullo post pro Ἀθηναίους, quod sine dubio vitio operarum in Edit. Hudsoni venerat, e scriptis et edd. reposui Ἀθηναίοις. In Dan. fortassis est Ἀθηναίους: nam ex eo nulla varietas scripturæ adnotata erat. sed non habenda est illius ratio. Gr. Ἀθηναίους, et inter versus Ἀθηναίοις. Duck.

Ἱδρύνθη] Ἱδρύθη hic legit Thom. Magister cum libris scriptis. Eadem varietas supra aliquoties adnotata est. Duck.

Ὑλλαϊκόν] Etiam Scholiast. Apollon. IV. Argon. 1149. Ὑλλικὸς λιμὴν παρὰ Φαίαξι. Ὑλαϊκὸν ex Nostro citat Dion. Halic. p. 150. Wass. Vid. infr. Cap. 81. et Palmer.

λαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ τὸν λιμένα τὸν πρὸς αὐτὴν καὶ πρὸς αὐτὴν τὴν ἤπειρον.

ογ΄. 73. Τῇ δ᾽ ὑστεραίᾳ, ἠκροβολίσαντό τε ὀλίγα, καὶ ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι, τοὺς δούλους παρακαλοῦντές τε, καὶ ἐλευθερίαν ὑπισχνούμενοι. καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον· τοῖς δ᾽ ἑτέροις, ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

οδ΄. 74. Διαλιπούσης δ᾽ ἡμέρας, μάχη αὖθις γίγνεται· καὶ νικᾷ ὁ δῆμος, χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ, καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι, μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν, καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς, καὶ τὰς ξυνοικίας, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας, οὔτε ἀλλοτρίας. ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη, καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. καὶ οἱ μὲν, παυσάμενοι τῆς μάχης, ὡς ἑκάτεροι ἡσυχάσαντες, τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία ναῦς, τοῦ δήμου κεκρατηκότος, ὑπεξανήγετο, καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν.

οέ. 75. Τῇ δ᾽ ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διϊτρέφους, Ἀθηναίων στρατηγὸς, παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ, καὶ Μεσσηνίων πεντακοσίοις ὁπλίταις. ξύμβασίν τε ἔπρασσε, καὶ πείθει ὥστε ξυγχωρῆσαι ἀλλήλοις, δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν· τοὺς δ᾽ ἄλλους οἰκεῖν, σπονδὰς πρὸς ἀλλήλους ποιησαμέ-

Græc. Ant. II. 10. Duck.

Πρὸς αὐτήν] Πρὸς αὐτῇ eleganter libri scripti. Wass.

Ξυνοικίας] Οἰκίαν et συνοικίαν conjungit etiam Harpocration in Ναύκληρος: Ναύκληρος οὐ μόνον—ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας, ἢ συνοικίας. Ammonius ita distinguit: Οἰκία, ἡ ὑπὸ ἑνὸς, ἡ ὑπὸ ἑτέρου κατοικουμένη· συνοικία δὲ ἡ πολλοῖς, καὶ μισθουμένη. Itaque συνοικίαι pluribus per partes locabantur, ut Romæ insulæ. Unde Gloss. συνοικία, *insula*, et ἐνοικολόγος, *insularius*; qui Harpocrationi ναύκληρος. Add. Jungermann. ad Polluc. IX. 39. et Casaub. ad Athen. VII. 1. Duck.

Οἰκείας—ξυνοικίας] v. Gloss. Gottl.

Ἔφοδος] Non tam est ἐπέλευσις, impressio, cum Schol. quam aditus, accessus. Abresch. 348. Gottl.

Καὶ ἡ π.—διαφθαρῆναι] Thom. Magist. in βούλομαι. Mox Cod. Ar. pro ἐπεγένετο male ἐγένετο. Supra II. 77. πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ (nempe φλογὶ, ut bene Schol.) ἐπίφορον, οὐκ ἂν διέφυγον. Ὡς ἑκάτεροι sic dicit, ut sæpe ὡς ἕκαστοι. Duck.

νους καὶ πρὸς Ἀθηναίους, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. καὶ ὁ μὲν, ταῦτα πράξας, ἔμελλεν ἀποπλεύσεσθαι. οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν, πέντε μὲν ναῦς τῶν αὑτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἐν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν, ξυμπέμψειν. καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ, τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. δείσαντες δὲ ἐκεῖνοι, μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν Διοσκούρων ἱερόν. Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο. ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος, ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε, καὶ αὐτῶν τινὰς, οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. ὁρῶντες δ' οἱ ἄλλοι τὰ γιγνόμενα, καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. ὁ δὲ δῆμος, δείσας, μή τι νεωτερίσωσιν, ἀνίστησί τε αὐτοὺς πείσας, καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

οϛʹ. 76. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν, αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες, μετὰ τὸν ἐκ τῆς Ἰωνίας πλοῦν, ἔφορμοι οὖσαι, παραγίγνονται τρεῖς καὶ πεντήκοντα. ἦρχε δὲ αὐτῶν Ἀλκίδας, ὥσπερ καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. ὁρμισάμενοι δὲ ἐς Σύβοτα, λιμένα τῆς ἠπείρου, ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ.

οζʹ. 77. Οἱ δὲ, πολλῷ θορύβῳ, καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν, παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς, καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι, καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι· ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς ηὐτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ ἐμπλέοντες ἐμάχοντο. ἦν δὲ

Ἦρχε—ἐπέπλει] Quem c. 69. ξύμβουλον scripserat Alcidæ ἐπεληλυθότα, hic dicit ἐπιπλέοντα, utrumque breviter pro πλέοντα et ἐληλυθότα ἐπ' αὐταῖς, navibus præfectum. v. Abresch. 350. cf. Gloss. Gottl.

Καὶ πεφοβημένοι—καὶ τὸν ἐπίπλουν] Hic non abundare copulam καὶ quod putat Corinthus, ostendit Stephanus in Animadvers. ad Lib. de Dilect. pag. 33. Pro τά τ' ἐν Idem Corinthus habet τά τε ἐν, et mendose ἀπόπλουν, et νῆες. Illa παραινούντων—ἐκπλεῦσαι citat Th. in βούλομαι, omissa particula τε. D.

οὐδεὶς κόσμος τῶν ποιουμένων. ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχὴν, εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων· ὧν ἦσαν αἱ δύο, Σαλαμινία καὶ Πάραλος.

οηʹ. 78. Καὶ οἱ μὲν Κερκυραῖοι, κακῶς τε καὶ κατ᾽ ὀλίγας προσπίπτοντες, ἐταλαιπωροῦντο καθ᾽ αὑτούς· οἱ δ᾽ Ἀθηναῖοι, φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύκλωσιν, ἀθρόαις μὲν οὐ προσέπιπτον, οὐδὲ κατὰ μέσον ταῖς ἐφ᾽ ἑαυτοὺς τεταγμέναις· προσβαλόντες δὲ κατὰ κέρας, καταδύουσι μίαν ναῦν. καὶ μετὰ ταῦτα, κύκλον ταξαμένων αὐτῶν, περιέπλεον, καὶ ἐπειρῶντο θορυβεῖν. γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις, καὶ δείσαντες, μὴ, ὅπερ ἐν Ναυπάκτῳ, γένοιτο, ἐπιβοηθοῦσι· καὶ γενόμεναι ἀθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθηναίοις ἐποιοῦντο. οἱ δ᾽ ὑπεχώρουν, ἤδη πρύμναν κρουόμενοι· καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προκαταφυγεῖν, ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων, καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. ἡ μὲν οὖν ναυμαχία, τοιαύτη γενομένη, ἐτελεύτα ἐς ἡλίου δύσιν.

οθʹ. 79. Καὶ οἱ Κερκυραῖοι, δείσαντες, μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν, ὡς κρατοῦντες οἱ πολέμιοι, ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν, ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλαι ἐς τὸ Ἡραῖον διεκόμισαν, καὶ τὴν πόλιν ἐφύλασσον. οἱ δ᾽ ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι, κρατοῦντες τῇ ναυμαχίᾳ, τρεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες τῶν Κερκυραίων, ἀπέπλευσαν ἐς τὴν ἤπειρον, ὅθενπερ ἀνηγάγοντο. τῇ δ᾽ ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμνην τὸ ἀκρωτήριον ἀποβάντες, ἐπόρθουν τοὺς ἀγρούς.

Δὲ] Reisk. conji. δὴ pro δέ. Sed in anim. p. 31. nil monuit de h. corr. Gottl.

Ὧν ἦσαν] Trajectio notanda articuli in plur. pro *bis* ponendo in singul.—ὧν ἦσαν δύο, ἥ τε Σ. καὶ Π. v. Abresch. 353. Gottl.

Πάραλος] Adeas Ulpianum in Demosth. Mid. p. 216. c. Wass.

Πάλαι] Quidam Codd. πάλιν. Potest πάλαι accipi pro prius, ac de quovis tempore præterito. Abresch. 353. Gottl.

Τρεῖς δὲ καὶ δέκα] Mss. τρισκαίδεκα. Vide Nos ad I. 29. Wass. De phrasi πρύμναν κρούεσθαι est Lib. I. Cap. 50. Duck.

Ἐπὶ μὲν τὴν πόλιν—ὄντας] De hoc genere loquendi non minus Latinis, quam Græcis, in nominibus collectivis usitato, agit Stephanus Animadv. in Lib. de Dialect. p. 30. De οὐδὲν μᾶλλον pro οὐ, vid. ad II. 70. D.

Λευκίμνην] Ita Lib. I. Cap. 30, 31. corrupte apud Strabonem κατὰ τὴν Λευκίμμην. aliter Plin. Ptolemæus λεύκιμμα, et in Ms. Coislin. etiam corruptius λεύκιμα. λεύκιμμα

πʹ. 80. Ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ, περιδεὴς γενόμενος, μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ἦεσαν ἐς λόγους, καὶ τοῖς ἄλλοις, ὅπως σωθήσεται ἡ πόλις. καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐμβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα, προσδεχόμενοι τὸν ἐπίπλουν. οἱ δὲ Πελοποννήσιοι, μέχρι μέσου ἡμέρας δῃώσαντες τὴν γῆν, ἀπέπλευσαν, καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων, προσπλέουσαι ἀπὸ Λευκάδος· ἃς οἱ Ἀθηναῖοι, πυνθανόμενοι τὴν στάσιν, καὶ τὰς μετ᾽ Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν, ἀπέστειλαν, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν.

παʹ. 81. Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ᾽ οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ, αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς ποσπλεούσας, τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας· καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες, ἃς ἐπλήρωσαν, ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν, ὅσους ἔπεισαν ἐσβῆναι, ἐκβιβάζοντες, ἀπεχώρησαν· ἐς τὸ Ἡραῖόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν, καὶ κατέγνωσαν ἁπάντων θάνατον. οἱ δὲ πολλοὶ τῶν

πίναξ γυψώδης. WASS. Ita quidem est in Etymol. M. sed corrupte pro λεύκωμα, ut recte Sylburgius. Gloss. λεύκωμα, *album*. add. Suid. in λεύκωμα. DUCK.

Ἐμβῆναι] Mss. ἐσβῆναι, ut infra p. 500. 3. WASS. Vid. Thom. Mag. DUCK.

Κερκυραῖοι δὲ—Λακεδαιμονίους] Dion. Halic. p. 150. WASS. Dionysius Thucydideam rei apud Corycræos gestæ narrationem laudat, ut perspicuam, brevem, et plenam; quæ de communibus Græcarum civitatum malis addit, ea, tamquam tragica, et obscuros atque implicitos verborum ac sententiarum nexus habentia, et a communi usu sermonis abhorrentia, reprehendit. DUCK.

Εἴ τινα] i. e. ὅν τινα. v. Gloss. GOTTL.

Ἀπεχώρησαν] Cl. in marg. ἀπεχρῶντο ἐς τὸ Ἡρ. non male, adhibita tantum distinctione. WASS. E vulgata scriptura, quidquid eam Portus torqueat, nihil boni sensus elici potest. Eam, quæ in marg. Cod. Cl. notata est, confirmat Suidas; Θουκυδίδης ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄρουν. Idem ex Aristoph. Lemniis, quem locum etiam ante oculos habuit Pollux IX. 154. adfert, τοὺς ἄνδρας ἀπεχρήσαντο, pro διεχρήσαντο καὶ ἀπέκτειναν. Pollux VIII. 74. ἐπὶ τοῦ ἀνελόντος ῥητέον, ἀνεῖλεν—ἀπεχρήσατο. Et Hesych. ἀπεχρήσαντο, ἀπέκτειναν. Thucydidem eadem significatione dixisse ἀνεχρήσαντο, scribit Suidas. Hoc Kustero suspectum est: sed sic quoque Pollux l. d. ubi vid. quæ adnotant Doctiss. Interpretes. De varietate scripturæ voc. Ἡραῖον agit Sylburg. ad Dionysium. DUCK.

Ἀπεχώρησαν] Melior lectio: ἀπεχρῶντο, l. ἀνεχρήσαντο, l. ἀνεχρῶντο, et idem valet ac διαχρῆσθαι. vid. Abresch. 354. GOTTL.

Κατέγνωσαν] Forsan pertinet huc Glossa Hesych. κατέγνωσαν, κατέλεξαν, ut scripserit f. κατήλεγξαν. GOTTL.

Πάντων] Ἁπάντων cum D. Halic. p. πάντων lego, quod et auribus facit, et hujus vehementiæ congruit, et ab eodem passim adhibetur; quemadmodum et Oratoribus Atticis. Hoc loco valet *omnes omnino*, universos. WASS. Ex auctoritate Cl. Wass. qui

ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο· οἱ δ', ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. ἡμέρας τε ἑπτὰ, ἃς ἀφικόμενος Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινεν, οἱ Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων· πᾶσά τε ἰδέα κατέστη θανάτου· καὶ, οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ, τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω. καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο· οἱ δὲ τινὲς καὶ περιοικοδομηθέντες ἐν

deleto in contextu πάντων, pro eo in marg. ἁπάντων posuerat, hoc receptum est. D.

Ἀνηλοῦντο] Suidas ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες, Θουκυδίδης. Et, ἀνήλευται, πεφόνευται. Æschyl. Sept. cont. Theb. 819. Αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος. Schol. ἀπόλλυσι. D.

Εὐρυμέδων] Dionys. Halic. bene ὁ Εὐρυμέδων. WASS.

Τοῖς τὸν δῆμον καταλύουσιν] Etsi non magnopere probo sententiam Porti τοῖς pro αὐτοῖς poni putantis, quod frequentius pro τούτοις dicitur, et ἐν τοῖς, pro ἐν τούτοις· vid. ad Cap. 17. hujus Libri; tamen consentientibus libris in hanc scripturam nihil tentandum est. Sed credo alios potius dicturos fuisse, αἰτίαν ἐπιφέροντες, ὡς, vel αἰτίαν ἐπιφέροντες αὐτοῖς, ὡς τὸν δῆμον καταλύουσιν. Nam αἰτία sæpe post se habet particulam ὡς cum participio. Thucyd. II. 59. τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν. Dionys. Halicarn. VIII. 81. καὶ ἐν αἰτίᾳ τοὺς προτέρους εἶχον δημάρχους, ὡς προδεδωκότας τὸ κοινόν. Herodian. IV. 6. τήν τε Κομμόδου ἀδελφὴν—ἀπέκτεινεν, αἰτίαν ἐπαγαγὼν, ὡς δακρυσάσῃ παρὰ τῇ μητρί. Καταλύειν τὸν δῆμον ea significatione, quam hic expressit Interpres, non raro legitur apud Thucydidem, et alios. Aristotel. V. Politic. 5. aliquoties sine discrimine dicit καταλύειν τὸν δῆμον, et καταλύειν τὴν δημοκρατίαν. Contenderunt inter se de versione Latina hujus phraseos Heraldus II. Observat. et Emend. 49. et Salmasius Observat. ad Jus Attic. et Roman. Cap. X. p. 296. Ei, quod in fine Cap. dicit, ἐν τοῖς πρώτη ἐγένετο, simile est I. 6. ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι— ubi tamen Stephanus præferebat πρώτοις. DUCK.

Τοῖς τ. δ. καταλύουσιν] Τοῖς pro αὐτοῖς. v. Abresch. p. 354. GOTTL.

Τοῖς τ. δ. καταλ.] Nil expedit, observasse τοῖς pro αὐτοῖς positum; nam h. l. alienum est; ubi enim ὁ cum Participio ponitur pro αὐτός; nec tamen structuram expedit, cui tunc desit ὡς· eos criminabantur, quasi qui solverent (solutum irent, solvere vellent) populi imperium. Immo vis est in voc. τὴν αἰτίαν· his, qui solutum irent populi potestatem, directo et palam intendebant crimen; quod et μὲν additum monstret; cui opponatur δέ· ἀπέθανον δέ τινες ἰδίας ἔχθρ. ἕνεκα, quidam et privato odio, nullo crimine, suo nomine, (ut Cic. loquiturp. Mur.) interfecti. δῆμος hic sign. democratiam et καταλύειν, *velle*, conari dissolvere. BAVER.

Πᾶσά τε ἰδέα] Hæc imitatione sua atque exemplo comprobant Sallustius, et Virgilius. Sallust. Jug. XLVIII. postremo, quæcumque *dici*, aut *fingi* queunt ignaviæ, luxuriæque probra, in illo exercitu *cuncta* fuere, et *alia amplius*. Virgil. Æn. II. 369. "crudelis ubique Luctus, ubique pavor, et *plurima* mortis *imago*." WASS.

Ἰδέα θανάτου] Sæpe ita, et peculiare loquendi genus est N. auctore Steph. in Thes. T. I. p. 1107. v. Abresch. 355. v. Gloss. G.

Ἰδέα θαν.] Ita Virgil. *plurima mortis imago*; et Tacit. in Histor. *omnis imago mortium*. Neque Herodoto infrequens ἰδέα pro *modo*, ratione rei gerundæ. BAVER.

Καὶ ἔτι περαιτέρω] Adnotat Casaub. ad Dionys. Halic. p. 36. adfine esse hoc Dionysii XI. 39. δεινὰ καὶ πέρα δεινῶν. DUCK.

Περιοικοδομηθέντες] Conf. huc, quæ de hac voc. deque κατοικοδομεῖν et ἐγκατοικοδομεῖν adnotat Valesius ad Harpocrat. in κατῳκοδόμησεν. Περιοικοδομεῖν etiam recte vertas *muro includere*. Hygin. Fab. LXIII. de Danaë: *Acrisius eam in muro lapideo præclusit*. Sed in eo, quod ibi adfert Vales. ex

τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. οὕτως ὠμὴ στάσις προὐχώρησε· καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο.

πβ′. 82. Ἐπεὶ ὕστερόν γε καὶ πᾶν, ὡς εἰπεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ, τοῖς τε τῶν δήμων προστάταις, τοὺς Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις, τοὺς Λακεδαιμονίους· καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν, οὐδ᾽ ἑτοίμων παρακαλεῖν αὐτούς· πολεμουμένων δὲ, καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει, καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει, ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τὶ βουλομένοις ἐπορίζοντο. καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν, καὶ αἰεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, μᾶλλον δὲ, καὶ ἡσυχαίτερα, καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι, διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος, ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ᾽ ἡμέραν, βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερί-

Apollodori II. 5. princ. de pugna Herculis cum leone Nemeæo, *αὐτοῦ (τοῦ σπηλαίου) τὴν ἑτέραν ἀνῳκοδόμησεν εἴσοδον*, mihi suspectum est *ἀνῳκοδόμησεν*. Lycurgus Rhetor quidem Orat. advers. Leocratem de Pausania, Duce Græcorum ad Platæas, agens p. 183. Edit. Hanov. itidem scribit, *τὴν θύραν ἀνοικοδομήσαντες*, quod Interpres vertit *januam instaurantes*: sed hoc quoque in mendo cubare mihi persuadeo. Nam Thucyd. I. 134. de ea re dicit. *καὶ τὰς θύρας ἀπῳκοδόμησαν*. Diodor. Sicul. XI. 265. *λέγεται τοὺς Λακεδαιμονίους ἐνοικοδομῆσαι τὴν εἴσοδον*. Et Polyæn. VIII. 51. *τὸν προδότην ἐναποικοδομήσαντες διέφθειραν*. Duck.

Περιοικοδ.] Abresch. refutat Duck. negantem, *ἀνοικοδομεῖν* esse *obstruere*, p. 355. Dil. v. Gloss. Gottl.

Διαφορῶν] v. Heilm. 417. Gottl.

Τοῖς τῶν δήμων προστάταις] Aristotel. V. Politic. 7. *Οἱ μὲν γὰρ Ἀθηναῖοι πανταχοῦ τὰς ὀλιγαρχίας· οἱ δὲ Λάκωνες τοὺς δήμους κατέλυον*. Duck.

Ἐπάγεσθαι] Abresch. infinit. positum putat pro: *ὥστε ἐπάγεσθαι*. 357. aut facit cum Duck. *διὰ τὸ ἐπ*. Structuram dato l. Abresch. expl. Gottl.

Ἕως ἂν] Locum imitatione expressit Agath. I. p. 6. Gottl.

Ἡσυχαίτερα] Thomas Mag. auctoritate hujus loci rejicit comparativum *ἡσυχώτερος*, qui est in Gr. Sed emendandum est apud eum vitium scripturæ *διειλαγμένα*, quod etiam Ed. Colin. obsidet. Duck.

Μᾶλλον etc.] In *μᾶλλον δὲ* intelligi posse, ut credit Portus, *καὶ ἧσσον*, non probat Abresch., qui scriptum fuisse credit *μᾶλλον δὲ καὶ ἧσσον ἡσυχ*. Litterarum adfinitatem obfuisse *τῷ ἧσσον*. Ita manifeste Schol. legisse. Reisk. *μᾶλλον δέ τι καὶ ἡσυχαίτερα*. Gottl.

Μᾶλλον δὲ καὶ ἡσυχ.] Simplicissime dixeris, et ex more Nostri, adverbium *μᾶλλον* esse pro adjectivo, *μείζω*· ut L. 2. *φθορὰ οὕτως ἀνθρώπων*, pro *τοιαύτη*· *καὶ* deinde sit pro *ἤ*. Bauer.

Τοῦ καθ᾽ ἡμέραν] Sc. *βίου*. Abresch. probat Schol. Vocem addit Æsch. contra Timarch. p. 25. *τὸν καθ᾽ ἡμέραν βίον ζῇ ὁ κρινόμενος*. Gottl.

Τὰς ὀργὰς] i. e. affectiones hominum vulgarium efformat ad tempora. Gottl.

Ὁμοιοῖ] Reisk. *ἀλλοιοῖ*, alias facit, quam olim erant. Dil. 361. G.

Ἐστασίαζε] Corrupte, qui hæc damnat, D. Halic. p. 150. *ἐστασίαζον* civit. Infra tamen recte, *τὴν εἰωθυῖαν τῶν ὀνομάτων ἀξίω-*

ζοντά που, πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθὴς, δειλία εὐπρεπής. τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα. καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπίπαν ἀργόν. τὸ δ' ἐμπλήκτως ὀξὺ, ἀνδρὸς μοίρᾳ προσετέθη. ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος. ἐπιβουλεύσας δέ τις, τυχὼν, ξυνετὸς, καὶ ὑπονοήσας, ἔτι δεινότερος. προβουλεύσας δὲ, ὅπως μηδὲν αὐτῶν δεήσοι, τῆς τε ἑταιρίας διαλυτὴς, καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ, ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾷν, ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας

σιν ordine paulo venustiore haud semel exhibet. Cæterum hæc gravissimo Script. Sallust. minime displicuerunt. Vide nos ad Catilin. LVI. Adde Aristotelem Rhet. I. 9. p. 724. Philonem de Fortitud. p. 571. Plutarchum in Solone p. 86. Lucret. IV. 1154. Tacitum Agric. XXI. Wass. Dionysius Halic. l. d. partem hujus digressionis de seditionibus urbium Græcarum, usque ad verba ἐπὶ δὲ τῷ ἀγάλλονται, adcurate examinat, et, quid in singulis prope periodis reprehendi mereatur, ostendit. Duck.

Τὴν εἰωθυῖαν ἀξίωσιν] Henr. Stephanus in Append. ad Script. de Dial. p. 200. dicit, hunc locum pertinere ad ὑποκορισμὸν Atticorum, qui rebus turpibus honesta, odiosis minus invidiosa nomina imponere solebant. Sed Thucydides hic non tantum de Atheniensibus, verum de omnibus, qui in civitatibus Græcis Remp. tractabant, agit. D.

Τὴν εἰωθυῖαν—ἀργόν.] Laudat Plutarch. de Adul. p. 56. vid. nos ad Sallust. Orat. Catonis. Eadem ad δικαιώσει D. Hal. pag. 151. qui τὴν εἰωθ. τῶν ὀν. ἀξ. non male. Wass.

Τόλμα—ἀργόν.] Dionys. Halicarn, p. 136. ubi ἀνδρεία scribit, et πρόσχημα τοῦ ἀνάνδρου; proque προσάπαν εἰσάπαξ. non recte. Idem p. 151. editis. Et pag. 164. τόλμα μὲν, omisso γάρ. Τόλμα—πρόσχημα. Hermogenes I. περὶ Ἰδεῶν 6. qui ἀπρεπής. hinc corrigendus. Wass. Ἀνδρεία etiam Plutarch. l. d. et Aristid. de Dict. Civ. pag. 172. D.

Ἀσφάλεια—ὕποπτος] Dion. Halic. l. d. dein, ἐπιβουλεύσας—ἐκπεπληγμένος: ubi τυχών τε ξυν. eo quo Virgilius sensu, "Ausi omnes inmane nefas, *ausoque* potiti." Hanc Dion. lectionem nimis calide damnat Cl. Hudsonus; nam neque auctori, neque loco huic disconvenit, et e Dionysii interpretatione patet, ita eum legisse. Wass. Quæ de ἀσφάλεια adnotat Hudsonus in Var. Lect. descripta sunt e Notis Sylburgii ad Dionysium. E Scholiastæ verbis non satis aperte colligi potest, eum legisse ἀσφαλείᾳ: et quum alia in casu recto ponantur, non videtur esse idonea ratio, cur is hic mutari debeat in obliquum. Τὸ ἐπιβουλεύσασθαι quidem vice nominativi fungi potest; sed id non convenit hujus generis orationi, quæ, Hermogene judice, nomina postulat, non verba. Pro τὸ autem fortassis non pejus legatur τοῦ, quod quidam Codd. habent. Duck.

Ἐπιβουλεύσασθαι] Reisk. malit ἐπιβουλεῦσαι· eique Thucyd. videtur scripsisse: ἀσφ. τε τὸ ἐπιβουλεῦσαι καὶ τὸ σφάλλεσθαι ἀποτροπῆς, etc. vid. Dil. 361. Gottl.

Χαλεπαίνων] Reisk. πᾶν ἐπαινῶν. Fidus erat, qui alterius omnia laudaret— Gottl.

Αὐτῷ] Reisk. tentat ἄν τῳ aut αὖ τῳ, alicui. Gottl.

Τυχὼν ξυνετὸς, καὶ ὑπονοήσας] Dion. Halic. p. 151. et 164. τυχών τε ξυνετὸς, quod melius esse et sensum magis explere existimat Sylburgius. Ὑπονοήσας a quibusdam exponi προνοήσας; sed se hanc expositionem non libenter admissurum scribit Stephanus App. ad Script. de Dial. pag. 186. Dionysius tamen p. 151. ita interpretatur: καὶ οἱ τὰς ἐπιβουλὰς προεπινοοῦντες, εἰ φυλάξαιντο, ἔτι δεινότεροι. Et sequentia προβουλεύσας cet. ὁ δὲ προειδόμενος, ὅπως μηδὲν αὐτῷ δεήσει μήτ' ἐπιβουλῆς, μήτε φυλακῆς. Duck.

Ἁπλῶς—τολμᾷν] Et postea, οὐ γὰρ—πλεονεξίᾳ Dionys. Halic. p. 151. Wass.

τὸν μὴ διανοούμενον. καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν. οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο, ἢ τῷ κοινῇ τι παρανομῆσαι. τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προύχοιεν, καὶ οὐ γενναιότητι. ἀντιτιμωρήσασθαί τε τινὰ, περὶ πλείονος ἦν, ἢ αὐτὸν μὴ προπαθεῖν. καὶ ὅρκοι εἴπου ἄρα γένοιντο ξυναλλαγῆς ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν. ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢν ἀπὸ τοῦ προφανοῦς. καὶ τό τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι, ἀπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσελάμβανε. ῥᾷον δ' οἱ πολλοὶ, κακοῦργοι ὄντες, δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. πάντων δ' αὐτῶν αἴτιον ἡ ἀρχὴ, ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν, καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς, καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ, λόγῳ θεραπεύοντες, ἆθλα ἐποιοῦντο,

Πλεονεξίᾳ] Reisk. —ξίας, et excidisse ἐπόριζον l. ἐζήτουν. Abresch. 373. Gottl.

Θείῳ νόμῳ] Reisk. vult: θείᾳ ἢ νόμῳ. G.

Τά τε—ἐναντίων] Sensum tradidit Abresch. 362. "Heilm. annehmliche Erklärungen vom Gegentheil wurden angenommen, in sofern man sich ohnehin *in genugsamer Verf assung* besand, und nicht aus edelmüthigem Vertraven." Φυλακῇ ἔργων non videtur expressum. Φυλακὴ pro cautione sumitur ab Abr. l. c. Idem.

Ἔργων φυλ.——γενναιότ.] Γενναιότης est æquitas, liberalitas, argumentis æquis vinci et cedere parata; ἐπιείκειαι. Commate posito post φυλακῇ, sensus fuerit: ab adversariis dicta, si potiora, veriora, firmiora, æquiora essent, quam ipsi afferre possent, accipiebant, probabant, valere patiebantur, metu periculi et mali exitus, non veri aut æqui cura. Baver.

Καὶ ὅρκοι—δύναμιν] Dionys. Hal. p. 151. ubi ἐγίγνοντο, et γένοιντο, et rursus pag. 164. γίνοιντο. forte γίγνοιντο. Wass.

Ἐν δὲ τῷ—προσελάμβανε] Dionys. Halic. p. 152. dein ῥᾷον—ἀγάλλονται, et πάντων—διεφθείροντο, ibid. Wass.

Ἐν τῷ παρατ. rel.] Schol. ad h. l. haud dubie corruptum est: primo in verbis, ἐν τῷ μετὰ ταύτης χρόνῳ. Quo enim referas ταύτης, ubi præcedat, ἐν τῷ συμφέροντι; quid deinde hic sit μετὰ cum Genitivo? Jam verba: ὁ ἀπὸ τύχης ἑστηκὼς, nec Græca sunt, (Latine quidem dixeris, *a fortuna stare*, i. e. eam sequi, felicioris partes fovere;) nec sensum habent. Nam Infinitivi, qui sequuntur, pendere possint ab ἐπετίθετο. Sed totum confusum est et obscurum. Baver.

Ἀπὸ τοῦ προφανοῦς] Quidam διὰ, sed ἀπὸ etiam Dionys. recte: qui et supra θαῤῥῆσαι. Paulo post pro ἀπάτῃ Gr. ἀνάγκῃ; sed ab editis stat Dion. Halic. Forte Codex, unde lectio Gr. profluxit, habuerat ἀγχινοίᾳ. Wass. Ἀπὸ τοῦ προφανοῦς est phrasis Thucydidi familiaris. Vid. I. 35. 66. et II. 93. Duck.

Καὶ ὅτι ἀπάτῃ] Reisk. καὶ ἔτι ἀπάτῃ. Gottl.

παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῄεσάν τε, τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου, προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐμπιμπλάναι· ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τὶ διαπράξασθαι, ἄμεινον ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ᾽ ἀμφοτέρων, ἢ, ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο.

πγʹ. 83. Οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ελληνικῷ. καὶ τὸ εὔηθες (οὗ τὸ γενναῖον πλεῖστον μετέχει) καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως, ἐπιπολὺ διήνεγκεν. οὐ γὰρ ἦν ὁ διαλύσων, οὔτε λόγος ἐχυρὸς, οὔτε ὅρκος φοβερός. κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πιστεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην, ὡς τὰ πλείω περιεγίγνοντο. τῷ γὰρ δεδιέναι τό, τε αὑτῶν ἐνδεὲς, καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἥσσους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ

Εὐσεβ. οὐδέτ. ἐνόμ. rel.] Probari possit ordo Abreschianus, uterque; nisi, quod durius in ἐνόμιζον ex ἄμεινον ἤκουον, supplet, ἄμ. ἀκοῦσαι Simplicius νομίζειν acceperis ablativo junctum, ut 2. 48. extr. θυσίαις νομίζοντες, i. e. usi, χρώμενοι. Ita et hic: neutri servabant pietatem, neutri ea utebantur. B. v. Abresch. 364. Gottl.

Εὐπρ. δ. λ.——ἄμ. ἤκ.] Dativus, εὐπρεπείᾳ λ. pendere potest ab ἄμ. ἤκουον· sed aptius suspendatur a διαπράξασθαι. Ac fortasse ita medium inseruerit Thuc. qui ad utrumque referretur. Baver.

Ad Schol. τὰ δὲ μέσα etc. legit Abresch. ὡς ἀπαθεῖς etc. 364. Gottl.

Τὸ εὔηθες] Τὸ χρηστὸν Mœris Attice, ἑλληνικῶς, ἀνόητον. Suidas in εὔηθες, ἐπὶ τοῦ βελτίονος, et Ἡδὺς, εὐήθης. ἐκάλουν δὲ οὕτω τοὺς ὑπομώρους. Etymol. idem fere tradit, sed ex Schol. Thucyd. Suidæ verba exscribit Photius in Lex. Ms. Τὸ εὔηθες—μετέχει. Magister: Κατ᾽ εὐφημισμόν. Wass. Eadem, quæ Suidas in εὔηθες, habet etiam ead. voc. Auct. Etymologici Mss. sive is Photius, sive alius est, Biblioth. Urbis Traject. ad Rhen. Pollux III. 119. inter ea, quæ ad laudem pertinent, recenset etiam εὐήθης et εὐήθεια. Mox addit: τάττοιτο δ᾽ ἂν ὁ εὐήθης καὶ ἐπὶ τοῦ ἀνοήτου, ὃς ἂν λεχθείη καὶ μωρὸς— Et hoc sensu Æschyl. Prometh. 383. κουφόνουν εὐηθίαν, dicit, i. e. μωρίαν, ut Schol. Add. Gataker. Cap. III. de Stilo Nov. Instrum. et Clariss. Hemsterhus. ad Lucian. Timon. p. 101. Duck.

Πιστ. ἐδύναντο] Δύνασθαι hic sign. *velle*, ut sæpius, animum inducere: Ita explices Joh. 12. 39. οὐκ ἠδύναντο πιστεύειν, nolebant credere; nempe in voluntate ipsorum caussa erat; vs. 42. et ὅτι ibi est, καθότι, *sicut* dixerat Iesaias; quasi ὅ, τι, quod et dixerat Ies. Baver.

Καταφρονοῦντες] i. e. ἄγαν φρονοῦντες, Abr. p. 365. Gottl.

Καταφρον. κἂν προαισθ.] i. e. qui spernerent

οὐδὲν σφᾶς δεῖν λαμβάνειν, ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι, μᾶλλον διεφθείροντο.

πδ′. 84. Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη, καὶ ὁπόσα, ὕβρει μὲν ἀρχόμενοι τοπλέον ἢ σωφροσύνῃ ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι δράσειαν· πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστα δ' ἂν διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην γιγνώσκοιεν· οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ, ἀπὸ ἴσου δὲ μάλιστα ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερόμενοι, ὠμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν. ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν καιρὸν τοῦτον τῇ πόλει, καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία φύσις, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, ἀσμένη ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ δικαίου, πολεμία δὲ τοῦ προὔχοντος. οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τιμωρεῖσθαι προὐτίθεσαν, τοῦ τε μὴ ἀδικεῖν τὸ κερδαίνειν, ἐν ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν. ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι νόμους, ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι, ἐν ἄλλων τιμωρίαις προκαταλύειν, καὶ μὴ ὑπολείπεσθαι, εἴ ποτε ἄρα τὶς κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.

πέ. 85. Οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο. καὶ ὁ Εὐρυμέδων καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν. ὕστερον δὲ οἱ φεύγοντες τῶν Κερκυραίων, (διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους,) τείχη τε λαβόντες, ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς, καὶ ἐξ αὐτῆς ὁρμώμενοι, ἐλῄζοντο τοὺς ἐν

insidias et fraudes adversariorum, rati, se præsensuros in tempore. Est enim hic usus Infinitivi familiaris nostro, ac si sit, ὡς προαισθησόμενοι. Possit tamen et pro simplici accipi: credebant, se præsensuros. Quod nisi ἂν adsit in κἂν, verterim simplicissime: negligentes præsentire, non curantes. Nec tamen multum obstiterit τὸ ἂν huic interpretationi, quasi pro καί γε positum. Bav.

Ἄφρακτοι] i. e. parum muniti, armati adversus insidias. Incisum posui, ne inducerentur tirones in errores v. Valken. ad Eur. Hippol. p. 236. Gottl.

Ἀπαλλαξείοντες] Vid. Scholiast. I. 96. Wass.

Παρὰ τοὺς νόμους] i. e. μετὰ τῶν νόμων inter leges. Abresch. 365. Gottl.

Παρὰ τ. νόμους] Sane est, legibus vigentibus: addita tamen notione, vel conditione, neglectis legibus, ut transgrediatur eas, negligatque vigentes. Φύσις ἀνθρωπεία sign. *homines*, per periphrasin: ut apud Cic. de N. D. 2. *pecudum natura*, i. e. pecudes, et *alvi natura* alvus ipsa; etiam Jac. 3. 7. πᾶσα φύσις θηρίων, i. e. πάντα (τὰ) θηρία. Baver.

Ἐλῄζοντο τοὺς] Ἐλήϊζον, quod habent optimi Mss. etiam e Thucyd. IV. 41. adnotavit Stephanus, ἐλήϊζόν τε τὴν Λακωνικὴν, καὶ πλεῖστα ἔβλαπτον: idque ibi in omnibus Scriptis est, excepto uno. Λῄζω quoque dicunt Eustath. et Etymol. M. Et de λῄζεται

τῇ νήσῳ, καὶ πολλὰ ἔβλαπτον· καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει. ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρόνῳ, πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι, διέβησαν ἐς τὴν νῆσον ἑξακόσιοι μάλιστα οἱ πάντες. καὶ τὰ πλοῖα ἐμπρήσαντες, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰστώνην, τεῖχος ἐνοικοδομησάμενοι, ἔφθειρον τοὺς ἐν τῇ πόλει, καὶ τῆς γῆς ἐκράτουν.

πστʹ. 86. Τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος, Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν, καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν, καὶ Χαροιάδην τὸν Εὐφιλήτου. οἱ γὰρ Συρακούσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις καθέστασαν. ξύμμαχοι δὲ τοῖς μὲν Συρακουσίοις ἦσαν, πλὴν Καμαριναίων, αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ πρὸς τὴν τῶν Λακεδαιμονίων τοπρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε· τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις, καὶ Καμαρίνα. τῆς δὲ Ἰταλίας, Λοκροὶ μὲν Συρακουσίων ἦσαν, Ῥηγῖνοι δὲ, κατὰ τὸ ξυγγενὲς, Λεοντίνων. ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι, κατά τε παλαιὰν ξυμμαχίαν, καὶ ὅτι Ἴωνες ἦσαν, πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς. ὑπὸ γὰρ τῶν Συρακουσίων τῆς

Suidas, ληΐζεται, αἰχμαλωτίζει—ἴσως δὲ καὶ ἐν παθητικῷ σημαινομένῳ λέγεται. Sine dubio sic dicitur. Lucian. Gall. p. 170. τί οὐκ ἐμήνυες, καὶ ἐβόας τότε, ὦ ἀλεκτρυὼν, ληϊζομένους ἡμᾶς ὁρῶν; sed Thucydides non minus activi significatione utitur τῷ ληΐζεσθαι. Vide Steph. in Thes. Duck.

Ὅπως—γῆς] Thom. Magist. et Suidas. ἀπόγνωσις fere apud Dionys. Halic. et recentiores. Wass.

Τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς] Ellipis, quam in hoc genere loquendi observat Fr. Portus in Var. Lect. crebra est in interrogatione. Th. III. 39. τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσαν; Et 58. τί ἄλλο—ἢ ἀτίμους γερῶν, ὧν νῦν ἴσχουσι, καταλείψετε; Sic in τί δ' εἰ μὴ, et in illo extra interrogationem apud Aristoph. Equit. 1103. Μηδὲν ἄλλ' εἰ μὴ ἔσθιε. Eodem modo Latini, *quid aliud, quam?* et *nihil aliud, quam.* Adi Bud. Comment. p. 1047. Duck.

Ἰστώνην] Mss. hic, et IV. 46. ita efferunt. Ita etiam Stephanus et Polyæn. VI. 20. qui ad hunc locum respexerunt. Habes gentile Ἰστωναῖοι in lapide apud Pyrrhum Ligorium, circa Severi tempora inscripto. neque alibi de hoc monte memini me legisse. Wass. Inscriptio est in Notis Holstenii ad Steph. Agit de hoc monte etiam Palmer. II. Græc. Ant. 10. Duck.

Ἀθηναῖοι εἴκοσι ναῦς etc.] Mirum est, Thucydidem, qui tam curiose omnia recenset, tacuisse de expeditione, quæ hanc præcessit, quando Athenienses misere classem Lamponio duce in Siciliam, in auxilium Catanæorum, quod narrat Trogus apud Justinum, l. 4. *Palmerius* in Exercitation. pag. 49. H.

Σικελίαν] Caussam belli, et Gorgiæ Leontini legationem fuse narrat Diodor. XII. p. 313. b. vid. Xenoph. Hell. VI. p. 585. Pro Χαροιάδην Diodor. Χαβρίαν, et triremium numerum ad 250 auget. Justinus IV. 3. Thucydidem firmat. Chabrias paulo junior erat, vide Diodor. XV. et Nepotem, denique Nostrum III. 90. Wass. Expeditionem hanc Lachetis memorat etiam Schol. Aristoph. Vesp. 240. Μελανώπου, quod habent plerique Mss. confirmatur ex Epist. III. Demosthenis, ubi Λάχητα quemdam τὸν Με-

τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης. καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι, τῆς μὲν οἰκειότητος προφάσει, βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι αὐτόθεν, πρόπειράν τε ποιούμενοι, ει σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας, τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων· καὶ τὸ θέρος ἐτελεύτα.

πζʹ. 87. Τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τοδεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τοπαντάπασιν, ἐγένετο δέ τις ὅμως διακωχή. παρέμεινε δὲ τὸ μὲν ὕστερον, οὐκ ἔλασσον ἐνιαυτοῦ· τὸ δὲ πρότερον, καὶ δύο ἔτη. ὥστε Ἀθηναίους τε μὴ εἶναι ὅ, τι μᾶλλον τούτο ἐπίεσε, καὶ ἐκάκωσε τὴν δύναμιν. τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων, καὶ τριακοσίων ἱππέων· τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. ἐγένοντο δὲ τότε καὶ οἱ πολλοί σεισμοὶ τῆς γῆς, ἔν τε Ἀθήναις, καὶ ἐν Εὐβοίᾳ, καὶ ἐν Βοιωτοῖς, καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

πηʹ. 88. Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι, τοῦ αὐτοῦ χειμῶνος, τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας. θέρους γὰρ δι᾽ ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. νέμονται δὲ Λιπαραῖοι αὐτὰς, Κνιδίων ἄποικοι ὄντες. οἰκοῦσι δ᾽ ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα. τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωργοῦσι, Διδύμην, καὶ Στρογγύλην, καὶ Ἱεράν. νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι, ἐν τῇ Ἱερᾷ ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ, καὶ τὴν ἡμέραν καπνόν. κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν· ξύμμαχοι δ᾽ ἦσαν Συρακουσίων. τεμόντες δ᾽ οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ Ῥήγιον· καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ πέμπτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

λανώπου memorat, quem ex hujus posteris fuisse probabile videri potest. Duck.

Διακωχή.] Citat Thomas. Mag. Wass.

Ἀπέθανον] Diodor. XII. p. 316. Idem.

Κνιδίων ἄποικοι] Sic et Strabo, Pausanias, atque alii. Adeundus est de his Cluverius Sicil. Antiq. II. 14. pag. 395. Miror, cur hic Huds. in Var. Lect. adferre voluerit locum Steph. de Lipara: nam quæ inter parvas maxima est, ea non definit parva esse. D.

Διδύμην] Vid. Steph. qui Strabonem exscribit, a quo receptæ lectioni accedit auxilium. Wass. Quod de officina Vulcani in Hiera scribit Thucydides, id ab aliis de Lipara, ab aliis de alia ex his insulis proditum adnotat Olear. ad Philostrat. V. de vita Apollon. 16. Duck.

Ἐτελεύτα τῷ πολέμῳ] Recte Mss. τῷ πο-

πθ'. 89. Τοῦ δ' ἐπιγιγνομένου θέρους, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ ἰσθμοῦ ἦλθον, ὡς ἐς τὴν Ἀττικὴν ἐσβαλοῦντες, Ἄγιδος τοῦ Ἀρχιδάμου ἡγουμένου, Λακεδαιμονίων βασιλέως· σεισμῶν δὲ γενομένων πολλῶν, ἀπετράποντο πάλιν, καὶ οὐκ ἐγένετο ἐσβολή. καὶ περὶ τούτους τοὺς χρόνους, τῶν σεισμῶν κατεχόντων τῆς Εὐβοίας ἐν Ὀροβίαις, ἡ θάλασσα ἐπελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς, καὶ κυματωθεῖσα, ἐπῆλθε τῆς πόλεως μέρος τι· καὶ τὸ μὲν, κατέκλυσε, τὸ δ' ὑπενόστησε· καὶ θάλασσα νῦν ἐστι πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν, ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσον παραπλησία γίγνεται ἐπίκλυσις, καὶ τοῦ τε φρουρίου τῶν Ἀθηναίων παρεῖλε, καὶ δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν. ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι κατέβαλε, καὶ τὸ Πρυτανεῖον, καὶ ἄλλας οἰκίας ὀλίγας. αἴτιον δ' ἔγωγε τοῦ τοιούτου νομίζω, ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν, καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην, βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν. ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

στ'. 90. Τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι, ὡς ἑκάστοις ξυνέβαινεν, ἐν τῇ Σικελίᾳ, καὶ αὐτοὶ οἱ Σικελιῶται, ἐπ' ἀλλήλους στρατεύοντες, καὶ οἱ Ἀθηναῖοι ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου μάλιστα ἄξια ἢ μετὰ τῶν Ἀθηναίων

λέμῳ ἐτελεύτα τῷδε. Mox ἐμβαλοῦντες male Cod. C. Vid. Supr. C. 80. Wass.

Καὶ περὶ Ἀταλάντην etc.] Quum antea Chersonesus esset, isthmo vi maris rupto, ex peninsula factam insulam scribit Diodorus Sic. l. 12. p. 316. Verum Thucydidem, unde hæc collegerit, male assecutus esse videtur: quum ante inundationem Atalantam fuisse insulam satis nobis exploratum sit ex lib. 2. p. 102. Huds. Ἀταλάντην] Vid. Eusebium MDXCI. Steph. Cedrenum, Strabonem IX. 425. et Catal. Urbium Vat. Pausan. X. 20. Livium XXXV. 37, 38. Plin. II. 90. ubi Diodori errorem castigat Harduinus. Wass. Quod dudum etiam fecerat Scaliger ad Eusebium. Catalogum Urbium Vat. laudat Holstenius ad Stephan. De Atalanta et castello Atheniensium in ea, est etiam supr. II. 32. De ellipsi τοῦ μέρος, quam in his τοῦ τε φρουρίου statuit Schol. plura habet Stephanus Animadv. in lib. de Dialect. p. 45. Duck.

Ἐγένετο—τις] Thom. Magister pro δὲ καὶ habet μέντοι, et Πεπαρίσσῳ mendose. ἡ Πεπάρηθος urbs et insula Cycladum ante Magnetas. Πεπάρεθον scribit Ptolem. mendose. Ms. Coislin. Πεπάρηθον. Inter Sporadas posuit Steph. contra Schol. et Geogr. vid. Sophoclis Enarratorem. Evenum dictum ait Plinius. recte. Sophocles Philoct. 549. ἐς τὴν ΕΥ̓ΒΟΤΡΥΝ Πεπάρηθον. De pugna navali, ibi inter Alexandrum et nescio quos commissa, subobscure Polyænus VI. 2. Intellige Pheræorum Tyrannum, circa Olymp. CIV. 4. Rem plenius enarrat Diodorus XV. Gentile ex numo Goltzii, Steph. Athenæo Πεπαρήθιος. Historiam tangunt Polybius X. 39. Livius XXVIII. 5. Wass.

οἱ ξύμμαχοι ἔπραξαν, ἢ πρὸς τοὺς Ἀθηναίους οἱ ἀντιπολέμιοι, τούτων μνησθήσομαι. Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ Συρακουσίων πολέμῳ, Λάχης, ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχὴν, ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων. ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι, καί τινα καὶ ἐνέδραν πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν. οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας τρέπουσι, καὶ διαφθείρουσι πολλούς· καὶ τῷ ἐρύματι προσβαλόντες, ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν παραδοῦναι, καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι. καὶ μετὰ τοῦτο, ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε Ἀθηναίων καὶ τῶν ξυμμάχων, προσεχώρησαν καὶ αὐτοὶ, ὁμήρους τε δόντες, καὶ τὰ ἄλλα πιστὰ παρασχόμενοι.

στά. 91. Τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης τε ὁ Ἀλκισθένους, καὶ Προκλῆς ὁ Θεοδώρου, ἑξήκοντα δὲ ἐς Μῆλον, καὶ δισχιλίους ὁπλίτας· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου. τοὺς γὰρ Μηλίους, ὄντας νησιώτας, καὶ οὐκ ἐθέλοντας ὑπακούειν, οὐδὲ ἐς τὸ αὐτῶν ξυμμαχικὸν ἰέναι, ἐβούλοντο προσαγαγέσθαι. ὡς δὲ αὐτοῖς, δῃουμένης τῆς γῆς, οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς Μήλου, αὐτοὶ μὲν ἔπλευσαν ἐς Ὠρωπὸν τῆς πέραν γῆς· ὑπὸ νύκτα δὲ σχόντες, εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς Τάναγραν τῆς Βοιωτίας. οἱ δ' ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι, Ἱππονίκου τε τοῦ Καλλίου στρατηγοῦντος, καὶ Εὐρυμέδοντος τοῦ Θουκλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων. καὶ στρατοπεδευσάμενοι, ταύτην τὴν ἡμέραν ἐν τῇ Τανάγρᾳ ἐδῄουν, καὶ ἐνηυλίσαντο. καὶ τῇ ὑστεραίᾳ, μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων, καὶ Θηβαίων τινὰς προσ-

Ἀντιπολέμιοι] Idem ac ἀντιπόλεμοι. Abr. 367, Gottl.

Μυλαῖς] Ita Hecatæus, Theophrastus Hist. Plant VIII. 3. et Latini Scriptores. Myle dant Silii exemplaria. Ejus tempore merum litus. Mendose item apud Plutarchum Francof. Ed. in Timol. 254. ἐν Μυλλαῖς. Gentilia Μυλαίτης apud Steph. et Polybium, apud Diodor. Μυλαῖος. Historiam urbis tradunt Polybius I. p. 12. et Dio Cassius XLVIII. p. 367. XLIX. 395. Wass. Add. huc Notas Virorum Clariss. Heinsii et Drakenborch. ad Silium XIV. 202. ubi Myle fortassis est e more recentiorum temporum, quibus pro diphthongo æ vocalis e scribebatur. Duck.

Μήλου] Est et urbs ejusdem nominis, a conditoribus Phœniciis Byblus appellata, postea, Zephyria, Μεμβλὶς, Μίμαλις. vid. Bochartum et Tournefort. I. p. 114. Wass.

Ταναγραίων] Vid. Steph. Liban. Orat. p. 253. Demosth. contra Aristog. p. 496. Ci-

βεβοηθηκότας, καὶ ὅπλα λαβόντες, καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς. καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα ναυσὶ, τῆς Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε, καὶ ἀνεχώρησεν ἐπ᾽ οἴκου.

στβ΄. 92. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν τὴν ἐν Τραχινίαις, ἀποικίαν καθίσταντο, ἀπὸ τοιᾶσδε γνώμης· Μηλιεῖς οἱ ξύμπαντες, εἰσὶ μὲν τρία μέρη, Παράλιοι, Ἱερῆς, Τραχίνιοι· τούτων δὲ οἱ Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ Οἰταίων ὁμόρων ὄντων, τοπρῶτον μελλήσαντες Ἀθηναίοις προσθεῖναι σφᾶς αὐτοὺς, δείσαντες δὲ, μὴ οὐ σφίσι πιστοὶ ὦσι, πέμπουσιν ἐς Λακεδαίμονα, ἑλόμενοι πρεσβευτὴν Τισαμενόν. ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριεῖς, ἡ μητρόπολις τῶν Λακεδαιμονίων, τῶν αὐτῶν δεόμενοι. ὑπὸ γὰρ τῶν Οἰταίων καὶ αὐτοὶ πολέμῳ ἐφθείροντο. ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι, γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι τιμωρεῖν. καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι. ἐπί τε γὰρ τῇ Εὐβοίᾳ ναυτικὸν παρασκευασθῆναι ἂν, ὥστ᾽ ἐκ βραχέος τὴν διάβασιν γίγνεσθαι, τῆς τε ἐπὶ Θράκης παρόδου χρησίμως ἕξειν. τό, τε ξύμπαν, ὥρμηντο τὸ χωρίον κτίζειν. πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο· κελεύοντος δὲ, ἐξέπεμψαν τοὺς οἰκήτορας αὐτῶν τε καὶ τῶν περιοίκων· καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον ἐκέλευον ἕπεσθαι, πλὴν

vitas antea Græca, et Pœmandria. vid. Etymol. in Γέφυρα, et Salmasium ad Solinum. Whelerum in Itin. p. 456. WASS.

Τὰ ἐπιθαλάσσια] Cum iis, quæ in Var. Lect. adnotat Hudsonus, conf. Scholiast. ad III. 7. τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. Pollux. I. 99. χωρία ἐπιθαλαττίδια dicit, et IX. 17. πόλις ἐπιθαλαττίδιος. DUCK.

Λακεδ. Ἡρακλ.] Vide Diodorum Sic. l. 12. et Meursii Miscell. Lacon. l. 1. c. 7. p. 31. HUDS.

Τραχινίαις] Diodor. 316. d. Λακεδαιμονίων τετρακισχιλίους οἰκήτορας ἐκπεμψάντων] ex sua gente nimirum, ex reliqua Græcia duo millia. WASS. Add. Scaliger. ad Euseb. num. MDXCVI. DUCK.

Ἱερῆς] Difficile dictu est, quinam fuerint Ἱερῆς, nemo enim præter Thucydidem de iis, (quod legerim) loquutus est. Scintillam tamen lucis facit Callimachus in Delum, ubi ait:

Δεύτερον ἱερὸν ἄστυ καὶ οὔρεα Μηλίδος αἴης
Ἔρχονται etc.

Hic enim cum Thucydide videtur quandam urbem vel regionem Meliensium sacram vocare, eo quod primitias Apollini quotannis missas a Dodonæis, qui etiam sacri erant, recipiebant. Vide Palmer. ad Gr. Auct. p. 277. HUDS.

Δωριεῖς] Vid. Strabon. et Steph. voc. Δώριον. Plin. IV. 5. et V. 22. WASS. De Dorio metropoli Lacedæmoniorum supr. I. 107. Quæ paullo post hic leguntur, γνώμην εἶχον—τιμωρεῖν, sunt in Stephano de Urbib. voc. Δώριον, sine nomine auctoris. DUCK.

Ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο] Ex more Græcorum coloniam deducturorum, de quo Spanhem. ad Callim. Hymn. in Apoll. v. 57. Mox οἰκισταὶ τρεῖς, Duces coloniæ, ut apud Romanos Triumviri deducendæ coloniæ. Idem ibid. DUCK.

Ἰώνων, καὶ Ἀχαιῶν, καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων ἡγήσαντο, Λέων, καὶ Ἀλκίδας, καὶ Δαμάγων. καταστάντες δὲ, ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν Ἡράκλεια καλεῖται, ἀπέχουσα Θερμοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα, τῆς δὲ θαλάσσης, εἴκοσι. νεώριά τε παρεσκευάζοντο, καὶ ἤρξαντο κατὰ Θερμοπύλας, κατ᾽ αὐτὸ τὸ στενὸν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη.

στγʹ. 93. Οἱ δὲ Ἀθηναῖοι, τῆς πόλεως ταύτης ξυνοικιζομένης, τοπρῶτον ἔδεισάν τε, καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα καθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας. ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη. οὐ γὰρ ἐγένετο ἀπ᾽ αὐτῆς δεινὸν οὐδέν. αἴτιον δὲ ἦν· οἵ τε Θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων, καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο, φοβούμενοι, μὴ σφίσι μεγάλῃ ἰσχύϊ παροικῶσιν, ἔφθειρον, καὶ διαπαντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν, γενομένους τοπρῶτον καὶ πάνυ πολλούς. πᾶς γάρ τις, Λακεδαιμονίων οἰκιζόντων, θαρσαλέως ᾔει, βέβαιον νομίζων τὴν πόλιν. οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν Λακεδαιμονίων οἱ ἀφικνούμενοι τὰ πράγματά τε ἔφθειρον, καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλοὺς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι. ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.

στδʹ. 94. Τοῦ δ᾽ αὐτοῦ θέρους, καὶ περὶ τὸν αὐτὸν χρόνον, ὃν ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο, καὶ οἱ ἀπὸ τῶν τριάκοντα νεῶν Ἀθηναῖοι, περὶ Πελοπόννησον ὄντες, πρῶτον ἐν Ἐλλομένῳ τῆς Λευκαδίας φρουρούς τινας λοχήσαντες διέφθειραν, ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον, Ἀκαρνᾶσί

Τῆς δὲ θαλάσσης, εἴκοσι] Perhibet tamen Strabo (l. 9.) hanc urbem a portu XL. non vero XX. stadiis abesse. Vide Berkelium ad Stephanum περὶ πόλεων. HUDS.

Καθίστασθαι] i. e. Eubœam peti. *dass es auf Eubœa angesehen sey.* Ita Heilman. GOTTL.

Καθίστασθαι] Non video, cur non simplicius vertatur, *constitui*, statui, poni, nempe urbem, coloniam; ubi enim occurrit καθίστασθαι eo sensu, quo vult B. Gottl. Certe h. l. nil opus est illo. BAVER.

Κήναιον] Vid. Strabon. IX. p. 651. Plin. IV. 512. Ibi Κηναίου Jovis fanum, inquit Scylax. Sophocles Trachin. 765. Ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον Κήναιόν ἐστιν, ἔνθα Πατρῴῳ Διῒ Βωμοὺς ὁρίζει. et 1010. WASS. In Scylace est Κερήναιον, quod ibi emendat Vossius pag. 51. Edit. Gronov. DUCK.

Νεοκαταστάτοις] Pro νεωστὶ κατῳκισμένοις Suidas hac voc. Pollux IX. 18. νεοκατάστατος πόλις. WASS.

Τῆς Λευκαδίας] Ita solus Ms. Camerar. videtur habuisse. Nam Camerarius ex eo nihil varietatis ad Edit. Basil. in qua ita est, adnotavit. Ellomeni neminem, præter Thucydidem, mentionem fecisse, scribit Palmer. III. Græc. Antiq. 10. DUCK.

τε πᾶσιν, οἱ πανδημεὶ, πλὴν Οἰνιαδῶν, ξυνέσποντο, καὶ Ζακυνθίοις, καὶ Κεφαλλῆσι, καὶ Κερκυραίων πεντεκαίδεκα ναυσί. καὶ οἱ μὲν Λευκάδιοι, τῆς τε ἔξω γῆς δῃουμένης, καὶ τῆς ἐντὸς τοῦ ἴσθμου, (ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι, καὶ τὸ ἱερὸν τοῦ Απόλλωνος,) πλήθει βιαζόμενοι ἡσύχαζον. οἱ δὲ Ακαρνᾶνες ἠξίουν Δημοσθένην τὸν στρατηγὸν τῶν Αθηναίων ἀποτειχίζειν αὐτούς· νομίζοντες ῥᾳδίως γ' ἂν ἐκπολιορκῆσαι, πόλεώς τε αἰεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης δ' ἀναπείθεται κατὰ τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων, ὡς καλὸν αὐτῷ, στρατιᾶς τοσαύτης ξυνειλεγμένης, Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις οὖσι· καὶ, ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο Ηπειρωτικὸν τὸ ταύτῃ Αθηναίοις προσποιήσειν. τὸ γὰρ ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν, καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους, καὶ ταύτας διὰ πολλοῦ, καὶ σκευῇ ψιλῇ χρώμενον, οὐ χαλεπὸν ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι. ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Αποδώτοις, ἔπειτα δὲ Οφιονεῦσι, καὶ μετὰ τούτους, Εὐρυτᾶσιν (ὅπερ μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν· ἀγνωστότατοι δὲ γλῶσσαν καὶ Ωμοφάγοι εἰσὶν, ὡς λέγονται) τούτων γὰρ ληφθέντων, ῥᾳδίως καὶ τἄλλα προσχωρήσειν.

στέ. 95. Ο δὲ, τῶν Μεσσηνίων χάριτι πεισθεὶς, καὶ μάλιστα νομίσας ἄνευ τῆς τῶν Αθηναίων δυνάμεως τοῖς Ηπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δύνασθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Οζολῶν ἐς Κυτίνιον τὸ

'Εντὸς τοῦ 'Ισθμοῦ] Postea insula, ac deinde rursus peninsula facta est: qua in re aliquantum inter se dissentire videntur Viri Eruditissimi, Vossius ad Scylacem pag. 29. Palmer. Græc. Antiq. III. 10. et Dodwell. §. VIII. Dissertat. de Peripli Scylacis ætate. Duck.

'Αποτειχίζειν] Explicat Harpocrat. τὸ ἀπολαβεῖν τείχει, καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος τῷ τείχει. et περιφράττων Hesych. De historia, quam hic exponit Thucydides, vid. etiam Diodor. p. 317. b. Wass.

'Αποδώτοις] Livius XXXII. Agræos, Apodotosque et Amphilochos conjungit. v. Polybium pag. 1039. Idem. Polybio XVII. 5. sunt 'Αποδοτοὶ, et sic in Stephano emendat Palmer. V. Græc. Ant. 7. 'Αποδοτοὶ, ὡς Βοιωτοί. at Berkelius 'Αποδωτοὶ cum ω. Mss. hic utrumque habent. Sed ex eo, quod Stephanus dicit, ὡς Βοιωτοὶ, non potest confici, eum etiam voluisse scribi 'Αποδωτοί. Nam fere, quum ita loquitur, respicit ad flexionem et terminationem, ac tonum. Ita v. 'Ακαρνανία, 'Ακαρνὰν, ὡς Αἰνιὰν, 'Ατιντὰν, 'Αθαμάν: in 'Ακέλη, 'Ακελήσιος, ὡς Μενδήσιος, ὥστε 'Ακέλης εἶναι, ὡς Μένδης: et compluribus aliis locis. Qui a Thucydide 'Οφιονεῖς, eos, a Strabone 'Οφιεῖς dici adnotant Casaub. ad Strabon. X. p. 451. et Palmer. V. Græc. Ant. 5. de Eurytanibus Palmer. ibid. c. 6. et Interpretes Stephani. Duck.

Τοῖς 'Ηπειρώταις—] Ablat. absol. Gottl.

Τοῖς 'Ηπειρ. ξυμμ.] scil. σὺν, quod sæpe omittitur: vel, *per* socios Epirotas, *ope* eorum. Ablativi vel Dativi non solent sane ita poni; neque hic utique requirantur. B.

Κυτίνιον] Κυντίνιον Ar. C. perperam. Κύτινον Tzetzes ad Lycoph. Plinius *Cutinum*. At Philochorus, Strabo aliique receptam lec-

Δωρικὸν, ἐν δεξιᾷ ἔχον τὸν Παρνασσὸν, ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν, κατὰ τὴν Ἀθηναίων αἰεί ποτε φιλίαν, ξυστρατεύειν, ἢ κἂν βίᾳ προσαχθῆναι. καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν. ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος, ἀκόντων τῶν Ἀκαρνάνων, παρέπλευσεν ἐς Σόλλιον. κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ προσεδέξαντο, διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι, καὶ Μεσσηνίοις, καὶ Ζακυνθίοις, καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις τῶν σφετέρων νεῶν (αἱ γὰρ πεντεκαίδεκα τῶν Κερκυραίων ἀπῆλθον νῆες) ἐστράτευσεν ἐπ᾽ Αἰτωλούς. ὡρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς Λοκρίδος. οἱ δὲ Ὀζόλαι οὗτοι Λοκροὶ ξύμμαχοι ἦσαν, καὶ ἔδει αὐτοὺς πανστρατιᾷ ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειον. ὄντες γὰρ ὅμοροι τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι, μεγάλη ὠφέλεια ἐδόκουν εἶναι ξυστρατεύοντες, μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων, καὶ χωρίων.

στστ′. 96. Αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ ἱερῷ, (ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν

tionem tuentur. Insignis est locus Enarratoris Pindari a Geographis non adductus. Dores, οἰκοῦντες πρότερον τὴν Πίνδον μίαν οὖσαν τῆς τετραπόλεως τῆς ἐν Περιβοίᾳ [ἐπ᾽ Εὐβοίᾳ male Sch. Aristoph.] ἀφικνοῦνται ἐς τὴν μεταξὺ Οἴτης καὶ Παρνασοῦ Δώριδα ἑξάπολιν οὖσαν· ἔστι δὲ Ἐρινεὸν, Κύτινον, Βοιὸν, Λίλαιον, Κάρφαια, Δρυόπη. Wass. Locus Scholiastæ Pindari est in I. Pyth. 121. et fere ad verbum legitur in Scholiis Aristoph. Plut. 385. De eo Palmerius in Exercitat. p. 789. pronunciat, οὐδὲν ὑγιὲς, cujus sententiam probant ad Aristophanem Doctissimi Interpretes. Conon in Biblioth. Photii Narrat. XXVII. Δῶρος δ᾽ ὁ δεύτερος (nempe filiorum Hellenis) μοῖραν τοῦ λαοῦ λαθὼν παρὰ τοῦ πατρὸς, ἀποικίζεται, καὶ ὑπὸ τὸν Παρνασὸν τὸ ὄρος κτίζει πόλεις, Βοιὸν, Κτίνιον (recte in marg. Κυτίνιον) Ἐρινέον, (rectius alii Ἐρινεὸν) ἐξ οὗ Δωριεῖς. Add. Thucyd. I. 107. Duck.

Ξυστρατεύειν] Reisk. malit: ξυστρατεύσειν. Gottl.

Ξυστρατεύειν] Nil opus, cum Reiskio legere ξυστρατεύσειν, cum adsit αἰεὶ, et tamen pro futuro accipi possit præsens, vel ἂν subintellecto. Baver.

Καὶ Φωκεῦσιν] τὸ ἤδη, ut Schol. notat, de loco adhibitum. Termino a quo tam loci, quam temporis, designando inservit. Abr. 368. Gottl.

Ἤδη ὅμορος] i. e. *statim* a Phocide incipiunt Bœotorum fines: satis inter se propinqui sunt, ut facilis ex alteris in alteros sit transcensus. Baver.

Ἄρας οὖν] Recte hic Scholiastes de particula οὖν: nam inservit epanalepsi post interjectam parenthesin. Exempla e Xenophonte conlegit doctiss. Raphelius ad Marc. III. 31. Lucianus sæpe ita adhibet. vid. Zeux. p. 577. de Conscrib. Histor. 639. Pseudom. 759. Et sic alii. Latinis eumdem usum præstant *ergo*, *igitur*, et *itaque*. Quod paullo post Σόλλιον, id II. 30. Σόλιον edidit Hudsonus. Add. Notam illius ad V. 30. in Var. Lect. Duck.

Τὴν οὐ περιτείχισιν] De hoc, et aliis hujus generis actum est ad I. 137. Duck.

Οἰνεῶνος] Vid. Holsten. et Berkel. ad Stephanum, et Palmer. V. Græc. Ant. 2. Infra Cap. 98. et 102. τὸν Οἰνεῶνα. Μεσόγειος et μεσόγεια, uti hic paullo post, ita etiam I. 120. permutantur. II. 102. ἐς τὴν μεσόγειαν. Duck.

Ὁμόσκευοι] Pollux VI. 156. et X. 14. Dionys. Halic. in Arte Cap. IX. ὁμοσκεύους ποιῆσαι τοῖς ὁμοτίμοις. Explicat Hesych. in ὁμοσίπυοι. Wass. Vid. ad II. 96. et Græv. ad Lucian. Toxar. pag. 67. Duck.

Ἐν ᾧ Ἡσίοδος etc.] De morte Hesiodi vide Plutarchum in libello de Convivio septem

ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν,) ἅμα τῇ ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν. καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν, καὶ τῇ δευτέρᾳ Κροκύλιον, καὶ τῇ τρίτῃ Τίχιον· ἔμενέ τε αὐτοῦ, καὶ τὴν λείαν ἐς Εὐπόλιον τῆς Λοκρίδος ἀπέπεμψε. τὴν γὰρ γνώμην εἶχε, τὰ ἄλλα καταστρεψάμενος, οὕτως ἐπὶ Ὀφιονέας, εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς Ναύπακτον ἐπαναχωρήσας, στρατεῦσαι ὕστερον. τοὺς δὲ Αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευὴ, οὔτε ὅτε τοπρῶτον ἐπεβουλεύετο· ἐπειδή τε ὁ στρατὸς ἐσεβεβλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες· ὥστε καὶ οἱ ἔσχατοι Ὀφιονέων, οἱ πρὸς τὸν Μηλιακὸν κόλπον καθήκοντες, Βωμιῆς καὶ Καλλιῆς, ἐβοήθησαν.

στζʹ. 97. Τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι παρῄνουν, ὅπερ καὶ τοπρῶτον· ἀναδιδάσκοντες αὐτὸν, τῶν Αἰτωλῶν ὡς εἴη ῥᾳδία ἡ αἵρεσις, ἰέναι ἐκέλευον ὅτιτάχιστα ἐπὶ τὰς κώμας, καὶ μὴ μένειν, ἕως ἂν ξύμπαντες ἀθροισθέντες ἀντιτάξωνται, τὴν δ᾽ ἐν ποσὶν αἰεὶ πειρᾶσθαι αἱρεῖν. ὁ δὲ, τούτοις τε πεισθεὶς, καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ ἠναντιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας, οὓς αὐτῷ ἔδει προσβοηθῆσαι (ψιλῶν γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα,) ἐχώρει ἐπὶ Αἰγιτίου, καὶ κατὰ κράτος αἱρεῖ ἐπιών. ὑπέφευγον γὰρ οἱ ἄνθρωποι, καὶ ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως. ἦν γὰρ ἐφ᾽ ὑψηλῶν χωρίων, ἀπέχουσα τῆς θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα. οἱ δὲ Αἰτωλοὶ (βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ Αἰγίτιον,) προσέβαλλον τοῖς Ἀθηναίοις, καὶ τοῖς ξυμμάχοις, καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν, καὶ ἐσηκόντιζον·

Sapientum, et Holstenii notas ad Stephanum Byzant. in voce Νεμέα. Huds. Vid. Pausan. Bœot. p. 772. Plutarch. in Dioclis conviv. p. 162. Epitaphia collegit Gyraldus in Vita ejus. His adjice ex schedis Barberinis:

ΧΑΙΡΕ ΔΙΣ ΗΒΗΣΑΣ ΚΑΙ ΔΙΣ ΤΑΦΟΝ ΑΝΤΙΒΟΛΗΣΑΣ
ΗΣΙΟΔ᾽ ΑΝΘΡΩΠΟΙΣ ΜΕΤΡΟΝ ΕΧΩΝ ΣΟΦΙΗΣ.

Wass. Hujus Pindarum auctorem facit Suidas in τὸ Ἡσιόδειον γῆρας. Duck.

Κροκύλιον] Vid. Nos in Addendis. Wass. De Potidania Palmer. IV. Græc. Ant. 22. Duck.

Τίχιον] Livius (l. 36. c. 16. 19.) ait, Tichiunta esse montis cacumen; ut Callidromus et Rhoduntia, cui assentitur Appianus, qui Τειχιοῦντα scribit. Huds.

Εὐπόλιον] Stephanus Εὐπαλίαν vocat. Strabo Εὐπάλιον. Id. Palmer. V. Gr. Ant. 2. D.

Βωμιῆς] Steph. Βωμοὶ λόφοι Αἰτωλίας. Strabo X. p. 451. Εὔηνος ποταμὸς ἄρχεται ἐκ Βωϊαίων τῶν ἐν Ὀφιεῦσιν Αἰτωλικοῦ ἔθνους, καθάπερ καὶ οἱ Εὐρυτᾶνες, καὶ Ἀγραῖοι. Gemist. Pletho Βωμιέων. Wass. Add. Holsten. ad Steph. et de Calliensibus Palmer. V. Gr. Ant. 22. Duck.

Αἰγιτίου] Hujus oppidi nulla apud Veteres memoria. Wass. De ejus situ Palmer. III. Græc. Ant. 14. Duck.

Ἤδη] Perperam abest a Cl. Wass.

καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ ἐπέκειντο· καὶ ἦν ἐπιπολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαὶ, ἐν οἷς ἀμφοτέροις ἥσσους ἦσαν οἱ Ἀθηναῖοι.

στή. 98. Μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς, καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον· τοξευόμενοι γὰρ οἱ Αἰτωλοὶ, ἄνθρωποι ψιλοὶ, ἀνεστέλλοντο· ἐπειδὴ δὲ, τοῦ τε τοξάρχου ἀποθανόντος, οὗτοι διεσκεδάσθησαν, καὶ αὐτοὶ ἐκεκμήκεσαν, καὶ ἐπιπολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι, οἵ τε Αἰτωλοὶ ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον· καὶ ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους, καὶ χωρία ὧν οὐκ ἦσαν ἔμπειροι, διεφθείροντο. καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν, Χρόμων ὁ Μεσσήνιος, ἐτύγχανε τεθνηκώς. οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες, πολλοὺς μὲν αὐτοῦ ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦντες, ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ, διέφθειρον· τοὺς δὲ πλείους, τῶν ὁδῶν ἁμαρτάνοντας, καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν. πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου τῶν στρατοπέδων τῶν Ἀθηναίων. μόλις τε ἐπὶ τὴν θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθεν περ καὶ ὡρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον. ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ, καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν· τοσοῦτοι μὲν τὸ πλῆθος, καὶ ἡλικία ἡ αὐτή· οὗτοι βέλτιστοι

Διώξεις—ὑπαγ.] Suidas in ὑπαγωγάς. Idem. Et Auctor Etymol. M. in ὑπάγει. Duck.

Αὐτοῖς] Idem, quod hic de dativo αὐτοῖς, etiam ad IV. 25. et VIII. 24. e Stephano adnotat Hudsonus. Tale quoque est Cap. 26. hujus Lib. ὃς ἦν αὐτοῖς ναύαρχος, et paullo post hic, ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν ἐτύγχανε τεθνηκώς. Sed tamen hujusmodi enallage casuum non semper procedit, et multa sunt hujus generis, in quibus dativus eodem modo ponitur, quo in lingua Latina is, quem dativum adquisitionis vocant Grammatici, quo commodum vel incommodum significatur; vel potest dici abundare, ut dativi aliorum quorumdam pronominum. Vid. Stephan. d. Lib. p. 83. et 172. et Perizon. ad Ælian. II. Var. Hist. 20. et VII. Duck.

Βέλη αὐτοῖς] Reisk. legit βέλη, καὶ αὐτοῖς οἷοί τε. Gottl.

Τὰ βέλη αὐτοῖς] Ordo est: οἱ τοξ. εἶχον αὐτοῖς, i. e. apud eos, vel: οἱ τοξ. αὐτ, εἶχ. i. e. οἱ τοξ. αὐτῶν. V. Ind. v. *Dativus*. Quare opus nil fuit Reiskio mutatore. Baver.

Ἀνεστέλλοντο] Hes. expl. ὑπεχώρουν. f. huc respexit. Abresch. 369. Gottl.

Ξυνεχόμενοι] Judicat Reisk. aut ξυνεχομένοις legendum, aut οἳ γὰρ, quod sit pro οἱ γάρ. v. Abresch. p. 369. Gottl.

Ξυνεχόμ. rel.] Reiskii ξυνεχομένοις pendeat ab ἐνέκειντο· nec male ita legit, quia alioqui καὶ redundet. Et paullo ante. Baver.

Εἰσφερομένους] E Schol. int. videtur is legisse: ἐσφρεομένους. Εἰσφρέω est, ingredior, int. ἐμαυτόν. v. Suidam. εἰσέφρησα. εἰσέδυσα ἑαυτόν. potius ἐμαυτόν. Gottl.

Εἰσφερομένους] Hoc quoque verbum aliter interpretari non poterat Schol. ac fecit; neque ideo aliter legisse censendus. Latine sit, illatos, inferentes se, eo concedentes. Non placent insueta vocabula sic obtrusa. Baver.

δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν. ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς. τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν, καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον, ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ περὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.

στθ'. 99. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, καὶ οἱ περὶ Σικελίαν Ἀθηναῖοι, πλεύσαντες ἐς τὴν Λοκρίδα, ἐν ἀποβάσει τέ τινι τοὺς προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν, καὶ Περιπόλιον αἱροῦσιν, ὃ ἦν ἐπὶ τῷ Ἄληκι ποταμῷ.

ρ'. 100. Τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ, προπέμψαντες πρότερον ἔς τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις, Τόλοφόν τε τὸν Ὀφιονέα, καὶ Βοριάδην τὸν Εὐρυτᾶνα, καὶ Τίσανδρον τὸν Ἀπόδωτον, πείθουσιν ὥστε σφίσι πέμψαι στρατιὰν ἐπὶ Ναύπακτον, διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν. καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. τούτων ἦσαν πεντακόσιοι ἐξ Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως, τότε νεοκτίστου οὔσης. Σπαρτιάτης δ' ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς, καὶ ξυνηκολούθουν αὐτῷ Μακάριος καὶ Μενεδαῖος οἱ Σπαρτιάται.

ρά. 101. Ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς, ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις. διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς. ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς, διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες. καὶ αὐτοὶ πρῶ-

Ἐπὶ τῷ Ἄληκι] De ἐπὶ pro παρὰ vid. Not. ad Cap. 91. in fin. Wass. De hoc fluvio agit Cluver. IV. Ital. Antiq. 15. In Strabonis Edd. scribitur Ἄληξ Lib. VI. p. 260. τοῦ δὲ Ἄληκος ποταμοῦ, τοῦ διορίζοντος τὴν Ῥηγίνην ἀπὸ τῆς Λοκρίδος. Et in Dionys. Perieg. pag. 59. Ed. Rob. Steph. v. 367. ἐπὶ προχοῇσιν Ἄληκος. Item in Conon. Narrat. V. apud Photium in Biblioth. Priscian. quoque in metaphrasi v. 361. qua currit flumen Alecis. Sed in Edd. Antigoni Caryst. Mirabil. Cap. I. Ἄληξ. Vir insignis J. Fr. Gronovius e vestigiis scripturæ libri Put. nomen illius restituit Livio XXIX. 7. ubi vulgo legitur *a Butroto* amni. Ortelius putat, eum a Cicerone VII. Epist. Famil. 20. et XVI. ad Attic. 7. Haletem, et a Theocrito V. Idyll. 123. et VII. 1. Ἄλεντα vocari. Sed in Cicerone legendum esse Heletem, qui Lucaniæ fluvius est, ostenderunt Doctissimi Interpretes. Nec Ἄλεντα Theocriti esse Ἄληκα, de quo hic Thucydides, probabile videbitur iis, qui legerunt, quæ disputat Heinsius Cap. XII. Lection. Theoc. Duck.

Λακεδαιμόνιοι] Οἱ Λακεδαιμόνιοι Gr. bene. Wass.

Μακάριος καὶ Μενεδαῖος] Ita edi voluit Cl. Wasse pro eo, quod ante legebatur, Μασσάριος καὶ Μενέδατος. recte, sine dubio. Quod autem dicit Thucydides ξυνηκολούθουν αὐτῷ, indicare videtur, hos συμβούλους ei additos fuisse a Lacedæmoniis, ut II. 85. et III. 69. Duck.

Ἀμφισσῆς] Ar. Ἀμφισῆς, sed cum σσ

τον δόντες ὁμήρους, καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι, φοβουμένους τὸν ἐπιόντα στρατόν· πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας (ταύτῃ γὰρ δυσεσβολώτατος ἡ Λοκρὶς) ἔπειτα Ἰπνέας, καὶ Μεσσαπίους, καὶ Τριταιέας, καὶ Χαλλαίους, καὶ Τολοφωνίους, καὶ Ἡσσίους, καὶ Οἰανθέας. οὗτοι καὶ ξυνεστράτευον πάντες. Ολπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ. καὶ Ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους, πρὶν αὐτῶν εἷλον κώμην, Πόλιν ὄνομα ἔχουσαν.

ρβʹ. 102. Ἐπειδὴ δὲ παρεσκεύαστο πάντα, καὶ τοὺς ὁμή-

plerique omnes utriusque linguæ auctores. Wass.

Μυονέας] Ita Codices: quibuscum consentiunt Pausanias, et Stephanus: alii Μύονες, vel Μύωνες. vid. Pausan. VI. 19. locum hunc citantem. Idem. Add. Sylburg. ad Pausán. Interpretes Stephani in Μυονία et Μύων, et, qui de omnibus his locis agit, Palmer. V. Græc. Ant. 2. Duck.

Δυσεσβολώτατος] Josephus XIV. Antiq. 5. δυσεμβολώτατος, atque ita Thucydid. Ms. C. Δυσεκβολώτατος legit Thom. Magister in δυσπρόσοδος. Wass. Thomam emendandum esse Thucydidem inspicienti liquet. Δυσέμβολος eadem significatione dicunt Plutarch. et Aristoteles apud Budæum in Commentar. pag. 436. et contra εὐέμβολος Aristotel. ibid. Δυσέμβολος quoque rursum Joseph. XVII. Ant. 2. Et librarium Cod. Dan. hic δυσεμβολώτατος voluisse scribere e ductu literarum suspicabatur Vir doctiss. qui Cod. hunc cum Edit. Hudsoni comparaverat. Ceterum Budæus l. d. pag. 1068. hunc locum mendi suspectum habet. Nam de adjectivis in ος communis generis agens, quum multa memorasset, addit, hoc Thucydidis magis mirum, quam alia, videri posse: nec se meminisse alterum hujusmodi exemplum, si emendate legatur. Omnino credi par est, Virum πολυμαθέστατον justas habuisse hujus sententiæ causas: etsi, quæ hæ esse possint, me non adsequi fateor. Duck.

Δυσεσβολώτατος] vid. Gloss. Masc. hic esse, cum sequatur ἡ Λοκρὶς, et aliis exemplis, quæ Abr. collegit, Dil. p. 369. defendi potest, v. c. apud N. V. 110. τῶν κρατούντων ἀπορώτερος ἡ λῆψις.—Gottl.

Ἰπνέας] Recte, vid. Steph. Ἴπνος. W.

Μεσσαπίους] Μεταπίους omnino legendum esse colligunt Viri Eruditi ex Stephano in voce Χάλαιον, et ex Polybii lib. 5. ubi de expeditione Ætolica Philippi loquitur. Vide Palmerii Gr. antiq. p. 542. Huds. Μεταπίους hic emendant Henr. Stephanus ad Dionys. Perieg. p. 153. Holsten. ad Stephan. v. Μέταπα, et Palmer. in Exercitation. p. 49. Hic tamen sententiam videtur mutasse. V. Græc. Ant. 2. Et in Animadversionibus Mss. ad Dionys. Perieg. et Adnotationes H. Stephani: nam ibi ad verba Stephani, hic Μεταπίους legendum esse, si Polybium nobis sequendum putemus, adscripsit: *at non est sequendus: is enim locus est* ἕλκεσι βρύων. Duck.

Τριταιέας] Vid. Herodot. VIII. 33. Pausan. Polyb. p. 179. 383. 450. Hesychium in V. et Strabonem VIII. 525. apud Plinium Tritæa. Wass. Holsten. ad Stephan. in Τρίτεια, et Palmer. VI. Gr. Ant. 15. qui de aliis quoque, quos hic nominat Thucydides, consulendi sunt. Τολοφωνίους in Stephano scribendum esse ex ipso Steph. in voc. Τολοφὼν ostenderunt Palmer. loco, quem in Var. Lect. indicat Hudsonus, et pag. 543. et Holsten. ad Stephan. Duck.

Καὶ Οἰανθέας] Ex hoc loco Thucydidis constat, apud Polybium, l. 5. pro Ὑανθέων reponi debere Οἰανθέων, et Οἰανθεῖς apud Scylacem pro Εὐανθία. Vide Pausaniam in Phocicis, Plinium, lib. 4. cap. 5. Melam, lib. 2. c. 3. Polyænum, l. 8. *Palmerius.* Huds. Οἰανθέας] Locri Ozol. gens. oppidum Οἰάνθεια Pausan. Steph. Οἰάνθη. Ptolem. Εὐανθία corrupte. Corrige etiam Polybium, cujus exemplaria Οἰνάνθειαν servant. Martianus VI. 8. *Œanthe,* in quo portus Apollinis; ita ille ex Plinio. duo Mss. mendose *Teanthe.* Melæ *Œanthia.* Hodie *Pentagii.* Wass. Locus Polybii, quem Palerius emendat Exercitat. pag. 50. est Lib. V. Cap. 17. Οἰνάνθεια, quod Idem habet IV. 57. corrigit etiam Berkelius ad Stephan. Οἰάνθη. De locis Scylacis et Ptolemæi, quorum in illo est Εὔανθις, in hoc Εὐανθία, Palmer. l. d. et ad Scylac. pag. 32. et Harduin. ad Plin. IV. H. N. 3. Duck.

Ὀλπαῖοι] Gr. et marg. Cl. Ὀλπιαῖοι minus sincere. Steph. cum editis. vid. pag. 208, 209, 210. Wass.

Ὑαῖοι] Ita Codd. et Steph. Idem.

ϱους κατέθετο ἐς Κυτίνιον τὸ Δωϱικὸν, ἐχώϱει τῷ στϱατῷ ἐπὶ τὴν Ναύπακτον, διὰ τῶν Λοκϱῶν. καὶ πορευόμενος, Οἰνεῶνα αἱρεῖ αὐτῶν, καὶ Εὐπόλιον. οὐ γὰϱ πϱοσεχώϱησαν. γενόμενοι δ᾽ ἐν τῇ Ναυπακτίᾳ, καὶ οἱ Αἰτωλοὶ ἅμα ἤδη πϱοσβεβοηθηκότες, ἐδῄουν τὴν γῆν, καὶ τὸ πϱοάστειον, ἀτείχιστον ὂν, εἷλον. ἐπί τε Μολύκϱειον ἐλθόντες, τὴν Κοϱινθίων μὲν ἀποικίαν, Ἀθηναίων δὲ ὑπήκοον, αἱϱοῦσι. Δημοσθένης δὲ ὁ Ἀθηναῖος, (ἔτι γὰϱ ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας πεϱὶ Ναύπακτον,) πϱοαισθόμενος τοῦ στϱατοῦ, καὶ δείσας πεϱὶ αὐτῆς, ἐλθὼν, πείθει Ἀκαϱνᾶνας, χαλεπῶς, διὰ τὴν ἐκ τῆς Λευκάδος ἀναχώϱησιν, βοηθῆσαι Ναυπάκτῳ. καὶ πέμπουσι μετ᾽ αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας· οἳ ἐσελθόντες, πεϱιεποιήσαντο τὸ χωϱίον. δεινὸν γὰϱ ἦν, μὴ, μεγάλου ὄντος τοῦ τείχους, ὀλίγων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. Εὐϱύλοχος δὲ καὶ οἱ μετ᾽ αὐτοῦ, ὡς ᾔσθοντο τὴν στϱατιὰν ἐσεληλυθυῖαν, καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώϱησαν, οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ᾽ ἐς τὴν Αἰολίδα, τὴν νῦν καλουμένην Καλυδῶνα, καὶ Πλευϱῶνα, καὶ ἐς τὰ ταύτῃ χωϱία, καὶ ἐς Πϱόσχιον τῆς Αἰτωλίας. οἱ γὰϱ Ἀμπϱακιῶται, ἐλθόντες πϱὸς αὐτοὺς, πείθουσιν ὥστε μετὰ σφῶν Ἄϱγει τε τῷ Ἀμφιλοχικῷ καὶ Ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειϱῆσαι, καὶ Ἀκαϱνανίᾳ· ἅμα λέγοντες, ὅτι, ἢν τούτων κϱατήσωσι, πᾶν τὸ Ἠπειϱωτικὸν Λακεδαιμονίοις ξύμμαχον καθεστήξει. καὶ ὁ μὲν Εὐϱύλοχος, πεισθεὶς, καὶ τοὺς Αἰτωλοὺς ἀφεὶς, ἡσύχαζε τῷ στϱατῷ πεϱὶ τοὺς χώϱους τούτους, ἕως τοῖς Ἀμπϱακιώταις ἐκστϱατευσαμένοις πεϱὶ τὸ Ἄϱγος δέοι βοηθεῖν. καὶ τὸ θέϱος ἐτελεύτα.

ϱγʹ. 103. Οἱ δ᾽ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, τοῦ ἐπιγιγνομένου χειμῶνος, ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων, καὶ ὅσοι Σικελῶν κατὰ κϱάτος ἀϱχόμενοι ὑπὸ Συϱακουσίων, καὶ ξύμμαχοι ὄντες, ἀποστάντες αὐτοῖς ἀπὸ Συϱακουσίων, ξυνεπο-

Οὐκ ἀντίσχωσιν] Οὐκ abest Græc. male. Idem.

Αἰολίδα] Regionem, non oppidum, recte intelligit Palmerius IV. Græc. Antiq. 8. De altera hujusce nominis regione vid. Scylacem, pag. 36. Scymnum V. 696. Liv. XXXIII. 38. Polyb. 586. Thessali etiam Æoles: auctor Diodorus. Confer Hescyh. in αἰσκιλόν. et pro αἰολικὸν lege αἰπολικὸν, vel Αἰτωλικόν. Pindar. p. 195. 197. Xenoph. Hist. Gr. III. p. 530. hodie *Ayton.* Æolis illa altera antea *Mysia.* Αἰολικὸν θέαμα pro Καλυδωνικὸν Phavorinus. Wass. Confer Casaubon. Cap. I. Lection. Theocrit. et de Proschio Palmer. IV. Græc. Antiq. 10. Duck.

λέμουν, ἐπὶ Νῆσσαν, τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακούσιοι εἶχον, προσέβαλλον· καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, ἀπῄεσαν. ἐν δὲ τῇ ἀναχωρήσει, ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος Συρακούσιοι· καὶ προσπεσόντες, τρέπουσί τε μέρος τι τοῦ στρατοῦ, καὶ ἀπέκτειναν οὐκ ὀλίγους. καὶ μετὰ τοῦτο, ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ τὸν Καϊκινὸν ποταμὸν, τοὺς προσβοηθοῦντας Λοκρῶν μετὰ Προξένου τοῦ Καπάτωνος, ὡς τριακοσίους, μάχῃ ἐκράτησαν, καὶ ὅπλα λαβόντες, ἀπεχώρησαν.

ρδ΄. 104. Τοῦ δ᾽ αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι, κατὰ χρησμὸν δή τινα. ἐκάθηρε μὲν γὰρ καὶ Πεισίστρατος ὁ τύραννος πρότερον αὐτὴν, οὐχ ἅπασαν, ἀλλ᾽ ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε δὲ πᾶσα ἐκαθάρθη, τοιῷδε τρόπῳ· θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ, πάσας ἀνεῖλον, καὶ τολοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ, μήτε ἐντίκτειν, ἀλλ᾽ ἐς τὴν Ῥήνειαν διακομίζεσθαι. ἀπέχει δὲ ἡ Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον, ὥστε Πολυκράτης ὁ Σαμίων τύραννος, ἰσχύσας τινὰ χρόνον ναυτικῷ, καὶ τῶν τε ἄλλων νήσων ἄρξας, καὶ τὴν Ῥήνειαν ἑλὼν, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ, ἁλύσει δήσας πρὸς τὴν Δῆλον. καὶ τὴν πεντετηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια. ἦν δέ ποτε καὶ

Ἐπὶ Νῆσσαν] Forsan et hic locus est, quem Strabo (l. 6. p. 268.) vocat Ἴννεσσαν et Diodorus Ἐννησίαν. Vide Bocharti Geogr. sacr. l. 1. c. 28. p. 529. Huds. Cluverii et Bocharti conjecturam hic legentium ἐπ᾽ Ἴνησσαν confirmant Reg. et Cass. Duck.

Δῆλον ἐκάθηραν] In insula Delo Apollini sacra nec parere fas fuit, nec mortuum sepelire. Hinc (quod mortui in ipsa sepulturæ essent mandati) illa Deli κάθαρσις, quam non semel Athenienses procurarunt. Vide Diodor. Sic. l. 12. et Strab. l. 10. De ritu vero Atheniensium in urbe lustranda vide Meursii Attic. Lect. l. 4. c. 23. Huds. Add. Spanhem. ad Callimach. Hymn. in Del. v. 1. et 277. Duck.

Οὐχ ἅπασαν] Bis est ab Atheniensibus purgata Delus ex Apollinis responso. Primo enim eam purgavit Pisistratus, ut narrat Herodotus, l. 2. Sed cum Pisistratus haud totam insulam purgasset, sed quantum duntaxat a templo quaquaversus prospici poterat, rursus eam Athenienses integram jussu oraculi lustraverunt. Vide Diodorum Sicul. l. 12. et Meursii Pisistratum. Huds.

Ἐναποθνήσκειν] Male Lat. *moreretur*; potius ad mortem ægrotaret, mortuusve in ea sepeliretur, nec gravida instante partu ibi pareret. v. Abr. Dil. 370. Gottl.

Ῥήνειαν] Ita scribunt D. Halic. Steph. Scylax, Pausanias, Strabo, Antigonus Hist. Mir. 11. Ælian. de Anim. Ῥηναίη Herodotus et Hyperides. Ῥήναια Schol. Theocriti ιζ΄. 71. Plutarch. et Numi Severi et Maximi Ῥηνία. Athenæus XI. 488. Τράπεζα Ῥηνιοεργής, Plinius *Rhene*. Olim *Artemitis*, et *Celadussa*, ut apud eundem Anticlides et Hellanicus. Apud Suidam Ῥήνεια et Ῥηνία. In Hesychio Ῥήνη. Vid. Tournefort. I. 243. et Homeri Schol. Il. β΄. 728. Nunc *Fermene* Sophian. Wass. Add. I. 13. et quæ de confusis Deliorum et Rhenæorum adpellationibus scribit Casaub. ad Athen. IV. 22. D.

Τὰ Δήλια] Vide Meursii Græciam Feriatam p. 83. Huds. Et Spanhem. ad Inscript. Hymn. Callimach. in Delum. Περικ-

τοπάλαι μεγάλη ξύνοδος ἐς τὴν Δῆλον, τῶν Ἰώνων τε καὶ περικτιόνων νησιωτῶν. ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν, ὥσπερ νῦν ἐς τὰ Ἐφέσια Ἴωνες· καὶ ἀγὼν ἐποιεῖτο αὐτόθι καὶ γυμνικὸς καὶ μουσικός. χορούς τε ἀνῆγον αἱ πόλεις. δηλοῖ δὲ μάλιστα Ὅμηρος, ὅτι τοιαῦτα ἦν, ἐν τοῖς ἔπεσι τοῖσδε, ἅ ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος·

> Ἀλλὰ σὺ Δήλῳ Φοῖβε μάλιστ' ἐπιτέρπεαι ἦτορ,
> Ἔνθά τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται,

τίονες νησιῶται, quorum conventum in Delum mox memorat Thucydides, sunt incolæ Cycladum, Idem ibid. ad v. 3. Θεωρεῖν significatione cum præpositione εἰς dicit etiam Lucian. Timon. pag. 152. ἀλλ' οὐδὲ ἐθεώρησα οὐδὲ ἐγὼ πώποτε εἰς Ὀλυμπίαν; quod est ex Aristoph. Vesp. 1183. Ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ, Πλὴν ἐς Πάρον. *Ludos spectatum venire* interpretatur H. Stephanus: *ad sacra proficisci, interesse sacris*, Reines. VI. Var. Lect. 6. p. 463. Sed quod est in Thucyd. VIII. 10. καὶ οἱ Ἀθηναῖοι ἐθεώρουν ἐς αὐτὰ, nempe τὰ Ἴσθμια, de iis dicitur, qui publice θεωροὶ mittebantur, de quibus Spanhem, l. d. v. 314. quemadmodum apud Thucyd. V. 18. θεωρεῖν κατὰ τὰ πάτρια, est, ut ibi Schol. θεωροὺς πέμπειν. Quæ de Ephesiis hic tradit Thucydides, ea pluribus exsequitur Dion. Halic. IV. 25. Add. Spanhem. ll. dd. et ad v. 279. ubi Poëta, πᾶσαι δὲ χοροὺς ἀνάγουσι πόληες. Duck.

Δηλοῖ δὲ κ. τ. λ.] Contra Thucydid. disputat Ruhnqu. Ep. crit. p. 9. Gottl.

Ἐκ προοιμίου Ἀπόλλωνος] Προοίμιον pro Hymno, etiam alii dicunt. Vid Menag. ad Laërt. VIII. 57. Sed de etymo aliter, ac plerique alii, qui ab οἴμη, id est ᾠδὴ, derivant. sentit Schol. β'. Æschyl. ad v. 7. Sept. cont. Theb. Τὸ τοῦ προοιμίου ὄνομα, inquit, οὐκ ἄλλο, ἢ τὸν ἔπαινον δηλοῖ. πρὸ γὰρ τῶν οἴμων καὶ τῶν ὁδῶν οἱ παλαιοὶ τοὺς ἐπαίνους ᾖδον. ὥσπερ ἐστὶ καὶ τὸ ἐγκώμιον, τὸ ἐν κώμαις καὶ στενωποῖς λεγόμενον. κώμας γὰρ ἐκάλουν τοὺς στενωπούς. Etsi autem ex hoc loco constat, Thucydidem Hymnum Apollinis, qui nunc quoque exstat, pro genuino fœtu Homeri habuisse: tamen ex eo non confici potest, eum idem de omnibus aliis, qui sub Homeri nomine circumferuntur, sensisse. Itaque paullo liberaliorem, quam par erat, puto fuisse Menagium l. d. ita scribentem, quasi existimet, hinc ostendi, Thucydidem omnes, ut Homericos, agnovisse. Sed legi debent, quæ de hoc argumento scripserunt Viri Clariss. Fabricius II. Biblioth. Gr. 2. 4. et Barnesius ad Homer. Hymn. in Apoll. v. 1. et 169. Duck.

Ἀλλὰ σὺ Δήλ.] De hymnis (inquit Camerarius) quibus Homeri nomen præscriptum est, etiam a Veteribus dubitatur, utrum ille hos composuisset, atque hujus in Apollinem nescio quis Autor nominatur. Sed nobis Thucydidis testimonium satis esse potest, ut Homericum esse credamus. Editi autem sunt illi sane minus emendati, quod et Aldus, optimus et integer vir, testatus est. Atque adducti versus a Thucydide ita expositi in scripto quodam exemplari reperti sunt:

> Ἄλλοτε Δήλῳ Φοῖβε μάλιστά γε θυμὸν ἐτέρφθης
> Ἔνθά τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται,
> Σύν σφισι καὶ τεκέεσσί τε σὺν εἰς ἀγυιὰν,
> Ἔνθά σε πυγμαχίῃ τε καὶ ὀρχηστῦϊ καὶ ἀοιδῇ
> Μνησάμενοι τέρπουσιν, ὅταν καθέσωσιν ἀγῶνα.

Hactenus Camerarius, cujus quidem Exemplari consentiunt et nostra, nisi quod versu 1. ἀλλ' ὅτε pro ἄλλοτε habent. v. 3. σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὺν etc. Ar. C. Gr. αὐτοῖς σὺν τεκέεσσι γυναιξίτε αἰδοίῃσιν Cl. v. 4. ἔνθά σε πυγμαχίῃ καὶ ὀρχηθμῷ καὶ etc. Cl. Variantes Lectiones, quæ in reliquis versibus occurrunt, vide in Appendice. Huds. Contulit in Appendicem quasdam variantes lectiones e versibus sequentibus, quæ inter eas sub Hudsoni nomine lit. *p* et *t* adnotatæ sunt. In his ceteri scripti cum Camerariano et Hudsonianis fere consentiunt. v. 1. Ἀλλ ὅτε et reliqua, plane ut Camer. et Hudson. etiam Reg. Cass. Gr. Dan. v. 2. Ἔνθα το, et Ἰώνες Gr. v. 3. Σὺν σφίσι τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν Reg. et Cass. sed pro ἀγυιάν ἄγυιαν, et in marg. γρ. ἀγυιὰν. Σὺν σφῖσι non σφοῖσιν, ut Hudson. —ἄγυιαν Gr. Σὺν σφοῖσιν —ἀγυιὰν Dan. v. 4. Τε deest Reg. Cass Gr. Dan. sed in hoc inferciuntur etiam alia hunc in modum: Καθήσωσιν. ἔνθα σε πυχμαχίῃ καὶ ὀρχίῃ καὶ ὀρχηστῦϊ καὶ ἀοιδῇ. v. 5. καθέσωσιν tamquam e Camerar. edidit Hudsonus, et ita etiam Reg. Cass. Dan. sed in Edit. Camerar. est καθέζωσιν, et v. 3. ἀγύιαν, non ἀγυιάν. H. Stephanus et Portus varietatem scripturæ hujus loci in fine libri quæri jubent; sed deinde obliti sunt eam adnotare. In Homeri Editt. v. 146. et seqq. Hymn. Apoll. omnia ita leguntur, ut in vulgatis Thucydidis: nisi quod in primo eorum, qui

Αὐτοῖς σὺν παίδεσσι, καὶ αἰδοίης ἀλόχοισιν.
Οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ
Μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα.

Οτι δὲ καὶ Μουσικῆς ἀγὼν ἦν, καὶ ἀγωνιούμενοι ἐφοίτων, ἐν τοῖσδε αὖ δηλοῖ, ἅ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου. τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας, ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη·

Αλλ' ἄγεθ', ἱλήκοι μὲν Απόλλων, Αρτέμιδι ξὺν,
Χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθε
Μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
Ενθάδ' ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθὼν,
Ω κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
Ενθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;
Υμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθε ἀφήμως,
Τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ.

Τοσαῦτα μὲν Ομηρος ἐτεκμηρίωσεν, ὅτι ἦν καὶ τοπάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Αθηναῖοι μεθ' ἱερῶν ἔπεμπον. τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη, ὑπὸ ξυμφορῶν, ὡς εἰκὸς, πρὶν δὴ οἱ Αθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν, καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

ρέ. 105. Τοῦ δ' αὐτοῦ χειμῶνος Αμπρακιῶται, ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ Αργος τὸ Αμφιλοχικὸν τρισχιλίοις ὁπλίταις· καὶ

paullo post laudantur, habent: Ἀλλ' ἄγε δὴ, Λητὼ μὲν, Ἄπολλόν τ', Ἀρτ. in 2. χαίρετέ γ' ὑμεῖς, et in 7. ὑποκρίνασθε ἀφ' ἡμέων. Duck.

Ἀφήμως] Et Ruhnquen. Ep. Crit. I. p. 13. emendat εὐφήμως, quod jam viderat Kuster. ad Hes. s. h. v. Gottl.

Ἀφήμως] Ferri potest ἀφήμως, si verteris, tacita voce, silenti, vix audienda: quia sequ. τυφλὸς ἀνήρ. Si tamen legeris εὐφήμως, legendum etiam erit ὑποκρίνασθ' εὐφ'. Bauer.

Οἰκεῖ δὲ Χίῳ] Quomodo et qua de causa in Chium transfretaverit Homerus, refert Herodotus in libello de vita Homeri. Huds.

Ἀμπρακιῶται] Ita Mss. v. Nostrum II. 80. Ambracia olim Ἐπουία et Παραλία, Thesprotiæ urbs ad Arachthi ostium sita est, Lat. secundum Ptolemæum XXXVIII. 20. vid. Livium XXXVIII. 4. Ἀμπρακία Herodotus, et Noster ubique, Diodorus, Ælianus Hist. Animal. XII. 40. Dio Cassius. Altera scriptura per b (sæpe enim alternant hæ literæ. vid. Plutarch. Quæst. Hellen.) et quam reliqui sequuntur, Latini inprimis, et numi veteres, quos inspeximus. Olymp. CIV. aliquanto est veterior, ut ex Philisto patet. Hoc modo etiam scribit Archestratus, quem vertit Ennius, ἐν Γαστερονομίᾳ, ejusque interpres: *Charadrumque apud Ambraciaï.* Neque aliter Callimachus, Polybius, Damagetus Anthol. III. Scymnus, Steph. Harpocration, Africanus Κεστ. 325. et Dionysii Codices vulgati: verum ibi ex Bodleianis Mss. omnino reponendum Ἀμπρακιῆαν. Plinium sequitur Martianus pag. 209. ubi pro *Lycaonia,* Codex C. C. C. vetustissimus *Laconia* recte, et pro Butrorum *Butrotum* lege *Buthrotum.* Wass.

ἐσβαλόντες ἐς τὴν Ἀργείαν, καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ· ὅ ποτε Ἀκαρνᾶνες τειχισάμενοι, κοινῷ δικαστηρίῳ ἐχρῶντο. ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως, ἐπιθαλασσίας οὔσης, πέντε καὶ εἴκοσι σταδίους μάλιστα. οἱ δὲ Ἀκαρνᾶνες, οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ, τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ, ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους, μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο. πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην, τὸν ἐς τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται· καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων, αἳ ἔτυχον περὶ Πελοπόννησον οὖσαι· ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ Τιμοκράτους, καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν, κελεύοντες σφίσι βοηθεῖν πανδημεί· δεδιότες, μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται διελθεῖν τοὺς Ἀκαρνᾶνας, καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ μάχη γένηται, ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ᾖ ἀσφαλές.

ρστ'. 106. Οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι, ὡς ᾔσθοντο τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ Προσχίου, ἐβοήθουν κατὰ τάχος. καὶ διαβάντες τὸν Ἀχελῷον, ἐχώρουν δι' Ἀκαρνανίας, οὔσης ἐρήμου, διὰ τὴν ἐς Ἄργος βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν, καὶ τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν. καὶ διελθόντες τὴν Στρατίων γῆν, ἐχώρουν διὰ τῆς Φυτίας,

Κοινῷ δικαστηρίῳ] Describit ex hoc loco Stephan. v. Ὄλπαι. Duck.

Τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας] Interpres, *Ambraciotas, qui apud Olpas erant, venire.* Sed non adparet, eos ab Olpis discessisse: nam et mox dicit, καὶ προσέμιξαν (οἱ Πελοποννήσιοι) τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις. Fr. Portus παραφράζει, Ambraciotas in armis esse, et *Olpas occupasse.* Ita ἐν Ὄλπαις pro εἰς Ὄλπας dictum erit, quod non insolens est. Theocrit. III. 53. κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω. Lucian. Ocyp. 830. ἦλθεν μὲν οὖν τοπρῶτον ὑγιὴς ἐν δόμοις. Vid. quæ adnotantur ad Ælian. IV. V. H. 18. Et sic fortassis defendi potest hoc Luciani de Sacrific. princ. τῶν ἄλλων θεῶν ἐν Οἰνέως πεπορευμένων, ut suppleatur dativus substantivi οἴκῳ, vel alius. Sed potius puto legendum ἐς Οἰνέως, ut εἰς παιδοτρίβου, εἰς διδασκάλου, et alia cum verbis significantibus motum ad locum. Apud Thucyd. tamen positura vocum non videtur permittere hanc interpretationem, et vix dubito, quin τοὺς ἐν Ὄλπαις sit, τοὺς ἐν Ὄλπαις ὄντας, ut paullo post προσέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις. Ἥκοντας quid sit, mihi non satis liquet; nisi forte de legatis, aut nunciis quibusdam ab Ambraciotis, qui Olpis erant, missis accipiendum est, ut Cap. 110. ἡ ἐκ τῶν Ὄλπων ἀγγελία Ambraciam missa. Duck.

Ἥκοντας] Palm. legit, τοὺς Ἀμπρακ. Ὄλπας ἔχοντας et sub fin. cap. interpr. corrigit, qui ὄρους, ὅ— verterit, *montem incultum*; ipse reddit: qua incultus est. Gottl.

Ἥκοντας] Palmerii emendatione carere liceat; qui si recte vertit, ὅ ἐστιν ἄγρ. legere idem debuit, ᾗ ἐστ. ἄγρ. Sed neque hoc opus; describere montem voluit Thucyd. Baver.

Φυτίας] Polybio Φοιτεῖαι, inquit Palmerius.

καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα· ἔπειτα διὰ Λιμναίας. καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσι. λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ ἐστιν ἄγροικον, ἐχώρουν δι' αὐτοῦ, καὶ κατέβησαν ἐς τὴν Ἀργείαν νυκτὸς ἤδη. καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς, ἔλαθον, καὶ προσέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις.

ρζ'. 107. Γενόμενοι δὲ ἀθρόοι, ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην, καὶ στρατόπεδον ἐποιήσαντο. Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον παραγίγνονται ἐς τὸν Ἀμπρακικὸν κόλπον, βοηθοῦντες τοῖς Ἀργείοις· καὶ Δημοσθένης, Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων. καὶ αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφόρμουν· οἱ δὲ Ἀκαρνᾶνες, καὶ Ἀμφιλόχων ὀλίγοι, (οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο,) ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες, παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις. καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται Δημοσθένην, μετὰ τῶν σφετέρων στρατηγῶν. ὁ δὲ, προσαγαγὼν ἐγγὺς τῆς Ὄλπης, ἐστρατοπεδεύσατο. χαράδρα δ' αὐτοὺς μεγάλη διεῖργε. καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. καὶ, (μεῖζον γὰρ ἐγένετο, καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπεδον,) ὁ Δημοσθένης, δείσας, μὴ κυκλωθῇ, λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη ὁπλίτας καὶ ψιλοὺς, ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γι-

Corrige obiter Suidam, qui *Φύττειον* scribit. Vid. Steph. WASS.

Μεδεῶνος] *Medionem* scribit Livius. Vid. Polybium. WASS. De Medeone agit Palmer. III. Græc. Ant. 5. De Agræis IV. 3. Livii locus est XXXVI. 11. Polybii e L. XVIII. ap. Steph. DUCK.

Κρήναις] Locus incertæ positionis. vid. Cap. 105. Est et Bœotiæ locus *ἡ Κρήνη* Schol. Æschyli Pers. 483. WASS.

Ἐφόρμουν] Hoc neque ullus liber scriptus habet, nisi fortassis Dan. e quo hic nihil adnotatum erat, neque editus ante Stephanum, in cujus Edd. et ex his in Ed. Porti id errore operarum inrepsisse suspicor. Nec est, cur augmentum hic a Thucydide neglectum credamus. DUCK.

Καὶ μεῖζ.—ὁ δὲ Δημ.] Abr. credit, *τὸ δὲ* intrusum esse a librariis, quod parenthesis verba non suo loco posita fuissent; debuisse autem hæc *μεῖζον—στρατόπεδον* sequi demum post *κυκλωθῇ*. Ita: *καὶ (μεῖζον—στρατ.) ὁ Δημ.*—v. Dil. 372. Reisk. quoque hæc verba includenda parenth. putat. pag. 374. Diluc. GOTTL.

Καὶ (μεῖζ.—στρατόπ.) ὁ δὲ Δ.] Verba a *μεῖζον* ad *στρατόπεδον* in Parenthesi sunt, more Herodoti quoque, non Nostri tantum, præmittendi ita caussam iis, quæ consequantur. Sed *δὲ* ante *Δημοσθ.* haud dubie ejiciendum. Et ita a nobis editum. BAVER.

Κατὰ νώτου] Sic quoque Cap. seq. et IV. 33. DUCK.

γνωνται. ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ᾖεσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλίγων· τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον, καὶ Ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί. Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι, πλὴν Μαντινέων. οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον, καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες, ἀθρόοι ἦσαν. ἀλλ᾽ Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον, καὶ οἱ μετ᾽ αὐτοῦ, κατὰ Μεσσηνίους καὶ Δημοσθένην.

ρή. 108. Ὡς δ᾽ ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι, καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες, ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου, προσπίπτουσί τε, καὶ τρέπουσιν, ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖναι, φοβηθέντας τε, ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος καταστῆσαι. ἐπειδὴ γὰρ εἶδον τὸ κατ᾽ Εὐρύλοχον, καὶ ὃ κράτιστον ἦν, διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ Μεσσήνιοι ὄντες ταύτῃ μετὰ τοῦ Δημοσθένους, τὸ πολὺ τοῦ ἔργου ἐπεξῆλθον. οἱ δὲ Ἀμπρακιῶται, καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας, ἐνίκων τὸ καθ᾽ ἑαυτοὺς, καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν. καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. ἐπαναχωροῦντες δὲ, ὡς ἑώρων τὸ πλέον νενικημένον, καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς Ὄλπας. καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες, πλὴν Μαντινέων. οὗτοι δὲ μάλιστα ξυντεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Τῷ κέρᾳ] Thom. Mag. in κεραία, περιέσχον τὸ κέρας. Et in κυκλέω, ubi male editur ἐν τῇ τετάρτῃ: περιέσχον τὸ κέρας—ἐναντίων. Si non vitiosa est scriptura, videtur περιέσχον et ἐκυκλοῦντο quasi ἐκ παραλλήλου posita accepisse. Περιέχειν, pro circumdare, cingere, est supra Cap. 22. τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν αὐτούς. sed recte Scholiastes; ut Cap. 107. et alibi. Vid. Indicem. Duck.

Ἐς ἀλκὴν] Præpositionem necessariam omittit Gr. Wass.

Ἀτάκτως] Ita plerique. sed in marg. Cl. legitur ἀφυλάκτως, quomodo apud Xen. Hellen. VI. et Herodian. VI. vid. Indicem. Infra forte legendum, ὡς ὀψέ. Wass. Non est habenda ratio scripturæ, quæ est in marg. Cod. Cl. Ἀτάκτως et οὐδενὶ κόσμῳ recte conjunguntur, ut contra κόσμῳ καὶ τάξει IV. 126. κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες, et τὸ κόσμιον καὶ εὔτακτον apud Herodian. II. 4. Mox etiam Thom. Mag. in ὀψὲ legit ἕως ὀψὲ, et ὀψὲ pro ἑσπέρας positum dicit: quod potius supplendum putat Scholiastes, nec improbare videtur in Thesauro Stephanus. Ἐς ὀψὲ rursus dicit Thucydides VIII. 23. Ἀναγαγόμενος δὲ καὶ ὁ Ἀστύοχος τῇ αὐτῇ ἡμέρᾳ ἐς ὀψέ: idque hic non rejiciendum puto, propter verbum ἐτελεύτα, quod sæpissime cum præpositione εἰς jungitur. Thucyd. I. 51. Καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. et III. 78. Ἡ μὲν οὖν ναυμαχία, τοιαύτη γενομένη, ἐτελεύτα ἐς ἡλίου δύσιν. Duck.

ρθʹ. 109. Μενεδαῖος δὲ τῇ ὑστεραίᾳ, Εὐρυλόχου τεθνεῶτος, καὶ Μακαρίου, αὐτὸς παρειληφὼς τὴν ἀρχὴν, καὶ ἀπορῶν, μεγάλης ἥσσης γεγενημένης, ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Αττικαῖς ναυσὶν ἀποκεκλεισμένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον περὶ σπονδῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ακαρνάνων στρατηγοῖς, καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν, καὶ τροπαῖον αὐτοὶ ἔστησαν, καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο· ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασι, κρύφα δὲ Δημοσθένης μετὰ τῶν ξυστρατηγῶν Ακαρνάνων σπένδονται Μαντινεῦσι καὶ Μενεδαίῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων, καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι, ἀποχωρεῖν κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Αμπρακιώτας τε καὶ τὸν μισθοφόρων ὄχλον τὸν ξενικὸν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρήζων Ελληνας, ὡς, καταπροδόντες, τὸ ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο, καὶ διὰ τάχους ἔθαπτον, ὥσπερ ὑπῆρχε· καὶ τὴν ἀποχώρησιν κρύφα, οἷς ἐδέδοτο, ἐπεβούλευον.

ρίʹ. 110. Τῷ δὲ Δημοσθένει καὶ τοῖς Ακαρνᾶσιν ἀγγέλλεται, τοὺς Αμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ολπων ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Αμφιλόχων, βουλομένους τοῖς ἐν Ολπαις ξυμμῖξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ μέρος τὶ τὰς ὁδοὺς προλοχιοῦντας, καὶ τὰ καρτερὰ προκαταληψομένους· καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο βοηθεῖν ἐπ᾽ αὐτούς.

ριάʹ. 111. Εν τούτῳ δ᾽ οἱ Μαντινεῖς, καὶ οἷς ἔσπειστο, πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες, ὑπαπῄεσαν κατ᾽ ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ᾽ ἃ ἐξῆλθον δη-

Μενεδαῖος] Cl. Μενέδατος. vid. p. 205. etiam vers. 7. Μενεδάτῳ Cl. Historici vett. nihil hic juvant. Wass.

Πολιορκήσεται] Pro δυνήσεται πολιορκεῖσθαι, ut scripserat c. 52. perferendæ obsidioni impar. Abresch. pag. 374. Gottl.

Λόγον] Cl. λόγους, mondose. Schol. cum ed. Wass. Hoc numero librorum dari potest, ut hic præferatur λόγον· alioqui non minus recte dicitur λόγους προσφέρειν τινὶ, quam λόγον. Thucydid. II. 70. Οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων. Sic εἰς λόγον ἐλθεῖν, Aristoph. Equit. 803. et εἰς λόγους, Vesp. 470. vid. Kuster. ad Equit. Διδόναι λόγον, Lucian. Abdicat. 714. et λόγους Idem Revivisc. 394. Duck.

Ὄλπων] v. Stephanum. Wass.

θεν· προκεχωρηκότες δὲ ἤδη ἄπωθεν τῆς Ολπης, θᾶσσον ἀπεχώρουν. οἱ δ᾽ Αμπρακιῶται καὶ οἱ ἄλλοι, ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι ξυνελθόντες, ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ, καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. οἱ δὲ Ακαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν, κωλύοντας, καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς, ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ᾽ Αμπρακιώτας ἔκτεινον. καὶ ἦν πολλὴ ἔρις, καὶ ἄγνοια, εἴτε Αμπρακιώτης τίς ἐστιν, εἴτε Πελοποννήσιος. καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ᾽ ἄλλοι διέφυγον ἐς τὴν Αγραΐδα, ὅμορον οὖσαν· καὶ Σαλύνθιος αὐτοὺς, ὁ βασιλεὺς τῶν Αγραίων, φίλος ὢν, ὑπεδέξατο.

ριβʹ. 112. Οἱ δ᾽ ἐκ τῆς πόλεως Αμπρακιῶται ἀφικνοῦνται ἐπ᾽ Ιδομένην. ἐστὸν δὲ δύο λόφω ἡ Ιδομένη ὑψηλώ· τούτοιν τὸν μὲν μείζω, νυκτὸς ἐπιγενομένης, οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου, ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες· τὸν δ᾽ ἐλάσσω ἔτυχον οἱ Αμπρακιῶται προαναβάντες, καὶ ηὐλίσαντο. ὁ δὲ Δημοσθένης, δειπνήσας, ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθὺς, αὐτοὺς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ᾽ ἄλλο διὰ τῶν Αμφιλοχικῶν ὀρῶν. καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Αμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς, καὶ οὐ προῃσθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι. καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε, καὶ προσαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν ἱέντας, καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει, νυκτὸς ἔτι οὔσης. ὡς οὖν ἐπέπεσε τῷ στρατεύματι αὐ-

Ηκόντισέ τις] Idem, quod hic Scholiastes, de usu τοῦ τὶς, aliquot locis ad Homerum adnotat Eustathius. Vid. ad Iliad. μʹ. pag. 912. ad Il. ϱʹ. p. 1100. et Od. ιʹ. pag. 1624. Duck.

Αγραίων] Supra pro Αγραΐδα Ar. C. pessime Γραΐδα. Vide 146. 20. 209. 2. Achelous, inquit Strabo, medius distinguit Ætolos et Acarnanes, διά τε Αγραίων Αἰτωλικοῦ ἔθνους, καὶ Αμφιλόχων. alibi recenset Οφιεῖς καὶ Αγραίους, καὶ Εὐρυτᾶνας. Αγρέες scribit Dionysius Perieg. v. 956. sed gentem in Arabia intelligit, quæ etiam apud Steph. et Ptolemæum Αγραῖοι, Plinio VI. 28. *Agrei.* Apud Dionysium autem v. 937. lege ex tribus Mss. εὐώδεος ἢ καλάμοιο. v. Polybium XVII. p. 1039. Liv. XXXII. 34. et Stephanum. Wass.

Νυκτὸς ἔτι οὔσης] Paullo ante, ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Αμπρακιώταις. Est ergo ὄρθρος, quum nondum cerni potest, et adhuc nox est, id est, tempus, quod præcedit au-

των, τρέπουσι· καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν. οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Αμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς, καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ, ἀπείρων, καὶ ἀνεπιστημόνων ὅποι τράπωνται, ἐσπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας, διεφθείροντο. καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς, ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν, οὐ πολὺ ἀπέχουσαν. καὶ ὡς εἶδον τὰς Αττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προσένευσαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσὶν ἤδη διαφθαρῆναι, ἢ ὑπὸ τῶν βαρβάρων, καὶ ἐχθίστων Αμφιλόχων. οἱ μὲν οὖν Αμπρακιῶται, τοιούτῳ τρόπῳ κακωθέντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν. Ακαρνᾶνες δὲ, σκυλεύσαντες τοὺς νεκροὺς, καὶ τροπαῖα στήσαντες, ἀπεχώρησαν ἐς Αργος.

ριγ΄. 113. Καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κήρυξ ἀπὸ τῶν ἐς Αγραίους καταφυγόντων ἀπὸ τῆς Ολπης Αμπρακιωτῶν, ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν, οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξήεσαν ἄσπονδοι. ἰδὼν δ᾽ ὁ κήρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Αμπρακιωτῶν, ἐθαύμαζε τὸ πλῆθος. οὐ γὰρ ᾔδει τὸ πάθος, ἀλλ᾽ ᾤετο τῶν μετὰ σφῶν εἶναι. καί τις αὐτὸν ἤρετο ὅ, τι θαυμάζοι, καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν· οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ιδομέναις. ὁ δ᾽ ἔφη διακοσίους μάλιστα. ὑπολαβὼν δ᾽ ὁ ἐρωτῶν εἶπεν, οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων. αὖθις δὲ εἶπεν ἐκεῖνος, οὐκ ἄρα τῶν μεθ᾽ ἡμῶν μαχομένων ἐστίν. ὁ δ᾽ ἀπε-

roram, quo quis adhuc lucerna uti potest. Ita veteres; recentiores, ut auctor est Phrynichus, ὄρθρον dixerunt, quæ antiquis erat ἕως, *aurora*. Et hanc significationem τοῦ ὄρθρος Thomas Magist. in ὀρθρεύω etiam e Thucyd. II. 3. ostendit; φυλάξαντες ἔτι νύκτα, καὶ αὐτὸ τὸ περίορθρον. Add. Salmas. de Hellenist. pag. 101. Duck.

Ὅποι] Cl. Gr. ὅπη, ut passim Plato in Euthyd. et Apol. Socr. Noster ὅποι 502. 8. et alibi ὅπη. vid. Indicem. Wass.

Προσένευσαν] Hadr. Junius et alii Lexicographi, Scholiasten sequentes, vertunt *adquieverunt*, et adnotant, Vallam vertere *adnatarunt*. Recte Valla, a προσνεῖν, quod habet etiam Ælian. I. Var. Hist. 1. sed in vulgatis Lexicis frustra quæras. A νέω autem est νεύσω, ut Etymolog. M. in ναῦς, unde ἔνευσα. Hesychius νευσόμεθα, νηξόμεθα. Quæ sit sententia in interpretatione Scholiastæ προσέπαυσαν, non scio, et corruptum puto. In Cass. hoc scholion non legitur. Duck.

Προσένευσαν] Schol. προσέπαυσαν corrigit. Hemsterh. ad Lucian T. I. 306. et Hering. Obss. p. 151. προσέπλευσαν. v. Abr. 375. Gottl.

Ἤδη] Leg. cum Abresch. εἰ δεῖ. 375. G.

Ἤδη διαφθ.] Sane placet Abreschii, εἰ δεῖ· sed nil opus; ἤδη est *jam*, nunc, in præsenti, *itzt*. Baver.

κρίνατο, εἴπερ γε ὑμεῖς ἐν Ιδομένῃ χθὲς ἐμάχεσθε. ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθὲς, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Αμπρακιωτῶν ἐμαχόμεθα. ὁ δὲ κήρυξ, ὡς ἤκουσε, καὶ ἔγνω, ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας, καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν, ἀπῆλθεν εὐθὺς ἄπρακτος, καὶ οὐκέτι ἀπήτει τοὺς νεκρούς. πάθος γὰρ τοῦτο μιᾷ πόλει Ελληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο. καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι, ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Αμπρακίαν μέντοι, οἶδα, ὅτι εἰ ἐβουλήθησαν Ακαρνᾶνες καὶ Αμφίλοχοι, Αθηναίοις καὶ Δημοσθένει πειθόμενοι, ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' ἔδεισαν, μὴ οἱ Αθηναῖοι, ἔχοντες αὐτὴν, χαλεπώτεροι σφίσι πάροικοι ὦσι.

ριδ'. 114. Μετὰ δὲ ταῦτα, τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Αθηναίοις, τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν Αθηναίων, πλέοντα ἑάλω· τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Αττικοῖς ἱεροῖς, Δημοσθένει ἐξῃρέθησαν, τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε. καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν ἐν Αἰτωλίᾳ ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Αθηναῖοι ἐς Ναύπακτον· Ακαρνᾶνες δὲ καὶ Αμφίλοχοι, ἀπελθόντων Αθηναίων, καὶ Δημοσθένους, τοῖς ὡς Σαλύνθιον καὶ Αγραίους καταφυγοῦσιν Αμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν. οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον καὶ Αγραίους. καὶ ἐς τὸν ἔπειτα χρόνον σπου-

Ἰδομένῃ] Vid. ad p. 145. et Vossium ad Catullum p. 210. WASS.

Ἀμπρακίαν] Thucydides semper cum π Ἀμπρακία, et Ἀμπρακιῶται. WASS. Diversitatem scripturæ etiam Stephanus adnotavit in Ἀμβρακία. Eustathius ad Dionys. Perieg. v. 493. ἀρχαϊκώτερον per π, usitatius per β scribi dicit. Palmer. II. Græc. Ant. .7. scribens, Thucydidem nomen Urbis non exprimere, sed tantum gentile nomen Ἀμπρακιώτης habere, non meminerat hujus loci. Sed et rursus Ἀμπρακίαν Cap. seq. in fine exprimit Thucydides. DUCK.

Πλέοντα ἑάλω] i. e. quæ navibus vehebantur. Abresch. 375. GOTTL.

Πλ. ἑάλω] Sane et hæc junxeris, in navigatione capta sunt. BAVER.

Ἐξῃρέθησαν] Thomas Mag. in ἐξεῖλε: ἐξεῖλε τῷ δεῖνι γέρας, καὶ ἐξῆρε. Θουκυδίδης· Δημοσθένει—πανοπλίαι. Obvius est hic usus verbi ἐξαιρεῖν, pro δοῦναί τι ὡς ἐξαίρετον. Scholiastes parvus Homeri in Iliad. ά. 369. Ἐκ δ' ἕλον Ἀτρείδῃ Χρυσηΐδα· ὡς ἐξαίρετον, inquit, ἔλαβον, καὶ ἔδωκαν. Add. ibi Eustath. pag. 119. et in Iliad. μ'. p. 907. Τὰ δὲ νῦν—ἱεροῖς citat Thomas in ἀνακείμενος. DUCK.

Οἰνιαδῶν] Hi Οἰνειάδαι sunt Stephano, et alibi Οἰνιάδαι. Sic etiam Pausanias, Sophocles, et Dionys. Halic. WASS.

δὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας, ἐπὶ τοῖσδε, ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους, μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ᾽ Ἀθηναίους· βοηθεῖν δὲ τῇ ἀλλήλων· καὶ ἀποδοῦναι Ἀμπρακιώτας, ὁπόσα ἢ χωρία, ἢ ὁμόρους Ἀμφιλόχων ἔχουσι· καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν, πολέμιον ὂν Ἀκαρνᾶσι. ταῦτα ξυνθέμενοι, διέλυσαν τὸν πόλεμον. μετὰ δὲ ταῦτα, Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομιζόμενοι, χαλεπῶς διὰ τῆς Ἠπείρου ἀφίκοντο. τὰ μὲν κατ᾽ Ἀμπρακίαν οὕτως ἐγένετο.

ριέ. 115. Οἱ δ᾽ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, τοῦ αὐτοῦ χειμῶνος, ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν, μετὰ τῶν Σικελιωτῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον, Πυθόδωρον τὸν Ἰσολόχου Ἀθηναίων στρατηγὸν καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδοχον ὧν ὁ Λάχης ἦρχεν. οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι ναυσί. τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακούσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι, παρεσκευάζοντο, τὸ ναυτικὸν ξυναγείροντες, ὡς οὐ περιοψόμενοι. καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι, ὡς ἀποστελοῦντες αὐτοῖς· ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν Πυθόδωρον ὀλίγαις ναυσί· Σοφοκλέα δὲ τὸν Σωστρατίδου, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους, ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. ὁ δὲ Πυθόδωρος, ἤδη ἔχων τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχήν, ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἷλε. καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν, ἀνεχώρησεν.

Ἀνακτόριον] Ar. C. ἐπ᾽ Ἀν. Civitas ab Apollinis Actio 40. stad. Strabo: οὐδετέρως Steph. Gentile Ἀνακτόριος, et Ἀνακτορία γῆ. Noster Lib. IV. Κορινθίων πόλιν vocat: ab Acharnensibus et Corinthiis conditam Scymnus et Scylax tradunt; eam transtulit Augustus Nicopolin, Pausan. V. 23. Nunc opinor *Vonizza* dicitur. v. Herodot. IX. 28. *Harmenopulum* 81. *Civitas Anactorica* Plin. *Ora Anactoria* Silius: Unde *Anactorie* nom. prop. apud M. Tyrium et Ovid. Denique Anactoria olim dicta Miletus in Caria. Confer Apollonii Schol. ά. 185. Wass.

ρισʹ. 116. Ἐῤῥύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥσπερ καὶ τοπρότερον. καὶ γῆν τινα ἔφθειρε τῶν Καταναίων, οἳ ὑπὸ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα· τὸ δὲ ξύμπαν, τρὶς γεγενῆσθαι τὸ ῥεῦμα ἀφ᾽ οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο. καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

Ἐῤῥύη] De incendiis Ætnæ vid. Acta Philosoph. Londin. Wass. De eo, quod mox dicit Ætnam ter arsisse, e quo Sicilia a Græcis habitari cœpit, Scalig. ad Euseb. Chron. Num. MDXC. Duck.

FINIS

TOMI PRIMI.

Londini imprimebat J. F. Dove, in Area quæ est Divi Joannis.

Date Due

SEP 24 '53	Fr. McCauley S.J.		
	for Weston		
JUL 26 '55	4/9/58		
			

13882

Thucydidis

Author

de Bello Pelop.

Title

Gre & Lat. Tom. I

Priestley 1829

DATE DUE	BORROWER'S NAME
SEP 24 '53	Fr. McCauley S.J.
	for Weston
JUL -6 '55	A9128
	Mr. Curran - Thos. Michael -
	St Mary's Hall - B.C.
	1st 2nd 20 D. 3

DATE DUE	BORROWER'S NAME
FEB 3 1979	

